11. Τοῦτο γὰρ πρὸς τἆλλα ζῷα τοῖς ἀνθρώποις ἴδιον, τὸ μόνον ἀγαθοῦ καὶ κακοῦ καὶ δικαίου καὶ ἀδίκου καὶ τῶν ἄλλων αἴσθησιν ἔχειν. ἡ δὲ τούτων κοινωνία ποιεῖ οἰκίαν καὶ πόλιν. καὶ πρότερον δὴ τῇ φύσει πόλις ἢ οἰκία καὶ ἕκαστος ἡμῶν ἐστίν. τὸ γὰρ ὅλον πρότερον ἀναγκαῖον εἶναι τοῦ μέρους· ἀναιρουμένου γὰρ τοῦ ὅλου οὐκ ἔσται ποὺς οὐδὲ χείρ, εἰ μὴ ὁμωνύμως, ὥςπερ εἴ τις λέγει τὴν λιθίνην· διαφθαρεῖσα γὰρ ἔσται τοιαύτη. πάντα δὲ τῷ ἔργῳ ὥρισται καὶ τῇ δυνάμει, ὥςτε μηκέτι τοιαῦτα ὄντα οὐ λεκτέον τὰ αὐτὰ εἶναι ἀλλ' ὁμώνυμα.

12. Ὅτι μὲν οὖν ἡ πόλις καὶ φύσει καὶ πρότερον ἢ ἕκαστος, δῆλον· εἰ γὰρ μὴ αὐτάρκης ἕκαστος χωρισθείς, ὁμοίως τοῖς ἄλλοις μέρεσιν ἕξει πρὸς τὸ ὅλον· ὁ δὲ μὴ δυνάμενος κοινωνεῖν, ἢ μηθὲν δεόμενος δι' αὐτάρκειαν, οὐθὲν μέρος πόλεως, ὥςτε ἢ θηρίον ἢ θεός. φύσει μὲν οὖν ἡ ὁρμὴ ἐν πᾶσιν ἐπὶ τὴν τοιαύτην κοινωνίαν· ὁ δὲ πρῶτος συστήσας μεγίστων ἀγαθῶν αἴτιος. ὥςπερ γὰρ καὶ τελεωθὲν βέλτιστον τῶν ζῴων ἄνθρωπός ἐστιν, οὕτω καὶ χωρισθὲν νόμου καὶ δίκης χείριστον πάντων. χαλεπωτάτη γὰρ ἀδικία ἔχουσα ὅπλα· ὁ δ' ἄνθρωπος ὅπλα ἔχων φύεται φρονήσει καὶ ἀρετῇ, οἷς ἐπὶ τἀναντία ἔστι χρῆσθαι μάλιστα. διὸ ἀνοσιώτατον καὶ ἀγριώτατον ἄνευ ἀρετῆς, καὶ πρὸς ἀφροδίσια καὶ ἐδωδὴν χείριστον. ἡ δὲ δικαιοσύνη πολιτικόν· ἡ γὰρ δίκη πολιτικῆς κοινωνίας τάξις ἐστίν· ἡ δὲ δίκη τοῦ δικαίου κρίσις.

schick von Staatsgemeinschaft ausgeschlossene entweder verworfen ist, oder besser als ein Mensch; wie auch der von Homer „ungesellig, gesetzlos, heerdlos“ geschimpfte; denn ein solcher ist zugleich seiner Natur nach auch „Liebhaber des Kriegs, dieweil er einsam lebt wie . . . . unter den Vögeln.“

10. Weshalb nun der Mensch mehr als alle Bienen und alle heerdenweis lebende Thiere ein politisches Geschöpf sei, ist offenbar. Denn nichts thut die Natur, wie wir behaupten, absichtslos. Nun hat aber der Mensch von allen Thieren allein Sprache; die Stimme nämlich ist Zeichen des Schmerzhaften und Angenehmen; daher besitzen sie auch die übrigen Thiere, denn bis dahin erhebt sich ihre Natur, dass sie das Schmerzhafte und Angenehme empfinden, und dies einander andeuten. Die Sprache aber ist dazu da, das Schädliche und das Nützliche zu erkennen zu geben; somit auch das Gerechte und das Ungerechte.

11. Denn dies ist vor den andern Thieren dem Menschen eigenthümlich, dass er allein für Gutes und Schlechtes, Gerechtes und Ungerechtes, und was dem ähnlich, Empfindung hat. Die Gemeinschaft dieser aber begründet Familie und Staat. Auch ist offenbar von Natur der Staat früher als die Familie und jeder Einzelne von uns. Denn das Ganze muss nothwendig früher sein als der Theil. Denn, das Ganze weggenommen, so wird auch nicht Fuss noch Hand mehr sein, ausgenommen homonymisch, wie wenn einer von einer steinernen Hand redet; denn eine solche wird eine unnatürliche sein. Alle Dinge aber werden durch ihre Bestimmung und ihr Vermögen bestimmt, so dass man also, wenn sie nicht mehr so beschaffen sind, nicht sagen darf, dass sie dieselben sind, sondern homonyme.

12. Dass also der Staat einestheils Naturprodukt, anderntheils früher als der Einzelne sei, ist offenbar. Denn wenn jeder als Einzelner nicht selbstgenügend ist, so wird er sich ähnlich wie überhaupt die Theile zum Ganzen verhalten. Der aber nicht Glied eines Vereins sein kann, oder, sich selbst genügend, nichts bedarf, ist kein Glied des Staats; also entweder Thier oder Gott. Von Natur ist nun also der Trieb nach dieser Art von Vereinigung in Allen. Der sie aber zuerst einrichtete ist Urheber der grössten Güter. Denn gleichwie in seiner Vollendung der Mensch das edelste der Geschöpfe ist, gerade so ist er auch, von Gesetz und Recht getrennt, das schlechteste von allen. Denn das Furchtbarste ist Ungerechtigkeit wenn sie Waffen hat. Der Mensch besitzt aber von Natur Waffen in seiner Klugheit und Tüchtigkeit, deren er sich grade recht zu dem Entgegengesetzten bedienen kann. Daher ist er ohne Tugend das verruchteste und wildeste Geschöpf, und in Beziehung auf Geschlechtslust und Gaumlust das niedrigste. Die Gerechtigkeit aber ist ein Bestandtheil des Staats, (denn die Gerechtigkeitspflege ist die Norm und Regel des bürgerlichen Verkehrs); ihre Bestimmung aber ist Ermittelung dessen was gerecht ist.

---

§. 9. κρείττων ἢ ἄνθρωπος] in P 2. 3. suprascriptum παρό, ut sit κρ. ἢ παρὸ ἄνθρωπος. — ὥςπερ καὶ] ὅςπερ καὶ S^b. — ἀφρήτωρ] ἀφήτωρ Q. ἀφήτωρ S^b. T^b. — καὶ πολέμου] καὶ om. Vet. — ἄζυξ ὤν] Bekk. adnotat: „lacunam Q. M^b. T^b.“ Etiam P 3. A 1. horum verbor. loco lacunae signum habent. ὤν, quod omnium edd. vet. prima habet A 2., om. M. P 1. 2. Lut. Vict. 2. Sylb. Schn.; ἄνευ ζεύγους pro ἄζυξ ὢν B 2. B 3. — ὥςπερ ἐν πεττοῖς] ὥςπερ [ ] Schn. πετοῖς M^b. πετεινοῖς P 1. et P 2. M. (in marg.) A 2. B 3. Lut. Vict. 1. 2. Sylb. Schn. Cor. G. πεπτοῖς (sic) B 2. Sepulveda monet: in emendatioribus codd. esse: ἅτεπερ ἄζυξ ὢν ὡς ἐν τοῖς πετεινοῖς.

§. 10. διότι] διὸ S^b. T^b. — ὁ ἄνθρωπος ζῷον] ζῷον ὁ ἄνθρωπος P 1. M. — ἔχει τῶν ζῴων] „super animalia“ Vet. — τοῦ λυπηροῦ καὶ ἡδέος] τοῦ ἡδέος καὶ λυπηροῦ P 1. et Lut. unde sumpsit Sylb. — ἐστὶ σημεῖον, διὸ καὶ --- αἰσθάνεσθαι τοῦ λυπηροῦ] haec om. Q. S^b. T^b. ἔστι pro ἐστὶ Vict. 2. — ἐλήλυθεν] προῆλθεν M^b A 2. Cas. Schn. Cor. — ὥςτε αἰσθάνεσθαι τοῦ λυπηροῦ] τοῦ ἔχειν αἴσθησιν λυπηροῦ I^b. P 1. 2. 3. — ταῦτα σημαίνειν] τ. σημαίνει M^b. σημαίνειν ταὐτὸν A 2. — ἐπὶ τῷ] ἐπὶ τὸ S^b. Lut.

§. 11. τἆλλα] sic Bkk. tac. τὰ ἄλλα reliq. — καὶ πρότερον δὴ] δὲ pro δὴ Schn. Cor. tac. sine auctoritate. — πόλις ἢ] πόλις ἡ S^b. — ἡμῶν ἐστίν·] ἡμ. ἐστι· G. — εἴ τις] εἴ τι T^b. — λέγει] λέγοι I^b. (P 2.) Vet. („si quis dicat“) recep. Cor.

§. 12. καὶ φύσει καὶ] καὶ ante φύσει om. I^b. Ar. καὶ post φύσει om. P 2. 3. utrumque om. Vet. Z. Lut. Sylb. Schn. Cor. — πρότερον] προτέρα Q. M^b. T^b. προτερω S^b. — ὁ δὲ πρῶτος] ὁ δὲ πρῶτον Q. M^b. S^b. T^b. — καὶ τελεωθὲν] καὶ om. Lut. Sylb. Cor. τελειωθὲν A 2. Schn. Cor. male! cfr. G. Adnot. p. 282. — ζῴων ἄνθρωπος] ζῴων ὁ ἄνθρ. P 3. — φύεται] φαίνεται marg. P 2. de I^b. tacet Bkk. id quod semper factum esse putandum est, ubi a nobis in discrepantia scripturae ex P 2. notatae non addita est I^b. nota.

Cap. 3. Bkk.

CAP. II.

'Επεὶ δὲ φανερὸν ἐξ ὧν μορίων ἡ πόλις συνέστηκεν, ἀναγκαῖον περὶ οἰκίας εἰπεῖν πρότερον· πᾶσα γὰρ πόλις ἐξ οἰκιῶν σύγκειται. οἰκίας δὲ μέρη, ἐξ ὧν αὖθις οἰκία συνίσταται· οἰκία δὲ τέλειος ἐκ δούλων καὶ ἐλευθέρων. ἐπεὶ δ' ἐν τοῖς ἐλαχίστοις πρῶτον ἕκαστον ζητητέον, πρῶτα δὲ καὶ ἐλάχιστα μέρη οἰκίας δεσπότης καὶ δοῦλος, καὶ πόσις καὶ ἄλοχος, καὶ πατὴρ καὶ τέκνα, περὶ τριῶν ἂν τούτων σκεπτέον εἴη τί ἕκαστον καὶ ποῖον δεῖ εἶναι.

2. *Ταῦτα δ' ἐστὶ δεσποτικὴ καὶ γαμικὴ (ἀνώνυμον γὰρ ἡ γυναικὸς καὶ ἀνδρὸς σύζευξις) καὶ τρίτον τεκνοποιητική· καὶ γὰρ αὕτη οὐκ ὠνόμασται ἰδίῳ ὀνόματι. ἔστωσαν δ' αὗται τρεῖς ἃς εἴπομεν. ἔστι δέ τι μέρος ὃ δοκεῖ τοῖς μὲν εἶναι οἰκονομία, τοῖς δὲ μέγιστον μέρος αὐτῆς· ὅπως δ' ἔχει, θεωρητέον. λέγω δὲ περὶ τῆς καλουμένης χρηματιστικῆς. πρῶτον δὲ περὶ δεσπότου καὶ δούλου εἴπωμεν, ἵνα τά τε πρὸς τὴν ἀναγκαίαν χρείαν ἴδωμεν, κἂν εἴ τι πρὸς τὸ εἰδέναι περὶ αὐτῶν δυναίμεθα λαβεῖν βέλτιον τῶν νῦν ὑπολαμβανομένων.*

3. *Τοῖς μὲν γὰρ δοκεῖ ἐπιστήμη τέ τις εἶναι ἡ δεσποτεία, καὶ ἡ αὐτὴ οἰκονομία καὶ δεσποτεία καὶ πολιτικὴ καὶ βασιλική, καθάπερ εἴπομεν ἀρχόμενοι· τοῖς δὲ παρὰ φύσιν τὸ δεσπόζειν. νόμῳ γὰρ τὸν μὲν δοῦλον εἶναι τὸν δ' ἐλεύθερον, φύσει δ' οὐθὲν διαφέρειν. διόπερ οὐδὲ δίκαιον· βίαιον γάρ.*

Cap. 4. Bkk. 4. *'Επεὶ οὖν ἡ κτῆσις μέρος τῆς οἰκίας ἐστὶ καὶ ἡ κτητικὴ μέρος τῆς οἰκονομίας (ἄνευ γὰρ τῶν ἀναγκαίων ἀδύνατον καὶ ζῆν καὶ εὖ ζῆν), ὥσπερ δὲ ἐν ταῖς ὡρισμέναις τέχναις ἀναγκαῖον ἂν εἴη ὑπάρχειν τὰ οἰκεῖα ὄργανα, εἰ μέλλει ἀποτελεσθήσεσθαι τὸ ἔργον, οὕτω καὶ τῶν οἰκονομικῶν. τῶν δ' ὀργάνων τὰ μὲν ἄψυχα τὰ δ' ἔμψυχα, οἷον τῷ κυβερνήτῃ ὁ μὲν οἴαξ ἄψυχον, ὁ δὲ πρωρεὺς ἔμψυχον· ὁ γὰρ ὑπηρέτης ἐν ὀργάνου εἴδει ταῖς τέχναις ἐστίν. οὕτω καὶ τὸ κτῆμα ὄργανον πρὸς ζωήν ἐστι, καὶ ἡ κτῆσις πλῆθος ὀρ-*

Kap. II.

Da nun einleuchtend, aus welchen Theilen der Staat zusammengesetzt ist, so müssen wir nothwendig von der Familie vorher reden. Denn jeder Staat besteht aus Familien. Theile der Familie aber sind die, aus denen wieder die Familie besteht. Eine vollständige Familie nun besteht aus Sklaven und Freien. Da nun von den letzten Bestandtheilen die hauptsächlichsten aufgesucht werden müssen, als hauptsächlichste und letzte Glieder der Familie aber Herr und Sklave, und Mann und Frau, und Vater und Kinder sich ergeben, so ist wohl auf diese drei Verhältnisse die Betrachtung zu richten, was und wie beschaffen jedes einzelne sein muss.

2. Diese sind aber das herrschaftliche und eheliche (denn für die Verbindung des Weibes und Mannes hat die Sprache keinen Ausdruck), und drittens das väterliche, auch hierfür fehlt nämlich eine eigenthümliche Benennung. Bleiben wir indess bei den drei hier angegebenen. Es ist aber noch ein Theil, welcher Einigen als die Hausverwaltung, Andern als Haupttheil derselben erscheint. Auch wie sich's damit verhält, werden wir zu untersuchen haben; ich rede aber von der sogenannten Erwerbskunst. Zuerst aber wollen wir vom Herrn und Sklaven reden, einmal, um Alles, was zum nothwendigen Gebrauchsbedarf gehört, zu erkennen, sodann auch, ob wir nicht zur wissenschaftlichen Begründung dieses Gegenstandes etwas Besseres aufstellen können, als das was jetzt gäng und gäbe ist.

3. Den Einen nämlich erscheint die Herrschaft des Herrn über die Sklaven als eine Wissenschaft und als identisch mit der Hausverwaltung der Staatsmanns- und der Königskunst, wie wir das zu Anfange bemerkten. Den Andern erscheint das Herrschen über Sklaven wider die Natur; denn durch Satzung sei der eine Sklav, der andere frei, von Natur aber kein Unterschied, weshalb es auch nicht gerecht sei; denn es sei gewaltsam.

4. Da nun der Besitz ein Theil des Hauswesens, und die Besitzkunst ein Theil der Hausverwaltung ist (denn ohne die nothwendigen Bedürfnisse ist leben und wohl leben unmöglich), so wie ferner die bestimmt ausgebildeten Künste nothwendig der ihnen eigenthümlichen Werkzeuge bedürfen, wenn das Werk vollendet werden soll, also auch die Verrichtungen der Hausverwaltung. Die Werkzeuge aber sind theils beseelte theils unbeseelte; wie z. B. für den Steuermann das Steuer ein unbeseeltes, der Untersteuermann ein beseeltes. Denn der Handlanger vertritt Werkzeugsstelle in den Künsten. So ist auch das Besitzstück Werkzeug zum Leben, und der Besitz eine Menge von Werkzeugen, und der Sklav

---

Cap. II. §. 1. *ἀναγκαῖον*] *ἀνάγκη* Q. M[b]. et edd. ante Bkk. omnes. — *ἀναγκαῖον περὶ -- συνίσταται· οἰκία*] haec om. S[b]. T[b]. — *περὶ οἰκίας εἰπεῖν πρότερον*] *πρῶτον περὶ οἰκονομίας εἰπεῖν* I[b]. P 1. 2. 3. *οἰκίας* pro vulgato *οἰκονομίας* edid. cum Göttl. Cor. Piccarto Cas. Lut. Accor. (qui in vet. Cod. sic scriptum esse testatur) et Sepulvedae codd. vetustioribus; idemque ex q. c. (quibusdam codicibus) enotavit Sylb. *οἰκονομίας* Bkk. (cum Codd. omnibus ut videtur) et reliq. — *πόλις ἐξ οἰκιῶν σύγκειται*] *σύγκειται πόλις ἐξ οἰκιῶν* I[b]. P 1. 2. 3. — *οἰκίας δὲ μέρη*] *οἰκονομίας δὲ μ.* I[b]. P 2. 3. A 1. 2. B 2. B 3. Cas. Giph. Schn. male. — *μέρη ἐξ ὧν αὖθις οἰκία συνίσταται*] *μ. ἐξ ὧν ἡ οἰκία πάλιν συνέστηκεν* P 1. (satis apte.) *μ. ἐξ ὧν πάλιν οἰκία συνέστηκεν* P 2. 3. *οἰκίας δ' αὖθις μέρη, ἐξ ὧν οἰκία συνίσταται* Cor. sine auctor. — *ἐπεὶ δ' ἐν τοῖς*] *ἐπεὶ δὲ καὶ ἐν τ.* Lut. Z. Sylb. et recentiores ante Schn. — *περὶ τριῶν ἂν τούτων σκεπτέον εἴη*] *ἂν* ante *εἴη* positum in Vict. 1. Lut. Z. Sylb., quem ordinem reddit Vet.

§. 2. *καὶ γαμικὴ*] *καὶ* om. M[b]. — (*ἀνώνυμον γὰρ — — καὶ τρίτον τεκνοποιητικὴ*] haec om. A 1. B 2. — *σύζευξις*] Giphan. in MSS. quibusdam vidit *σύνζευξις*. — *τρίτον τεκνοποιητικὴ*] *τ. ἡ τεκνοπ.* addito articulo (qui abest ab MSS. libris omnibus) Lut. Vict. 2. Sylb. Schn. Cor. G. fortasse recte. — *καὶ γὰρ αὕτη*] *καὶ αὕτη γὰρ* Lamb. Sylb. Schn. Cor. G. — *χρηματιστικῆς*] *χρηματικῆς* A 1. 2. emendatum in B 2. quae ad exemplum A 1. expressa rarissime emendatiores scripturas praebet. — *περὶ δεσπότου*] *π. δεσποτικῆς* Vet. — *κἂν εἴ τι*] *κἂν εἴ τις* T[b].

§. 3. *ἐπιστήμη τέ τις*] *τε* om. Lut. Z. Sylb. cumque secuti recentiores, Schn. Cor. — *καὶ δεσποτεία*] *καὶ ἡ δεσποτεία* S[b]. — *βίαιον γὰρ*] „sed violentum" Vet.

§. 4. *καὶ εὖ ζῆν*] om. Vet. — *ὥςπερ δὲ ἐν*] Sic Bkk. cum Codd. quibus acced. A 2. Lut. Z. Sylb. et recentiores ante Schn.; *δὲ* om. M[b]. *ἐν* om. I[b]. Vict. 2. („cum excusis," ut dicit, „multis et Vet.") Schn. Cor. Utrumque (*δὲ* et *ἐν*) om. P 1. 3. A 1. B 2. B 3. Göttl. — *ἀναγκαῖον ἂν*] *ἂν* om. M[b]. — *εἰ μέλλει*] *εἰ μέλλοι* („si debeat") Vet. Cor. — *καὶ τῶν οἰκονομικῶν*] *καὶ τῷ οἰκονομικῷ* Vict. 2. (ex Vet. ut dicit) Schn. Cor. „Male! Sensus: *οὕτω καὶ τὰ οἰκεῖα ὄργανα τῶν οἰκονομικῶν ἀναγκαῖον ἂν εἴη ὑπάρχειν εἰ μέλλει κτλ.*" GOETTL.

γάνων ἐστί, καὶ ὁ δοῦλος κτῆμά τι ἔμψυχον, καὶ ὥςπερ ὄργανον πρὸ ὀργάνων, πᾶς ὁ ὑπηρέτης.

5. Εἰ γὰρ ἠδύνατο ἕκαστον τῶν ὀργάνων κελευσθὲν ἢ προαισθανόμενον ἀποτελεῖν τὸ αὑτοῦ ἔργον, ὥςπερ τὰ Δαιδάλου φασὶν ἢ τοὺς τοῦ Ἡφαίστου τρίποδας, οὕς φησιν ὁ ποιητὴς αὐτομάτους θεῖον δύεσθαι ἀγῶνα, οὕτως εἰ αἱ κερκίδες ἐκέρκιζον αὐταὶ καὶ τὰ πλῆκτρα ἐκιθάριζεν, οὐδὲν ἂν ἔδει οὔτε τοῖς ἀρχιτέκτοσιν ὑπηρετῶν οὔτε τοῖς δεσπόταις δούλων. τὰ μὲν οὖν λεγόμενα ὄργανα ποιητικὰ ὄργανά ἐστι, τὸ δὲ κτῆμα πρακτικόν· ἀπὸ μὲν γὰρ τῆς κερκίδος ἕτερόν τι γίνεται παρὰ τὴν χρῆσιν αὐτῆς, ἀπὸ δὲ τῆς ἐσθῆτος καὶ τῆς κλίνης ἡ χρῆσις μόνον.

6. Ἔτι δ' ἐπεὶ διαφέρει ἡ ποίησις εἴδει καὶ ἡ πρᾶξις, δέονται δ' ἀμφότεραι ὀργάνων, ἀνάγκη καὶ ταῦτα τὴν αὐτὴν ἔχειν διαφοράν. ὁ δὲ βίος πρᾶξις, οὐ ποίησίς ἐστιν· διὸ καὶ ὁ δοῦλος ὑπηρέτης τῶν πρὸς τὴν πρᾶξιν. τὸ δὲ κτῆμα λέγεται ὥςπερ καὶ τὸ μόριον. τό τε γὰρ μόριον οὐ μόνον ἄλλου ἐστὶ μόριον, ἀλλὰ καὶ ὅλως ἄλλου· ὁμοίως δὲ καὶ τὸ κτῆμα. διὸ ὁ μὲν δεσπότης τοῦ δούλου δεσπότης μόνον, ἐκείνου δ' οὐκ ἔστιν· ὁ δὲ δοῦλος οὐ μόνον δεσπότου δοῦλός ἐστιν, ἀλλὰ καὶ ὅλως ἐκείνου.

7. Τίς μὲν οὖν ἡ φύσις τοῦ δούλου καὶ τίς ἡ δύναμις, ἐκ τούτων δῆλον· ὁ γὰρ μὴ αὑτοῦ φύσει ἀλλ' ἄλλου, ἄνθρωπος δέ, οὗτος φύσει δοῦλός ἐστιν. ἄλλου δ' ἐστὶν ἄνθρωπος, ὃς ἂν κτῆμα
Cap. 5. Bkk. ᾖ, ἄνθρωπος ὤν. κτῆμα δὲ ὄργανον πρακτικὸν καὶ χωριστόν. πότερον δ' ἐστί τις φύσει τοιοῦτος ἢ οὔ, καὶ πότερον βέλτιον καὶ δίκαιόν τινι δουλεύειν ἢ οὔ, ἀλλὰ πᾶσα δουλεία παρὰ φύσιν ἐστί, μετὰ ταῦτα σκεπτέον.

8. Οὐ χαλεπὸν δὲ καὶ τῷ λόγῳ θεωρῆσαι καὶ ἐκ τῶν γινομένων καταμαθεῖν. τὸ γὰρ ἄρχειν καὶ ἄρχεσθαι οὐ μόνον τῶν ἀναγκαίων ἀλλὰ καὶ τῶν συμφερόντων ἐστί, καὶ εὐθὺς ἐκ γενετῆς ἔνια διέστηκε τὰ μὲν ἐπὶ τὸ ἄρχεσθαι τὰ δ' ἐπὶ τὸ ἄρχειν. καὶ εἴδη πολλὰ καὶ ἀρχόντων καὶ ἀρχομένων ἐστίν, καὶ ἀεὶ βελτίων ἡ ἀρχὴ ἡ τῶν βελτιόνων ἀρχομένων, οἷον ἀνθρώπου ἢ θηρίου. τὸ γὰρ ἀποτελούμενον ἀπὸ τῶν βελτιόνων βέλτιον ἔργον· ὅπου δὲ τὸ μὲν ἄρχει τὸ δ' ἄρχεται, ἐστί τι τούτων ἔργον.

9. Ὅσα γὰρ ἐκ πλειόνων συνέστηκε καὶ γίνεται ἕν τι κοινόν, εἴτε ἐκ συνεχῶν εἴτ' ἐκ διῃρημένων, ἐν ἅπασιν ἐμφαίνεται τὸ ἄρχον καὶ τὸ ἀρχόμενον. καὶ τοῦτο ἐκ τῆς ἁπάσης φύσεως ἐνυπάρχει τοῖς ἐμψύχοις·

eine Art beseeltes Werkzeug und jeder Gehülfe ein Werkzeug statt vieler.

5. Denn wenn jedes Werkzeug aufs Geheiss, oder gar demselben zuvorkommend sein Werk verrichten könnte, wie es von den Werken des Daidalos oder von Hephaistos Dreifüssen heisst, von denen der Dichter singt, dass sie „aus eigenem Antrieb gehn an die heilige Arbeit" — wenn so auch die Weberschiffe selbst webten und die Plektra die Zither schlügen, da brauchten weder die Werkmeister Gehülfen noch die Herren Sklaven. Die eigentlich sogenannten Werkzeuge nun sind machende Werkzeuge, das Besitzstück aber ein thuendes. Denn von dem Weberschiff wird mir noch etwas Anderes ausser seinem Gebrauche, von dem Kleide aber und dem Bette der Gebrauch allein.

6. Da nun das Machen und das Thun der Art nach verschieden sind, und beide Werkzeuge bedürfen, so muss auch bei diesen dieselbe Verschiedenheit Statt finden. Das Leben aber ist Thun, nicht Machen; darum ist auch der Sklav Gehülfe in dem, was zum Thun erforderlich ist. Von dem Besitzstücke aber gilt eben das, was vom Gliede; denn das Glied ist nicht nur eines Andern Glied, sondern auch überhaupt eines Andern; ähnlicherweise auch das Besitzstück. Deshalb ist der Herr blos des Sklaven Herr, jenem aber nicht angehörig; der Sklav aber ist nicht nur des Herrn Sklav, sondern auch überhaupt ihm angehörig.

7. Welches nun die Natur des Sklaven und welches seine Bedeutung, ist hieraus offenbar. Wer nämlich von Natur nicht sein eigen, sondern eines Andern, dabei jedoch ein Mensch ist, der ist von Natur Sklav. Eines Andern ist aber ein Mensch, wenn er, obgleich Mensch, eines Andern Besitzstück ist. Ein Besitzstück aber ist ein zum Thun geschicktes, trennbares Werkzeug. Ob nun einer von Natur so beschaffen ist, oder nicht, und ob es für irgend wen besser und gerecht sei, Sklav zu sein, oder nicht, und ob die ganze Sklaverei wider die Natur sei, ist hiernach zu untersuchen.

8. Jedoch ist es nicht schwer, darüber sowohl durch wissenschaftliche Untersuchung zu entscheiden, als durch die Erfahrung ins Klare zu kommen. Das Herrschen und Beherrschtwerden ist nämlich nicht nur nothwendig, sondern auch nützlich; auch tritt Einiges gleich beim Entstehn auseinander, das eine zum Herrschen, das andere zum Beherrschtwerden, und Herrschendes und Beherrschtes erscheint in vielen Arten. Und jedesmal ist diejenige Herrschaft die bessere, wo die Beherrschten die besseren sind, wie z. B. über einen Menschen besser als über ein Thier; denn das von Besseren vollendete Werk ist auch das bessere; wo aber eins herrscht und das andere beherrscht wird, da giebt es für beide ein bestimmtes Werk.

9. Denn Alles, was aus mehreren Theilen besteht und sich zu einem gemeinsamen Ganzen gestaltet, — bestehe es nun aus zusammenhängenden oder getrennten — in allen diesen erscheint das Herrschende und das Beherrschte. Und dies ist von der gesammten Na-

---

κτῆμά τι] τις pro τι Q. — πρὸ ὀργάνων] πρὸς ὀργ. Sb. — πᾶς ὁ ὑπηρέτης] ὁ om. Cor.

§. 5. προαισθανόμενον] προαισθόμενον Cor. — τὸ αὑτοῦ ἔργον] edd. ante Bkk. αὐτοῦ. — ὥςπερ τά] ἢ ante ὥςπερ coniectura addidit G., ut periodus constaret. Eadem de causa καὶ addidit Cor., quod improbat G., qui ex superioribus εἰ ad ἢ ὥςπερ τὰ repetit. — θεῖον δύεσθαι ἀγῶνα] „subinduere ad cultum deorum agonem" Vet. — οὕτως εἰ αἱ] εἰ, quod necessarium videtur h. l., addidi ex Vet. („sic si") Lat. Sylb. Thom. (apud quem est „sic et si" οὕτω καὶ εἰ sive pot. οὕτως εἰ καί). Reliqui οὕτως αἱ. — ἐκέρκιζον αὐταί] αὗται B 3.

§. 6. δέονται δ'] καὶ δέονται, omisso δέ, Ib. Vet. A 1. B 1. 2. 3. Lat. Sylb. Z. G. καὶ δέονται δ' Vict. 2. non inepte. — καὶ ὁ δοῦλος ὑπηρέτης τῶν] „servus et ministri sunt eorum" Vet. „servus et minister eorum" Thom. — μόριον οὐ μόνον] οὐ om. P 2. — ἀλλὰ καὶ ὅλως] ἀλλὰ καὶ ἁπλῶς ὅλως P 1.

§. 7. ἄνθρωπος δέ] ἄνθρωπος ὤν (omisso δέ) P 1. sed correct. in marg. — κτῆμα ᾖ, ἄνθρωπος ὤν] κ. ᾖ, δοῦλος ὤν Q. Ib. et pr. Mb. P 1. (in quo tamen supra scriptum ἄνος) P 3. (cuius in marg. γρ. ἄνος ὤν) Vet. („alterius autem est homo aliique res possessa aut servus est") Thom. („qui, cum res possessa sit, servus est"). — Coraes verba ἄνθρωπος ὤν aut exulare aut in δοῦλος ὤν mutari iussit.

§. 8. βελτίων ἡ ἀρχὴ ἡ] prius ἡ [ ] Cor. — βελτιόνων ἀρχομένων] καὶ post βελτιόνων inseruit G. ex A 1. 2., quibus acced. B 2. 3. „Importune intersertam" dicit particulam Schn.

§. 9. τοῖς ἐμψύχοις] τ. ἀψύχοις recep. Vict. 2. ex Vet., ut dicit, eademque scriptura est in Schn., sed

καὶ γὰρ ἐν τοῖς μὴ μετέχουσι ζωῆς ἐστί τις ἀρχή, οἷον ἁρμονίας. ἀλλὰ ταῦτα μὲν ἴσως ἐξωτερικωτέρας ἐστὶ σκέψεως.

10. Τὸ δὲ ζῷον πρῶτον συνέστηκεν ἐκ ψυχῆς καὶ σώματος, ὧν τὸ μὲν ἄρχον ἐστὶ φύσει τὸ δ' ἀρχόμενον. δεῖ δὲ σκοπεῖν ἐν τοῖς κατὰ φύσιν ἔχουσι μᾶλλον τὸ φύσει, καὶ μὴ ἐν τοῖς διεφθαρμένοις. διὸ καὶ τὸν βέλτιστα διακείμενον καὶ κατὰ σῶμα καὶ κατὰ ψυχὴν ἄνθρωπον θεωρητέον, ἐν ᾧ τοῦτο δῆλον· τῶν γὰρ μοχθηρῶν ἢ μοχθηρῶς ἐχόντων δόξειεν ἂν ἄρχειν πολλάκις τὸ σῶμα τῆς ψυχῆς, διὰ τὸ φαύλως καὶ παρὰ φύσιν ἔχειν.

11. Ἔστι δ' οὖν, ὥςπερ λέγομεν, πρῶτον ἐν ζῴῳ θεωρῆσαι καὶ δεσποτικὴν ἀρχὴν καὶ πολιτικήν· ἡ μὲν γὰρ ψυχὴ τοῦ σώματος ἄρχει δεσποτικὴν ἀρχήν, ὁ δὲ νοῦς τῆς ὀρέξεως πολιτικὴν καὶ βασιλικήν· ἐν οἷς φανερόν ἐστιν, ὅτι κατὰ φύσιν καὶ συμφέρον τὸ ἄρχεσθαι τῷ σώματι ὑπὸ τῆς ψυχῆς καὶ τῷ παθητικῷ μορίῳ ὑπὸ τοῦ νοῦ καὶ τοῦ μορίου τοῦ λόγον ἔχοντος, τὸ δ' ἐξ ἴσου ἢ ἀνάπαλιν βλαβερὸν πᾶσιν.

12. Πάλιν ἐν ἀνθρώπῳ καὶ τοῖς ἄλλοις ζῴοις ὡςαύτως· τὰ μὲν γὰρ ἥμερα τῶν ἀγρίων βελτίω τὴν φύσιν, τούτοις δὲ πᾶσι βέλτιον ἄρχεσθαι ὑπ' ἀνθρώπου· τυγχάνει γὰρ σωτηρίας οὕτως. ἔτι δὲ τὸ ἄρρεν πρὸς τὸ θῆλυ φύσει τὸ μὲν κρεῖττον τὸ δὲ χεῖρον, τὸ μὲν ἄρχον τὸ δ' ἀρχόμενον. τὸν αὐτὸν δὲ τρόπον ἀναγκαῖον εἶναι καὶ ἐπὶ πάντων ἀνθρώπων.

13. Ὅσοι μὲν οὖν τοσοῦτον διεστᾶσιν, ὅσον ψυχὴ σώματος, καὶ ἄνθρωπος θηρίου (διάκεινται δὲ τοῦτον τὸν τρόπον, ὅσων ἐστὶν ἔργον ἡ τοῦ σώματος χρῆσις, καὶ τοῦτ' ἔστ' ἀπ' αὐτῶν βέλτιστον), οὗτοι μέν εἰσι φύσει δοῦλοι, οἷς βέλτιόν ἐστιν ἄρχεσθαι ταύτην τὴν ἀρχήν, εἴπερ καὶ τοῖς εἰρημένοις. ἔστι γὰρ φύσει δοῦλος ὁ δυνάμενος ἄλλου εἶναι (διὸ καὶ ἄλλου ἐστίν), καὶ ὁ κοινωνῶν λόγου τοσοῦτον, ὅσον αἰσθάνεσθαι ἀλλὰ μὴ ἔχειν· τὰ γὰρ ἄλλα ζῷα οὐ λόγου αἰσθανόμενα, ἀλλὰ παθήμασιν ὑπηρετεῖ.

14. Καὶ ἡ χρεία δὲ παραλλάττει μικρόν· ἡ γὰρ πρὸς τἀναγκαῖα τῷ σώματι βοήθεια γίνεται παρ' ἀμφοῖν, παρά τε τῶν δούλων καὶ παρὰ τῶν ἡμέρων ζῴων. βούλεται μὲν οὖν ἡ φύσις καὶ τὰ σώ-

tur vorzugsweise bei den beseelten Wesen der Fall. Ist ja doch selbst in den nicht am Leben Theil habenden eine Art von Herrschaft, wie z. B. die der Harmonie. Indess dies gehört wohl in eine unserm Gegenstande etwas zu fremdartige Untersuchung.

10. Das lebende Geschöpf nun besteht zunächst aus Seele und Leib, von denen das eine von Natur das Herrschende, das andere das Beherrschte ist. Die natürliche Beschaffenheit aber muss man vielmehr an den Dingen im naturgemässen Zustande betrachten und nicht an den verdorbenen. Daher haben wir denn auch den an Leib und Seele vollkommen gesunden Menschen zu betrachten, an welchem sich das Gesagte erweiset. Denn bei den Lasterhaften oder doch schon Anbrüchigen scheint oftmals der Leib über die Seele zu herrschen, weil sie in einem kranken, naturwidrigen Zustande sind.

11. Es ist also, wie gesagt, zunächst in dem lebenden Geschöpfe eine despotische und eine politische Herrschaft wahrzunehmen; denn die Seele übt über den Leib eine despotische Herrschaft, die Vernunft aber über die Begierde eine politische und königliche; wobei einleuchtend, dass das Beherrschtwerden des Leibes von der Seele, und des leidenschaftlichen Theils von der Vernunft und dem verständigen Theile naturgemäss und nützlich, Gleichheit aber oder gar Umkehrung jenes Verhältnisses für Alle schädlich ist.

12. Wiederum ist es beim Menschen und den übrigen lebenden Wesen eben so; denn die zahmen sind hinsichtlich ihrer Natur besser als die wilden; für diese alle aber ist es besser, vom Menschen beherrscht zu werden, weil ihnen so Erhaltung wird. Ferner das männliche Geschlecht gegen das weibliche gehalten, ist von Natur das eine besser, das andere geringer, dieses herrschend, jenes beherrscht. Ganz ebenso muss es sich aber nothwendig mit allen Menschen verhalten.

13. Soviele also soweit von einander stehn, wie die Seele vom Leibe und der Mensch vom Thier (dies ist aber der Fall bei Allen, deren Aufgabe der Gebrauch ihres Körpers, und deren beste Leistung eben diese ist), diese sind von Natur Sklaven; für die es, so gut wie für die vorhergenannten Dinge, besser ist beherrscht zu werden, als zu herrschen. Denn von Natur Sklave ist der, welcher eines Andern sein kann, (darum ist er auch eines Andern), und der an der Vernunft nur so viel Antheil hat, um sie vernehmen zu können, ohne sie zu besitzen. Denn die übrigen lebenden Geschöpfe vernehmen nicht Vernunft, sondern sind sinnlichen Trieben unterthan.

14. Der Nutzen von beiden ist ferner auch nur unbedeutend verschieden; beide, nämlich, sowohl die Sklaven als die zahmen Hausthiere, verhelfen uns mit ihrem Körper zu nothwendigen Bedürfnissen. Nun beabsichtigt zwar die Natur, auch die Leiber der

---

invito Schneidero, ut patet ex Comment. p. 22. Ceterum Vet. „ex omni natura — animatis". Sed Thom. „ex omninm natura — inanimatis". — καὶ γὰρ ἐν τοῖς] καὶ γὰρ καὶ ἐν τ. alterum καὶ add. Schn. Cor. sine auctor. γὰρ [ ] Göttl. — μὴ μετέχουσι] μήτε pro μὴ Mᵇ. — ἐστί τις] ἔστι τις B 3. — ἐστὶ σκέψεως] ἐστὶν σκεψ. ut saepios B 3.

§. 10. τὸν βέλτιστα] τὸν βελτίονα Mᵇ. — μοχθηρῶν ἢ μοχθηρῶς] καὶ pro ἢ Sᵇ. Vet. Lut. Z. Sylb. Cas. et recentiores ante Schn. — Vet. „pestilentium enim et prave se habentium", ut καὶ φαύλως legisse videatur Schneidero. —

§. 11. ἔστι δ' οὖν] „Est quidem" Vet., unde suspiceris eum ἔστι μὲν οὖν legisse. — ὥςπερ λέγομεν] Cor. coniecit ἐλέγομεν. Malo cfr. Rhet. I, 1. §. 8. (p. 2, 22. Bkk. minor.) Eth. Nic. VI, cp. 3, §. 3. — ἡ μὲν γὰρ] ὁ μ. γ.. Vict. 1. μὲν om. B 2. verba omnia ἡ μὲν γὰρ ψυχὴ τοῦ σώματος ἄρχει δεσποτικὴν ἀρχὴν om. A 1. — τοῦ σώματος] τοῦ om. A 2. — ἄρχει δεσποτικὴν ἀρχὴν] pro his B 2. B 3. δεσποτικὴν ἔχει, sed in marg. B 3. notata vera scriptura. — τὸ ἄρχεσθαι] τῷ ἄρχεσθαι Sᵇ.

§. 12. πᾶσι βέλτιον] βέλτιον πᾶσι Mᵇ. — ἔτι δὲ τὸ] „Est autem" Aret. — τὸ μὲν ἄρχον] καὶ ante τὸ addit B 3. — ἀναγκαῖον εἶναι] εἶναι om. Aret. — πάντων ἀνθρώπων] πάντων τῶν ἀνθρώπων Mᵇ.

§. 13. διεστᾶσιν — δὲ τοῦτον] om. Sᵇ. — διάκεινται δὲ] δὲ om. Q. Tᵇ, et pr. 1ᵇ. A 1. 2. B 2. 3. Z. Vict. 2. G. — ὅσων ἐστὶν] ὅσων δ' ἐστὶν B 3. Vict. 2. Z. ὅσον Lut. vitiose. — καὶ τοῦτ' ἔστ'] ἔσται pro ἔστ' Sᵇ. ἐστὶν Schn. Cor. ἐστ' omisso accentu B 2. 3. — εἴπερ καὶ τοῖς εἰρημένοις] „quemadmodum in praemissis" Ar. „siquidem et dictis creditur" Vet., quorum hic πιστεύεται additum, ille ὥςπερ pro εἴπερ expressit. — ὅσον αἰσθάνεσθαι] „quantum ad sensum recipere" Vet. — λόγου αἰσθανόμενα] λόγῳ margo B 3. idemque expressit Vet., unde recep. Cor. — λόγου αἰσθάνονται expressit Ar., quod prob. Schn.

§. 14. βοήθεια] βοηθία G., cuius vid. Adnot. p. 287

ματα διαφέροντα ποιεῖν τὰ τῶν ἐλευθέρων καὶ τῶν δούλων, τὰ μὲν ἰσχυρὰ πρὸς τὴν ἀναγκαίαν χρῆσιν, τὰ δ' ὀρθὰ καὶ ἄχρηστα πρὸς τὰς τοιαύτας ἐργασίας, ἀλλὰ χρήσιμα πρὸς πολιτικὸν βίον (οὗτος δὲ καὶ γίνεται διῃρημένος εἴς τε τὴν πολεμικὴν χρείαν καὶ τὴν εἰρηνικήν), συμβαίνει δὲ πολλάκις καὶ τοὐναντίον, τοὺς μὲν τὰ σώματ' ἔχειν ἐλευθέρων, τοὺς δὲ τὰς ψυχάς·

15. Ἐπεὶ τοῦτό γε φανερόν, ὡς εἰ τοσοῦτον γένοιντο διάφοροι τὸ σῶμα μόνον, ὅσον αἱ τῶν θεῶν εἰκόνες, τοὺς ὑπολειπομένους πάντες φαῖεν ἂν ἀξίους εἶναι τούτοις δουλεύειν. εἰ δ' ἐπὶ τοῦ σώματος τοῦτ' ἀληθές, πολὺ δικαιότερον ἐπὶ τῆς ψυχῆς τοῦτο διωρίσθαι· ἀλλ' οὐχ ὁμοίως ῥᾴδιον ἰδεῖν τό τε τῆς ψυχῆς κάλλος καὶ τὸ τοῦ σώματος. ὅτι μὲν τοίνυν εἰσὶ φύσει τινὲς οἱ μὲν ἐλεύθεροι, οἱ δὲ δοῦλοι, φανερόν, οἷς καὶ συμφέρει τὸ δουλεύειν καὶ δίκαιόν ἐστιν.

Cap.6. Bkk. 16. Ὅτι δὲ καὶ οἱ τἀναντία φάσκοντες τρόπον τινὰ λέγουσιν ὀρθῶς, οὐ χαλεπὸν ἰδεῖν. διχῶς γὰρ λέγεται τὸ δουλεύειν καὶ ὁ δοῦλος. ἔστι γάρ τις καὶ κατὰ νόμον δοῦλος καὶ δουλεύων· ὁ γὰρ νόμος ὁμολογία τίς ἐστιν, ἐν ᾧ τὰ κατὰ πόλεμον κρατούμενα τῶν κρατούντων εἶναί φασιν. τοῦτο δὴ τὸ δίκαιον πολλοὶ τῶν ἐν τοῖς νόμοις ὥσπερ ῥήτορα γράφονται παρανόμων, ὡς δεινόν, εἰ τοῦ βιάσασθαι δυναμένου καὶ κατὰ δύναμιν κρείττονος ἔσται δοῦλον καὶ ἀρχόμενον τὸ βιασθέν. καὶ τοῖς μὲν οὕτω δοκεῖ, τοῖς δ' ἐκείνως, καὶ τῶν σοφῶν.

17. Αἴτιον δὲ ταύτης τῆς ἀμφισβητήσεως, καὶ ὃ ποιεῖ τοὺς λόγους ἐπαλλάττειν, ὅτι τρόπον τινὰ ἀρετὴ τυγχάνουσα χορηγίας καὶ βιάζεσθαι δύναται μάλιστα, καὶ ἔστιν ἀεὶ τὸ κρατοῦν ἐν ὑπεροχῇ ἀγαθοῦ τινός, ὥστε δοκεῖν μὴ ἄνευ ἀρετῆς εἶναι τὴν βίαν, ἀλλὰ περὶ τοῦ δικαίου μόνον εἶναι τὴν ἀμφισβήτησιν. διὰ γὰρ τοῦτο τοῖς μὲν εὔνοια δοκεῖ τὸ δίκαιον εἶναι, τοῖς δ' αὐτὸ τοῦτο δίκαιον, τὸ τὸν κρείττονα ἄρχειν.

18. Ἐπεὶ διαστάντων γε χωρὶς τούτων τῶν λόγων οὔτ' ἰσχυρὸν οὐθὲν ἔχουσιν οὔτε πιθανὸν ἅτεροι λόγοι, ὡς οὐ δεῖ τὸ βέλτιον κατ' ἀρετὴν ἄρχειν καὶ δεσπόζειν, ὅλως δ' ἀντεχόμενοί τινες, ὡς οἴονται, δικαίου τινός (ὁ γὰρ νόμος δίκαιόν τι), τὴν κατὰ πόλεμον δουλείαν τιθέασι δικαίαν, ἅμα δ' οὔ φασιν. τήν τε γὰρ ἀρχὴν ἐνδέχεται μὴ

Freien und der Sklaven verschieden zu machen, diese kräftig zum nothwendigen Gebrauche, jene aber hochaufgerichtet und unbrauchbar zu solchen Körperarbeiten, aber brauchbar zum staatsbürgerlichen Leben. (Dieses ist aber geschieden in die kriegerische Thätigkeit und in die friedliche.) Oft aber trifft es sich auch wohl umgekehrt, dass die einen die Körper freier Menschen haben, die andern hingegen die Seelen.

15. Denn das ist freilich einleuchtend, dass, wenn es Menschen gäbe, alle so überragend allein an Körper wie die Bildnisse der Götter, alle sagen würden, die übrigen müssten diesen von Rechtswegen dienen. Wenn das nun in Bezug auf den Körper wahr ist, so ist mit noch viel grösserem Recht diese Scheidung in Bezug auf die Seele zu machen. Aber freilich ist es nicht eben so leicht, die Schönheit der Seele zu schauen als des Körpers. — Dass es nun also Menschen giebt, von denen die einen von Natur frei, die andern Sklaven sind, denen es sowohl nützt als recht ist, Sklaven zu sein, ist einleuchtend.

16. Dass indessen auch die Vertheidiger des Gegentheils gewissermassen Recht haben, ist leicht einzusehn; denn Sklave sein und Sklav hat eine doppelte Bedeutung. Es giebt nämlich einen Sklaven, welcher Sklave ist nach dem Gesetz; denn das Gesetz ist eine Art von Uebereinkunft, worin es heisst, dass das im Kriege Eroberte den Eroberern gehöre. Dies Recht nun eben beschuldigen Viele, die sich mit dem Staatsrecht beschäftigen, wie einen Redner, der Gesetzwidrigkeit, da es ja schwerlich sei, dass das Ueberwältigte Sklav und Unterthan dessen sein solle, das da zu überwältigen die Macht und überhaupt mehr Kraftvermögen hat. Und so scheint es selbst unter den Philosophen den einen so, den andern so.

17. Ursache aber dieses Zwiespalts und was für beide Ansichten Gründe aufzustellen verstattet, ist, dass in gewisser Hinsicht Tüchtigkeit mit äussern Hülfsmitteln wohlausgerüstet einestheils am meisten zu überwältigen vermag, anderntheils das Ueberwindende immer in irgend einer vorzüglichen Eigenschaft sich auszeichnet, so dass die äussere Uebermacht nicht ohne innere Vorzüglichkeit zu sein scheint und der Streit nur das Gerechte betrifft. Denn darum erscheint den einen das Gerechte als Wohlwollen, den andern eben dies das Gerechte zu sein, dass der Stärkere herrsche.

18. Da nun von diesen entgegengesetzten Ansichten die Gründe für die eine, dass nämlich das an Tugend Bessere nicht regieren und herrschen müsse, weder Halt noch überzeugende Kraft haben, so halten sich einige unbedingt an ein, wie sie meinen, Gerechtes (denn das Gesetz ist ein Gerechtes) und stellen die Sklaverei durch Krieg als gerecht hin. Zugleich aber verneinen sie es; denn der Anfang der Kriege kann ja

— 288. — διαφέροντα ποιεῖν] διαφ. ποιεῖ Q.Mb. Sb.Tb. et pr. Ib. A 1. 2. B 2. (quae comma habet post φύσις positum ut B 3.) G. — τὰ τῶν ἐλευθέρων] τὰ om. Sb. — τὰ μὲν] καὶ τὰ μὲν Ib. — οὗτος δὲ καὶ] οὕτως, quod est in A 1. 2. B 2., recep. G., qui satis acute defendit. — σώματ' ἔχειν] σώματα, quod cum Vict. 2. dedit G., reiecit idem in Adnotat. Idem quod in texta posuit τῶν post ἔχειν delendum censet in Adnotat. — ἐλευθέρων] ἐλευθέρων Ib. P 2.

§. 15. ἐπὶ τῆς ψυχῆς] δ' ante ἐπὶ addit Tb. — οἱ δὲ δοῦλοι, φανερὸν] φανερὸν post δίκαιόν ἐστιν posuerunt Schn. Cor. sine auctoritate.

§. 16. ἔστι γάρ τις καὶ κατὰ] καὶ om Mb. et G. cum edd. vett. omnibus (praeter A 2. unde recep. ante Bkk. Schn. Cor.) κατὰ supra scripto καὶ P 3. καὶ addi debere iam vidit Reiskius. — ἐν ᾧ τὰ] ἐν ῇ τὰ B 3. — εἶναί φασιν] φασὶ B 3. — τοῦτο δὴ τὸ] δὲ pro δὴ Mb. δὴ ante Bkk. restituit G. ex P 1. A 1. 2. „addens in ceteris esse δέ", quod num etiam de P 2. 3. 4. 5. M. dictum sit nescio. Sed est δὴ etiam in B 2. 3. — γράφονται] γράφοντα Sb. — ὡς δεινὸν εἰ] ὂν post δεινὸν add. Cor. de coniect. Reiskii et Schneideri. „Sed cur tandem? Lysias p. 101, 39 HSt. ἦ δεινόν γε, εἰ εἰς μὲν λύσιν τοῦ σώματος ἔδωκα τὸ ἀργύριον." Goettl. — οὕτω δοκεῖ] οὕτως δ. G. tacite. — καὶ τῶν σοφῶν] καὶ male om. Cor.

§. 17. τυγχάνουσα χορηγίας] „sortita successum" Vet. — ἀγαθοῦ τινός] Sic Lut. Bekk., τινος (sine acc.) reliqui. — διὰ γὰρ τοῦτο] „propter haec etiam" Ar. — εὔνοια δοκεῖ] εὐνομία Cor. de coni. Lambini; „benevolentia victorum" Vet. „victorum" om. Thom., qui sic interpretatur „in favorem victorum, ut propter hoc homines ad fortiter pugnandum incitarentur."

§. 18. Ἐπεὶ] Videtur δὲ excidisse post ἐπεί. — ἅτεροι λόγοι] ἕτεροι Mb. ἄπροι Sb. — ὡς οἴονται] „possibile est" (οἷόν τε) Vet. — ἅμα δ' οὔ φασιν] ὅλως pro ἅμα Mb.Tb. Vet. P 1. (in textu) Codd. Sepulvedae Vict. 1. Lut. Sylb. Gif. et recentt. ante Schn.; ἅμα quod est in septem Codd. Bekkeri. et P 2. 3. P 1 (in marg.) A 1. 2. B 2. 3. Ar. Vict. 2. (eiusque MSS.) Cas. recep. Schn. Cor. G. Bkk. In B 2. rectius legi ἁπλῶς adscriptum est. In marg. B 3. rectius legi ὅλως aut ἁπλῶς monitum. — τήν τε γὰρ] τε om. Mb. — μὴ δικαίαν]

δικαίαν εἶναι τῶν πολέμων, καὶ τὸν ἀνάξιον δουλεύειν οὐδαμῶς ἂν φαίη τις δοῦλον εἶναι· εἰ δὲ μή, συμβήσεται τοὺς εὐγενεστάτους εἶναι δοκοῦντας δούλους εἶναι καὶ ἐκ δούλων, ἐὰν συμβῇ πραθῆναι ληφθέντας. διόπερ αὐτοὺς οὐ βούλονται λέγειν δούλους, ἀλλὰ τοὺς βαρβάρους. καίτοι ὅταν τοῦτο λέγωσιν, οὐθὲν ἄλλο ζητοῦσιν ἢ τὸ φύσει δοῦλον, ὅπερ ἐξ ἀρχῆς εἴπομεν· ἀνάγκη γὰρ εἶναί τινας φάναι τοὺς μὲν πανταχοῦ δούλους τοὺς δ' οὐδαμοῦ.

19. Τὸν αὐτὸν δὲ τρόπον καὶ περὶ εὐγενείας· αὑτοὺς μὲν γὰρ οὐ μόνον παρ' αὑτοῖς εὐγενεῖς ἀλλὰ πανταχοῦ νομίζουσιν, τοὺς δὲ βαρβάρους οἴκοι μόνον, ὡς ὄν τι τὸ μὲν ἁπλῶς εὐγενὲς καὶ ἐλεύθερον τὸ δ' οὐχ ἁπλῶς, ὥσπερ ἡ Θεοδέκτου Ἑλένη φησὶ

θείων δ' ἀπ' ἀμφοῖν ἔκγονον ῥιζωμάτων
τίς ἂν προσειπεῖν ἀξιώσειεν λάτριν;

ὅταν δὲ τοῦτο λέγωσιν, οὐθενὶ ἀλλ' ἢ ἀρετῇ καὶ κακίᾳ διορίζουσι τὸ δοῦλον καὶ ἐλεύθερον, καὶ τοὺς εὐγενεῖς καὶ τοὺς δυσγενεῖς. ἀξιοῦσι γάρ, ὥσπερ ἐξ ἀνθρώπου ἄνθρωπον καὶ ἐκ θηρίων γίνεσθαι θηρίον, οὕτω καὶ ἐξ ἀγαθῶν ἀγαθόν· ἡ δὲ φύσις βούλεται μὲν τοῦτο ποιεῖν πολλάκις, οὐ μέντοι δύναται.

20. Ὅτι μὲν οὖν ἔχει τινὰ λόγον ἡ ἀμφισβήτησις, καὶ οὐκ εἰσὶν οἱ μὲν φύσει δοῦλοι οἱ δ' ἐλεύθεροι, δῆλον· καὶ ὅτι ἔν τισι διώρισται τὸ τοιοῦτον, ὧν συμφέρει τῷ μὲν τὸ δουλεύειν τῷ δὲ τὸ δεσπόζειν, καὶ δίκαιον, καὶ δεῖ τὸ μὲν ἄρχεσθαι τὸ δ' ἄρχειν, ἣν πεφύκασιν ἀρχὴν ἄρχειν, ὥστε καὶ δεσπόζειν. τὸ δὲ κακῶς ἀσυμφόρως ἐστὶν ἀμφοῖν· τὸ γὰρ αὐτὸ συμφέρει τῷ μέρει καὶ τῷ ὅλῳ καὶ σώματι καὶ ψυχῇ, ὁ δὲ δοῦλος μέρος τι τοῦ δεσπότου, οἷον ἔμψυχόν τι τοῦ σώματος κεχωρισμένον δὲ μέρος.

21. Διὸ καὶ συμφέρον ἐστί τι καὶ φιλία δούλῳ καὶ δεσπότῃ πρὸς ἀλλήλους τοῖς φύσει τούτων
Cap. 7. Bkk. ἠξιωμένοις· τοῖς δὲ μὴ τοῦτον τὸν τρόπον, ἀλλὰ κατὰ νόμον καὶ βιασθεῖσι, τοὐναντίον. Φανερὸν δὲ καὶ ἐκ τούτων, ὅτι οὐ ταὐτόν ἐστι δεσποτεία καὶ πολιτική, οὐδὲ πᾶσαι ἀλλήλαις αἱ ἀρχαί, ὥσπερ τινές φασιν. ἡ μὲν γὰρ ἐλευθέρων φύσει, ἡ δὲ δούλων ἐστίν, καὶ ἡ μὲν οἰκονομικὴ μοναρχία (μοναρχεῖται γὰρ πᾶς οἶκος), ἡ δὲ πολιτικὴ ἐλευθέρων καὶ ἴσων ἀρχή.

ungerecht sein, und dann wird doch wohl nimmermehr einer behaupten wollen, dass der, der es nicht verdient Sklave zu sein, Sklave sei. Sonst wird die Folge sein, dass die, welche für die edelgeborensten gelten, Sklaven sind und Sklavenkinder, wenn sie zufällig gefangen und verkauft werden. Deshalb wollen sie (die Hellenen) sich selbst nicht Sklaven nennen, sondern die Barbaren. Und doch wenn sie dies sagen, suchen sie nichts Anderes, als das von Natur Sklavische, wovon wir zu Anfang redeten. Denn man muss nothwendig eingestehn, dass es Menschen giebt, von denen die einen überall, die andern nirgends Sklaven sind.

19. Ebenso verhält es sich auch mit dem Geburtsadel; sich selbst nämlich halten sie nicht nur in ihrer Heimath für edelgeboren, sondern überall, die Barbaren aber blos zu Hause; weil es ein absolut Edles und Freies, und ein nicht absolutes gäbe; wie bei Theodektes Helena sagt:

Von beider Eltern Götterstamm' entsprossen,
Wer dürft' es wagen, Sklavin zu benennen mich!

Sobald sie aber eine solche Sprache führen, scheiden sie das Sklavische und Freie, und die Edelgebornen und Niedriggebornen nur nach Vorzügen und Mängeln; denn sie meinen, dass wie von einem Menschen ein Mensch, von einem Thiere aber ein Thier werde, so auch von Edlen ein Edler. Freilich will die Natur dies in der Regel bewirken, kann es aber nicht immer.

20. Dass nun also einerseits jener Zweifel nicht ganz grundlos, und dass die Menschen von Natur nicht durchweg entweder frei oder Sklaven sind, ist offenbar; so wie auch dass dieser Unterschied bei einigen bestimmt bezeichnet ist, von denen es also dem einen frommt, Sklave, dem andern, Herr zu sein, und dass es gerecht und nothwendig ist, dass das eine regiert werde, das andere regiere, und zwar in einer seiner Natur angemessenen Art und Weise, mithin auch Herr sei. Eine schlechte Art der Herrschaft aber ist beiden unvortheilhaft. Denn eins und dasselbe ist für den Theil und für das Ganze, für die Seele und für den Leib vortheilhaft. Der Sklav ist aber ein Theil des Herrn; gleichsam ein beseelter, aber doch trennbarer Theil des Körpers.

21. Deshalb findet auch zwischen Herrn und Sklaven, wenn die Natur sie dazu machte, Freundschaft und Nutzen gegenseitig Statt; bei denen aber, die es nicht so, sondern durch Satzung und Zwang geworden sind, das Gegentheil. Auch hieraus schon ist einleuchtend, dass die Gewalt des Herrn und die des Herrschers im Staate nicht dieselbe sei, noch auch die sämmtlichen Regierungen einander gleich, wie einige behaupten; denn die eine gehört für von Natur Freie, die andere für Sklaven; und die Hausverwaltungskunst ist Monarchie (denn jede Familie wird monarchisch regiert), die Staatsverwaltungskunst aber Herrschaft Freier und Gleicher.

μὴ om. P 1., sed in marg. videtur additum esse. — *διόπερ αὐτοὺς*] *διόπ. αὑτοὺς* male Cor. cum Reisk. et Montecat. — *πανταχοῦ*] *ἐξ ἀρχῆς* P 1. (sed in marg. *γρ. ἁπανταχοῦ*) Vet. „a principio“. — *οὐδαμοῦ*] „nequaquam“ Vet.

§. 19. *αὑτοὺς*] Sic Bkk. tacite. *αὐτοὺς* reliq. *αὑτοὺς* coniec. etiam Conring. *αὐτοῖς* S^b. T^b. et pr. I^b. — *ὡς ὄν τι*] *τι* om. Ar. — *καὶ ἐλεύθερον*] om. Ar. *καὶ* om. P 2. 3. A 1. 2. B 2. — *ἡ Θεοδέκτου*] *καὶ ἡ Θεοδ.* M^b. et editt. ante Bekk. omnes. — *θείων*] *θεῖον* A 2. — *ἔκγονον*] *ἐκγόνοι* S^b.T^b. *ἐκ γόνοιν* divis. Q.I^b.M^b. *ἐκγόνοιν* P 2. 3. A 1. 2. B 2. 3. Lut. Sylb. Vict. 2. In P 1. puncto supposito indicatum est, legendum esse *ἔκγονον*, et sic primus coniecit Camerar. Etiam Aret. vertit „prognatam“, sed Vet.: „progenitoribus codicibus“ (sic). Thom.: „ambabus divinis progenitricibus“. — *ἀξιώσειεν*] Sic Bkk. tac.; sed Göttl. monet, in omnibus tam antiquis editt. (id quod non verum est de Lut. et Sylb.) quam MSS. codd. esse *ἀξιώσειε*, quod servarunt Schn. Cor. G. — *οὐθενὶ*] *οὐδὲν* P 1. — *ἐξ ἀνθρώπου*] *ἐξ ἀνθρώπων* Ar. B 1. 2. 3. prob. Reiskio. — *γίνεσθαι θηρίον*] *γενέσθαι θ.* P 1. Q.T^b. — *ποιεῖν πολλάκις, οὐ μέντοι δύναται*] comma post *ποιεῖν* habet B 3.

§. 20. *καὶ οὐκ εἰσὶν οἱ μὲν*] Sic Bekk. tac. Vet. et Victor. 2. Lut. Sylb. et recent. ante Schn. Sed *οὐκ* om. A 1. B 2. B 3. Schn. Cor. G. *καὶ εἰσὶ καὶ οὐκ εἰσὶ* A 2., quod probat Muret. V. Lectt. XV, 12. Göttling. coniecit: *ὅτι μὲν οὐκ ἔχει τινὰ λόγον ἡ ἀμφισβήτησις καὶ εἰσὶν οἱ μὲν* (cfr. Annal. Acad. Ien. I, p. 460.) Lamb. *εἰ εἰσὶν οἱ μὲν φύσει δοῦλοι, ἢ οὔ, δῆλον.* — *διώρισται τὸ*] *τι* pro *τὸ* Ar. — *τὸ δεσπόζειν*] *τὸ* om. Q.I^b.S^b.T^b. P 2. A 1. 2. B 2. 3. — *ἀσυμφόρως*] *ἀσύμφορόν* Schn. Cor.

§. 21. *διὸ καὶ*] *καὶ* del. censet G. male! — *τοῖς φύσει τούτων ἠξιωμένοις*] „his qui natura tales dignificantur“ Vet. — *πολιτική*] *πολιτικῇ* T^b. — *οὐδὲ πᾶσαι ἀλλήλαις*] *οὐδὲ πᾶσαι πρὸς ἀλλήλους* Schn. Cor. „nec omnes ad invicem“ Vet. „nec

22. Ὁ μὲν οὖν δεσπότης οὐ λέγεται κατ' ἐπιστήμην, ἀλλὰ τῷ τοιόσδ' εἶναι· ὁμοίως δὲ καὶ ὁ δοῦλος καὶ ὁ ἐλεύθερος. ἐπιστήμη δ' ἂν εἴη καὶ δεσποτικὴ καὶ δουλική, δουλικὴ μέν, οἵαν περ ὁ ἐν Συρακούσαις ἐπαίδευεν· ἐκεῖ γὰρ λαμβάνων τις μισθὸν ἐδίδασκε τὰ ἐγκύκλια διακονήματα τοὺς παῖδας. εἴη δ' ἂν καὶ ἐπὶ πλεῖον τῶν τοιούτων μάθησις, οἷον ὀψοποιικὴ καὶ τἆλλα τὰ τοιαῦτα γένη τῆς διακονίας. ἔστι γὰρ ἕτερα ἑτέρων τὰ μὲν ἐντιμότερα ἔργα τὰ δ' ἀναγκαιότερα, καὶ κατὰ τὴν παροιμίαν

„δοῦλος πρὸ δούλου, δεσπότης πρὸ δεσπότου."

23. Αἱ μὲν οὖν τοιαῦται πᾶσαι δουλικαὶ ἐπιστῆμαί εἰσι, δεσποτικὴ δ' ἐπιστήμη ἐστὶν ἡ χρηστικὴ δούλων· ὁ γὰρ δεσπότης οὐκ ἐν τῷ κτᾶσθαι τοὺς δούλους, ἀλλ' ἐν τῷ χρῆσθαι δούλοις. ἔστι δ' αὕτη ἡ ἐπιστήμη οὐδὲν μέγα ἔχουσα οὐδὲ σεμνόν· ἃ γὰρ τὸν δοῦλον ἐπίστασθαι δεῖ ποιεῖν, ἐκεῖνον δεῖ ταῦτα ἐπίστασθαι ἐπιτάττειν. διὸ ὅσοις ἐξουσία μὴ αὐτοὺς κακοπαθεῖν, ἐπίτροπος λαμβάνει ταύτην τὴν τιμήν, αὐτοὶ δὲ πολιτεύονται ἢ φιλοσοφοῦσιν. ἡ δὲ κτητικὴ ἑτέρα ἀμφοτέρων τούτων, οἷον ἡ δικαία, πολεμική τις οὖσα ἢ θηρευτική. περὶ μὲν οὖν δούλου καὶ δεσπότου τοῦτον διωρίσθω τὸν τρόπον.

22. Der Herr also heisst so nicht wegen seiner Wissenschaft, sondern weil er ein solcher ist. Eben so auch der Freie und der Sklav. Doch giebt es eine Wissenschaft sowohl für das Herrn- als für das Sklavenverhältniss. Die Wissenschaft der Sklaven betreffend, so lehrte z. B. in Syrakus einer um Lohn die Sklaven den gesammten Kreis der Dienstverrichtungen. Der Unterricht hierin liesse sich auch noch weiter treiben, wie z. B. zur Kochkunst und ähnlichen Arten des Dienstes. Denn die Geschäfte der Einzelnen sind verschieden, bald feinerer Art, bald nothwendiger, und nach dem Sprüchwort ist

ein Sklave vor dem andern und ein Herr vor'm Herrn!

23. Dieses sind nun lauter Wissenschaften für Sklaven. Die Wissenschaft des Herrn aber ist die, welche die Benutzung der Sklaven lehrt. Denn der Herr bethätigt sich als solcher nicht im Erwerben, sondern im Benutzen der Sklaven. Es ist aber mit dieser Wissenschaft nicht so etwas Grosses und Erhabenes: was nämlich der Sklav zu verrichten verstehn muss, das soll jener verstehn zu befehlen. Wo daher die Herren sich selbst damit zu placken nicht nöthig haben, da übernimmt der Aufseher diese Ehre, sie selbst aber treiben Staatsgeschäfte oder Philosophie. Die Erwerbskunst aber ist von diesen beiden verschieden, nämlich die gerechte, die in Krieg und Jagd zur Anwendung kommt. Soviel vom Sklaven und Herrn.

Cap. 8. Bkk.

CAP. III.

Ὅλως δὲ περὶ πάσης κτήσεως καὶ χρηματιστικῆς θεωρήσωμεν κατὰ τὸν ὑφηγημένον τρόπον, ἐπείπερ καὶ ὁ δοῦλος τῆς κτήσεως μέρος τι ἦν. πρῶτον μὲν οὖν ἀπορήσειεν ἄν τις, πότερον ἡ χρηματιστικὴ ἡ αὐτὴ τῇ οἰκονομικῇ ἐστίν, ἢ μέρος τι, ἢ ὑπηρετική, καὶ εἰ ὑπηρετική, πότερον ὡς ἡ κερκιδοποιικὴ τῇ ὑφαντικῇ, ἢ ὡς ἡ χαλκουργικὴ τῇ ἀνδριαντοποιίᾳ· οὐ γὰρ ὡσαύτως ὑπηρετοῦσιν, ἀλλ' ἡ μὲν ὄργανα παρέχει, ἡ δὲ τὴν ὕλην. λέγω δὲ ὕλην τὸ ὑποκείμενον, ἐξ οὗ τι ἀποτελεῖται ἔργον, οἷον ὑφάντῃ μὲν ἔρια, ἀνδριαντοποιῷ δὲ χαλκόν.

2. Ὅτι μὲν οὖν οὐχ ἡ αὐτὴ ἡ οἰκονομικὴ τῇ χρηματιστικῇ, δῆλον. τῆς μὲν γὰρ τὸ πορίσασθαι, τῆς δὲ τὸ χρήσασθαι· τίς γὰρ ἔσται ἡ χρησομένη τοῖς κατὰ τὴν οἰκίαν παρὰ τὴν οἰκονομικήν; πότερον δὲ μέρος αὐτῆς ἐστί τι ἢ ἕτερον εἶδος, ἔχει διαμφισβήτησιν. εἰ γὰρ ἔστι τοῦ χρηματιστικοῦ θεωρῆσαι, πόθεν χρήματα καὶ κτῆσις ἔσται, ἡ δὲ κτῆσις πολλὰ περιείληφε μέρη καὶ ὁ πλοῦτος, γνωστέον πρῶτον ἡ γεωργικὴ πότερον μέρος τι τῆς χρηματιστικῆς, ἢ

Kap. III.

1. Jetzt aber wollen wir unserm Plane gemäss im Allgemeinen über den gesammten Besitz und die Gelderwerbskunst handeln, da ja auch der Sklav uns als ein Theil des Besitzes erschien. Zunächst nun könnte einer wohl die Frage aufwerfen: ob die Gelderwerbskunst dieselbe ist mit der Hausverwaltungskunst, oder ein Theil davon, oder eine Hülfskunst, und wenn eine Hülfskunst, ob in der Art wie die Weberschiffmacherkunst zur Webekunst oder die Kupferschmiedskunst zur Bildgiesserei, denn beide helfen nicht auf dieselbe Art, sondern die eine schafft Werkzeuge, die andere den Stoff; Stoff aber nenne ich die Substanz, aus welcher ein Werk zu Stande gebracht wird, z. B. für den Weber Wolle, für den Bildgiesser Kupfer.

2. Dass nun die Gelderwerbskunst nicht eins ist mit der Hausverwaltungskunst, ist offenbar; denn jene hat's mit dem Herbeischaffen, diese mit dem Gebrauchen zu thun. Welche andere Kunst sollte sich denn auch ausser der Hausverwaltungskunst auf den Gebrauch dessen, was im Hause ist, beziehen? Ob sie aber ein Theil von ihr oder eine verschiedene Art sei, darüber lässt sich streiten. Denn wenn es des Erwerbfleissigen Sache ist, zu sehen, woher Geld und Besitz einkommt, Besitz und Reichthum aber viele Theile umfassen, so ist zunächst auszumachen, ob die Ackerbaukunst ein Theil

---

omnia simul principia" Ar., qui ἅμα pro ἀλλήλαις legisse videtur.

§. 22. καὶ δουλική] καὶ om. Q.S^b.T^b. — δουλικὴ μὲν] δουλικὴ om. Q. — ὁ ἐν Συρακούσαις] ὁ om. S^b. Συῤῥακούσαις duplici ρ cum A 1. 2. G. cfr. eius Adnotat. p. 293. — ἐπαίδευεν] ἐπαίδευσεν R. — τὰ ἐγκύκλια διακονήματα] om. Ar. — ὀψοποιική] ὀψοποιητική B 3. — ἕτερα ἑτέρων] ἔργα ἑτέρων P 4. (sed corr. in marg.) A 1. B 2. ἕτερα ἔργα Q.S^b.T^b.

§. 23. αὕτη ἡ ἐπιστήμη] ἡ om. Q.S^b.T^b. — οὐδὲ σεμνόν] οὐδὲν σ. S^b. — ἐπίστασθαι — ταῦτα ἐπίστασθαι] om. Q. — διωρίσθω] διωρίσαντο Q.T^b. διωρήσαντο S^b.

Cap. III. §. 1. χρηματιστικῆς] χρηματικῆς T^b. — κτήσεως μέρος] κτίσεως μ. T^b. — πότερον ἡ χρηματιστική] ἡ om. A 2. — κερκιδοποιική] κερκιδοποιητική P 1. B 3. Z. idque valde placet Göttl. Sed falso Schn. et Sylb. dicunt in Victoriana esse κερκιδοποιητική, cum et in Lut. et in Vict. 2. sit κερκιδοποιική. — ἡ μὲν ὄργανα] ἡ μὲν τὰ ὄργανα Schn. et Cor. tac. — ἔρια] ἔριον P 1. prob. G. — χαλκόν] χαλκός P 1. prob. G.

§. 2. ἡ αὐτὴ ἡ οἰκονομικὴ τῇ χρηματιστικῇ] ἡ post αὐτή, quod abest ab omnibus MSS. et edd., addendum esse vidit G. et addidit Bkk. ex I^{b}rc. (in P 2. eius loco esse ἢ dicit G.); ἡ αὐτὴ τῇ οἰκονομικῇ ἡ χρηματιστικὴ de Sylb. coni. recepp. Schn. Cor. — παρὰ τὴν οἰκον.] περὶ τὴν οἰκ. S^b.T^b. — διαμφισβήτησιν] δι' ἀμφισβήτησιν P 2. — αὐτῆς ἐστί τι] αὐτ. ἐστὶ τί B 3. — εἰ γὰρ ἔστι] Sic recte G. εἰ γὰρ ἐστι Bkk. ut B 2. 3. Vict. 1. Lut. Vict. 2. Sylb.; εἰ γὰρ ἐστι Schn. — ἡ δὲ κτῆσις] κτίσις T^b. — γνωστέον πρῶτον] Recepimus felicissimam G. coniecturam.

ἕτερόν τι γένος, καὶ καθόλου ἡ περὶ τὴν τροφὴν ἐπιμέλεια καὶ κτῆσις;

3. Ἀλλὰ μὴν εἴδη γε πολλὰ τροφῆς, διὸ καὶ βίοι πολλοὶ καὶ τῶν ζώων καὶ τῶν ἀνθρώπων εἰσίν· οὐ γὰρ οἷόν τε ζῆν ἄνευ τροφῆς, ὥςτε αἱ διαφοραὶ τῆς τροφῆς τοὺς βίους πεποιήκασι διαφέροντας τῶν ζώων. τῶν τε γὰρ θηρίων τὰ μὲν ἀγελαῖα τὰ δὲ σποραδικά ἐστιν, ὁποτέρως συμφέρει πρὸς τὴν τροφὴν αὐτοῖς, διὰ τὸ τὰ μὲν ζωοφάγα τὰ δὲ καρποφάγα τὰ δὲ παμφάγα αὐτῶν εἶναι· ὥςτε πρὸς τὰς ῥαστώνας καὶ τὴν αἵρεσιν τὴν τούτων ἡ φύσις τοὺς βίους αὐτῶν διώρισεν. ἐπεὶ δ' οὐ ταὐτὸ ἑκάστῳ ἡδὺ κατὰ φύσιν ἀλλ' ἕτερα ἑτέροις, καὶ αὐτῶν τῶν ζωοφάγων καὶ τῶν καρποφάγων οἱ βίοι πρὸς ἄλληλα διεστᾶσιν.

4. Ὁμοίως δὲ καὶ τῶν ἀνθρώπων· πολὺ γὰρ διαφέρουσιν οἱ τούτων βίοι. οἱ μὲν οὖν ἀργότατοι νομάδες εἰσίν· ἡ γὰρ ἀπὸ τῶν ἡμέρων τροφὴ ζώων ἄνευ πόνου γίνεται σχολάζουσιν· ἀναγκαίου δ' ὄντος μεταβάλλειν τοῖς κτήνεσι διὰ τὰς νομὰς καὶ αὐτοὶ ἀναγκάζονται συνακολουθεῖν, ὥςπερ γεωργίαν ζῶσαν γεωργοῦντες. οἱ δ' ἀπὸ θήρας ζῶσι, καὶ θήρας ἕτεροι ἑτέρας, οἷον οἱ μὲν ἀπὸ λῃστείας, οἱ δ' ἀφ' ἁλιείας, ὅσοι λίμνας καὶ ἕλη καὶ ποταμοὺς ἢ θάλατταν τοιαύτην προσοικοῦσιν, οἱ δ' ἀπ' ὀρνίθων ἢ θηρίων ἀγρίων. τὸ δὲ πλεῖστον γένος τῶν ἀνθρώπων ἀπὸ τῆς γῆς ζῇ καὶ τῶν ἡμέρων καρπῶν.

5. Οἱ μὲν οὖν βίοι τοσοῦτοι σχεδόν εἰσιν, ὅσοι γε αὐτόφυτον ἔχουσι τὴν ἐργασίαν καὶ μὴ δι' ἀλλαγῆς καὶ καπηλείας πορίζονται τὴν τροφήν, νομαδικός, γεωργικός, λῃστρικός, ἁλιευτικός, θηρευτικός· οἱ δὲ καὶ μιγνύντες ἐκ τούτων ἡδέως ζῶσι, προσαναπληροῦντες τὸν ἐνδεέστατον βίον, ᾗ τυγχάνει ἐλλείπων πρὸς τὸ αὐτάρκης εἶναι, οἷον οἱ μὲν νομαδικὸν ἅμα καὶ λῃστρικόν, οἱ δὲ γεωργικὸν καὶ θηρευτικόν. ὁμοίως δὲ καὶ περὶ τοὺς ἄλλους, ὡς ἂν ἡ χρεία συναναγκάζῃ, τοῦτον τὸν τρόπον διάγουσιν.

6. Ἡ μὲν οὖν τοιαύτη κτῆσις ὑπ' αὐτῆς φαίνεται τῆς φύσεως διδομένη πᾶσιν, ὥςπερ κατὰ τὴν πρώτην γένεσιν εὐθύς, οὕτω καὶ τελειωθεῖσιν. καὶ γὰρ κατὰ τὴν ἐξ ἀρχῆς γένεσιν τὰ μὲν συνεκτίκτει τῶν ζώων τοσαύτην τροφὴν ὡς ἱκανὴν εἶναι μέχρις οὗ ἂν δύνηται αὐτὸ αὑτῷ πορίζειν τὸ γεννηθέν, οἷον ὅσα σκωληκοτοκεῖ ἢ ᾠοτοκεῖ· ὅσα δὲ ζωοτοκεῖ, τοῖς γεννωμένοις ἔχει τροφὴν ἐν αὑτοῖς μέχρι τινός, τὴν τοῦ καλουμένου γάλακτος φύσιν.

der Gelderwerbskunst, oder verschiedener Art, und überhaupt die gesammte Besorgung der Nahrung und deren Erwerb.

3. Nun giebt es aber freilich viele Arten der Nahrung und deshalb auch vielerlei Lebensweisen sowohl unter den lebenden Geschöpfen überhaupt, als unter den Menschen; denn es ist nicht möglich zu leben ohne Nahrung. Daher haben die Verschiedenheiten der Nahrung die Lebensweisen der lebenden Geschöpfe verschieden gemacht. Von den wilden Thieren leben die einen heerdenweis, die andern vereinzelt, je nachdem es ihnen in Bezug auf ihre Nahrung nützlich ist, weil die einen von ihnen fleischfressende, die andern vegetabilien-, die andern allesfressende sind, so dass also zu ihrer leichteren Befriedigung und Auswahl dieser Nahrungsmittel die Natur ihre Lebensweisen gesondert hat. Da aber nicht dasselbe jedem seiner Natur nach angenehm ist, sondern Andern Anderes, so sind auch unter den fleischfressenden selbst sowie unter den vegetabilienfressenden die Lebensweisen unter einander verschieden.

4. Ebenso verhält sich's mit den Menschen; denn ihre Lebensweisen sind überaus verschieden. Die trägsten nämlich sind Nomaden, denn der Unterhalt von den zahmen Thieren wird ihnen ohne Mühe, in Gemächlichkeit, und wenn es ihren Heerden Noth thut, wegen der Weide den Ort zu wechseln, so werden auch sie genöthigt, ihnen zu folgen, indem sie gleichsam einen lebendigen Ackerbau betreiben. Andere leben von der Jagd, und zwar andere von anderer, z. B. die einen vom Seeraube, die andern von der Fischerei, soviel da Seen und Sümpfe und Flüsse oder dazu geeignete Seeküsten bewohnen; andere von der Jagd der Vögel oder wilden Thiere. Der grösste Theil der Menschen aber lebt von der Erde und den veredelten Früchten.

5. Dies sind also ohngefähr die Lebensweisen, welche auf einer von der Natur angewiesenen Thätigkeit beruhen, und nicht durch Tausch und Handelsverkehr sich den Unterhalt verschaffen: die des Nomaden, des Ackerbauers, des Seeräubers, des Fischers, des Jägers. Einige aber machen auch wohl aus diesen eine Mischung und leben bequem, indem sie das dringendste Bedürfniss der Lebensweise da, wo es grade fehlt, um auszureichen, ausfüllen. So z. B. verbinden Einige das Nomadenleben mit dem Räuberleben, Andere das ackerbauende mit dem Jägerleben. Und so ist's auch mit den andern Lebensweisen; wie es das Bedürfniss erheischt, so wählen sie dieselben.

6. Diese Art von Besitz nun scheint von der Natur selbst jedem gegeben wie gleich bei der ersten Entstehung so auch den schon ausgebildeten. Denn gleich mit dem ersten Augenblicke der Geburt bringen einige von den Thieren so viel Nahrung mit als da genügt, bis das Erzeugte im Stande ist, sich solche selbst zu verschaffen, z. B. alle die, welche Würmer oder Eier gebären. So viele aber lebende Junge gebären, die haben für die Erzeugten Nahrung in sich bis zu einem gewissen Zeitpunkte, die sogenannte Milchsubstanz.

Libri mss. et editi omnes ὥςτε πρῶτον. ὥςτε [ ] Cor. — ἐπιμέλεια καὶ κτῆσις] fuitne κτῆσιν.

§. 3. τῶν τε γὰρ] γὰρ om. I^b. — καὶ τὴν αἵρεσιν τὴν τούτων] haec om. Aret.

§. 4. ὁμοίως δὲ καὶ τῶν] Sic Bkk. tacite ut Lut. Sylb. Vict. 1. idem coniecerat Schn. ex Vet. („similiter autem et hmoi" i. e. homini) Thom. („similiter autem et hominum") prob. Cor. — Vulgo: ὁμοίως δὲ τὸ τῶν. sed Bas. 3. ὁμ. δ. καὶ τὸ τῶν. — Aret.: „hoc idem est in hominibus", unde Schn. coniec. ἐπὶ τῶν. — πολὺ γὰρ] πολλοὶ γὰρ S^b. T^b. A 1. B 2. inde πολλοῖς Vict. Lut. Sylb. Schn. Cor. πολὺ est in A 2. P 1. 2. 3. et edd. rel. una cum Bekkeri 7 Codd. πολλὺ B 3. — ἀφ' ἁλιείας] „ἀφ' ἁλιείας plerique" Bekk. — καὶ τῶν ἡμέρων καρπῶν] τῶν om. Vict. 1. Z. (sed est in Lut. Vict. 2.) [ ] Sylb.

§. 5. αὐτόφυτον] αὐτόφυγον Q. „sponte natam elaborationem" Vet. — προσαναπληροῦντες] „consupplentes" Vet. „supplentes" Aret. — τὸν ἐνδεέστατον βίον, ᾗ τυγχάνει ἐλλείπων] τὸ ἐνδεὲς τοῦ βίου B 3. idemque scrib. coniecit Cor.; „deficientem vitam qua deficiens est" Aret., „defectissimam vitam qua fiunt deficientes" Vet., „— quae fuerit deficiens" Thom. — πρὸς τὸ αὐτάρκης] π. τ. αὐταρκεῖς B 3. — συναναγκάζῃ] ἀναγκάζῃ I^b.

§. 6. τελειωθεῖσιν] ante Bekk. τελειωθεῖσι. „secundum perfectionem" Vet. „secundum perfectam" Thom. — τοῖς γεννωμένοις ἔχει] Sic nos cum Cor. e correctione Sylb., quae egregie confirmatur auctoritate P 1. prob. Cas. G. — Reliqui omnes τ. γενομένοις ἔχει. — τὴν τοῦ] τοῦ τοῦ T^b. — καλουμένου] om. P 1.

7. Ὥστε ὁμοίως δῆλον, ὅτι καὶ γενομένοις οἰητέον τά τε φυτὰ τῶν ζῴων ἕνεκεν εἶναι, καὶ τἄλλα ζῷα τῶν ἀνθρώπων χάριν, τὰ μὲν ἥμερα καὶ διὰ τὴν χρῆσιν, καὶ διὰ τὴν τροφήν, τῶν δ' ἀγρίων, εἰ μὴ πάντα, ἀλλὰ τά γε πλεῖστα, τῆς τροφῆς καὶ ἄλλης βοηθείας ἕνεκεν, ἵνα καὶ ἐσθὴς καὶ ἄλλα ὄργανα γίνηται ἐξ αὐτῶν. εἰ οὖν ἡ φύσις μηθὲν μήτε ἀτελὲς ποιεῖ μήτε μάτην, ἀναγκαῖον τῶν ἀνθρώπων ἕνεκεν αὐτὰ πάντα πεποιηκέναι τὴν φύσιν.

7. So dass sich gleichmässig zweierlei Annahmen ergeben, einmal dass für die Gebornen die Vegetabilien der Thiere wegen, sodann, dass die übrigen Thiere der Menschen wegen da sind; die zahmen sowohl zur Nuzzung als zur Nahrung, von den wilden aber, wenn nicht alle, doch die meisten der Nahrung und sonstiger Bedürfnisse wegen, um Kleidung und andere Geräthschaften von ihnen zu entnehmen. Wenn nun die Natur nichts Unvollendetes macht, noch vergeblich, so ist es nothwendig, dass diese alle die Natur der Menschen wegen geschaffen hat.

8. Διὸ καὶ ἡ πολεμικὴ φύσει κτητική πως ἔσται. ἡ γὰρ θηρευτικὴ μέρος αὐτῆς, ᾗ δεῖ χρῆσθαι πρός τε τὰ θηρία καὶ τῶν ἀνθρώπων ὅσοι πεφυκότες ἄρχεσθαι μὴ θέλουσιν, ὡς φύσει δίκαιον τοῦτον ὄντα τὸν πόλεμον. ἓν μὲν οὖν εἶδος κτητικῆς κατὰ φύσιν τῆς οἰκονομικῆς μέρος ἐστίν· ὃ δεῖ ἤτοι ὑπάρχειν ἢ πορίζειν αὐτὴν ὅπως ὑπάρχῃ, ὧν ἐστὶ θησαυρισμὸς χρημάτων πρὸς ζωὴν ἀναγκαίων καὶ χρησίμων εἰς κοινωνίαν πόλεως ἢ οἰκίας.

8. Darum ist auch die Kriegskunst von Natur gewissermassen eine Erwerbskunst. Denn die Jagdkunst ist ein Theil von ihr, dessen man sich gegen die wilden Thiere bedienen muss, sowie gegen die Menschen, welche, obgleich dazu geboren, sich nicht beherrschen lassen wollen, denn dieser Krieg ist von Natur gerecht. Eine Art der naturgemässen Erwerbskunst also ist ein Theil der Hausverwaltungskunst; deshalb müssen die zum Leben nothwendigen und für die Gemeinschaft des Staates oder Hauses nützlichen Besitz-Gegenstände, deren Einsammlung möglich ist, entweder von Anfang herein dasein, oder die Erwerbskunst muss sie beschaffen.

9. Καὶ ἔοικεν ὅ γ' ἀληθινὸς πλοῦτος ἐκ τούτων εἶναι. ἡ γὰρ τῆς τοιαύτης κτήσεως αὐτάρκεια πρὸς ἀγαθὴν ζωὴν οὐκ ἄπειρός ἐστιν, ὥσπερ Σόλων φησὶ ποιήσας

„πλούτου δ' οὐδὲν τέρμα πεφασμένον ἀνδράσι κεῖται."

κεῖται γὰρ ὥσπερ καὶ ταῖς ἄλλαις τέχναις· οὐδὲν γὰρ ὄργανον ἄπειρον οὐδεμιᾶς ἐστὶ τέχνης οὔτε πλήθει οὔτε μεγέθει, ὁ δὲ πλοῦτος ὀργάνων πλῆθός ἐστιν οἰκονομικῶν καὶ πολιτικῶν. ὅτι μὲν τοίνυν ἔστι τις κτητικὴ κατὰ φύσιν τοῖς οἰκονόμοις καὶ τοῖς πολιτικοῖς, καὶ δι' ἣν αἰτίαν, δῆλον.

9. Auch scheint allerdings der wahrhafte Reichthum in diesen Dingen zu bestehn. Denn das zu einem angenehmen Leben genügende Maass dieser Art von Besitz ist nicht „unbegränzt", wie Solon singt:

Reichthum hat kein Ziel, das sicher den Menschen gesetzt sei.

Es giebt nämlich allerdings ein solches, sogut wie in den andern Künsten, denn kein Werkzeug in irgend einer Kunst ist an Zahl oder Grösse unendlich. Der Reichthum aber ist eine Menge von ökonomischen und politischen Werkzeugen. Dass also für die Hausverwalter und Staatsmänner eine Art von naturgemässer Erwerbskunst existirt, und aus welcher Ursache, ist offenbar.

Cap. 9. Bkk. 10. Ἔστι δὲ γένος ἄλλο κτητικῆς, ἣν μάλιστα καλοῦσι, καὶ δίκαιον αὐτὸ καλεῖν, χρηματιστικήν, δι' ἣν οὐδὲν δοκεῖ πέρας εἶναι πλούτου καὶ κτήσεως· ἣν ὡς μίαν καὶ τὴν αὐτὴν τῇ λεχθείσῃ πολλοὶ νομίζουσι διὰ τὴν γειτνίασιν. ἔστι δ' οὔτε ἡ αὐτὴ τῇ εἰρημένῃ οὔτε πόρρω ἐκείνης. ἔστι δ' ἡ μὲν φύσει, ἡ δ' οὐ φύσει αὐτῶν, ἀλλὰ δι' ἐμπειρίας τινὸς καὶ τέχνης γίνεται μᾶλλον.

10. Es giebt aber eine andere Art von Erwerbskunst, welche vorzugsweise, und zwar mit Recht, Gelderwerbskunst heisst, welche Schuld daran ist, dass für Reichthum und Besitz kein Ziel zu sein scheint. Diese halten Viele für eine und ebendieselbe mit der besprochenen wegen der nahen Berührung. Sie ist aber weder eins mit der genannten, noch sehr fern von ihr, sondern die eine von ihnen ist von Natur, die andere hingegen nicht von Natur, sondern vielmehr Produkt einer gewissen Uebung und Kunstfertigkeit.

11. Λάβωμεν δὲ περὶ αὐτῆς τὴν ἀρχὴν ἐντεῦθεν. ἑκάστου γὰρ κτήματος διττὴ ἡ χρῆσίς ἐστιν, ἀμφότεραι δὲ καθ' αὐτὸ μέν, ἀλλ' οὐχ ὁμοίως καθ' αὐτό, ἀλλ' ἡ μὲν οἰκεία, ἡ δ' οὐκ οἰκεία τοῦ πράγματος, οἷον ὑποδήματος ἥ τε ὑπόδεσις καὶ ἡ μεταβλητική. ἀμφότεραι γὰρ ὑποδήματος χρήσεις. καὶ γὰρ ὁ ἀλλαττόμενος τῷ δεομένῳ ὑποδήματος ἀντὶ νομίσματος ἢ τροφῆς χρῆται τῷ ὑποδήματι ᾗ ὑπόδημα, ἀλλ' οὐ τὴν οἰκείαν χρῆσιν· οὐ γὰρ ἀλλαγῆς ἕνεκεν γέγονεν. τὸν αὐτὸν δὲ τρόπον ἔχει καὶ περὶ τῶν ἄλλων κτημάτων. ἔστι γὰρ ἡ μεταβλητικὴ πάντων, ἀρξαμένη τὸ μὲν πρῶτον ἐκ τοῦ κατὰ φύσιν, τῷ τὰ μὲν πλείω τὰ δὲ ἐλάττω τῶν ἱκανῶν ἔχειν τοὺς ἀνθρώπους.

11. Beginnen wir indess ihre Betrachtung von folgendem Standpunkte aus. Die Benutzung jedes Besitzstücks nämlich ist eine doppelte. In beiden wird zwar das Ding als solches benutzt, aber nicht auf gleiche Weise als solches; sondern die eine (Benutzungsart) ist der Sache eigenthümlich, die andere dagegen nicht; z. B. von einem Schuh das Anziehen und der Umtausch; denn beides sind Benutzungen des Schuh's; denn auch der, welcher den Schuh dem, der ihn nöthig hat, gegen Geld oder Speise austauscht, benutzt zwar den Schuh als Schuh, aber nicht in der eigenthümlichen Weise, denn er ist nicht des Umtausches wegen gemacht. In derselben Weise verhält sich's auch mit den andern Besitzstücken, denn der Umtausch erstreckt sich auf alle, indem er zuerst von dem Naturgemässen beginnt, dadurch dass die Menschen von den Bedürfnissen bald mehr bald weniger haben, als sie brauchen.

---

§. 7. *καὶ γενομένοις*] [ ] G. *γενωμένοις* P 1. sed in margine: *ἄλλως γενομένοις*. Aret.: „genitis"; Vet. „quare similiter palam, quoniam et genitis existimandum plantas animalium gratia esse."

§. 8. *ᾗ δεῖ*] *ἢ δεῖ* A 1. B 2. — *ὄντα τὸν πόλεμον*] *ὄντα τὸν πόλεμον πρῶτον* I[b]rc. P 1. 2. Vet., quod additamentum non est contemnendum. — *ὃ δεῖ ἤτοι*] *διὸ* pro *ὃ* G. coniect. quam in translat. secuti sumus. *ἢ δεῖ* coniec. Lamb.

§. 9. *πρὸς ἀγαθὴν ζωὴν*] *πρὸς ἀγαθῶν ζ.* Q. I[b]. S[b]. T[b]. P 1. (in quo tamen supra script. *ἀγαθήν*). — *πεφασμένον*] „praefinitus" Vet. — *οὐδεμιᾶς ἐστὶ*] *ἐστὶ* om. P 1. — *ὅτι μὲν τοίνυν*] *οὖν* pro *τοίνυν* B 3.

§. 10. *καὶ δίκαιον αὐτὸ καλεῖν*] *οὕτω* pro *αὐτὸ* ex margine B 3. Cas. Schn. Cor. male!

§. 11. *κτήματος διττὴ*] *χρήματος* P 1. in marg. — *καθ' αὐτὸ*] sine causa idonea seclusit Cor. — *ἀλλ' οὐ τὴν οἰκείαν χρῆσιν*] *οὐ κατὰ τὴν οἰκ. χρ.* Vet. — *γέγονεν*] *γέγονε* B 3. — *τὰ δὲ ἐλάτ-*

12. Ἠι καὶ δῆλον ὅτι οὐκ ἔστι φύσει τῆς χρηματιστικῆς ἡ καπηλική· ὅσον γὰρ ἱκανὸν αὐτοῖς, ἀναγκαῖον ἦν ποιεῖσθαι τὴν ἀλλαγήν. ἐν μὲν οὖν τῇ πρώτῃ κοινωνίᾳ (τοῦτο δ' ἐστὶν οἰκία) φανερόν, ὅτι οὐδέν ἐστιν ἔργον αὐτῆς, ἀλλ' ἤδη πλείονος τῆς κοινωνίας οὔσης. οἱ μὲν γὰρ τῶν αὐτῶν ἐκοινώνουν πάντων, οἱ δὲ κεχωρισμένοι πολλῶν πάλιν καὶ ἑτέρων· ὧν κατὰ τὰς δεήσεις ἀναγκαῖον ποιεῖσθαι τὰς μεταδόσεις, καθάπερ ἔτι πολλὰ ποιεῖ καὶ τῶν βαρβαρικῶν ἐθνῶν, κατὰ τὴν ἀλλαγήν. αὐτὰ γὰρ τὰ χρήσιμα πρὸς αὐτὰ καταλλάττονται, ἐπὶ πλέον δ' οὐθέν, οἷον οἶνον πρὸς σῖτον διδόντες καὶ λαμβάνοντες, καὶ τῶν ἄλλων τῶν τοιούτων ἕκαστον.

12. Woraus auch offenbar ist, dass der Kleinhandel von Natur nicht zur Gelderwerbskunst gehört. Denn der nothwendige Umtausch sollte sich nur auf das für sie selbst Ausreichende erstrecken. In dem ersten Vereine also (dies ist aber die Familie) hat man ihn offenbar nicht nöthig, sondern nur wenn der Verein grösser wird. Denn jene hatten ein und dieselben Dinge alle gemeinsam; die andern aber, getrennt, noch vieles Andere dazu, wovon sie nach ihren Bedürfnissen sich mittheilen mussten; wie das jetzt noch bei vielen barbarischen Völkerschaften geschieht auf dem Wege des Tauschhandels; sie tauschen nämlich die Bedürfnisse selbst gegeneinander um, weiter aber nichts, indem sie z. B. Wein geben und dafür Getreide empfangen, und so weiter im Einzelnen.

13. Ἡ μὲν οὖν τοιαύτη μεταβλητικὴ οὔτε παρὰ φύσιν οὔτε χρηματιστικῆς ἐστὶν εἶδος οὐδέν· εἰς ἀναπλήρωσιν γὰρ τῆς κατὰ φύσιν αὐταρκείας ἦν. ἐκ μέντοι ταύτης ἐγένετ' ἐκείνη κατὰ λόγον. ξενικωτέρας γὰρ γινομένης τῆς βοηθείας τῷ εἰσάγεσθαι ὧν ἐνδεεῖς καὶ ἐκπέμπειν ὧν ἐπλεόναζον, ἐξ ἀνάγκης ἡ τοῦ νομίσματος ἐπορίσθη χρῆσις. οὐ γὰρ εὐβάστακτον ἕκαστον τῶν κατὰ φύσιν ἀναγκαίων·

13. Diese Art von Umtausch ist also weder wider die Natur, noch ist sie irgend ein Theil der Gelderwerbskunst; denn sie diente zur Erfüllung der naturgemässen Hinlänglichkeit. Doch ist aus dieser jene mit Nothwendigkeit entstanden, denn da die Aushülfe immer weitläuftiger wurde, indem eingeführt wurde, woran man Mangel, und ausgeführt wurde, woran man Ueberfluss hatte, so wurde man nothwendig auf den Gebrauch des Geldes geführt. Denn jedes der Naturalbedürfnisse war nicht immer leicht transportirbar.

14. Διὸ πρὸς τὰς ἀλλαγὰς τοιοῦτόν τι συνέθεντο πρὸς σφᾶς αὐτοὺς διδόναι καὶ λαμβάνειν, ὃ τῶν χρησίμων αὐτὸ ὂν εἶχε τὴν χρείαν εὐμεταχείριστον πρὸς τὸ ζῆν, οἷον σίδηρος καὶ ἄργυρος, κἂν εἴ τι τοιοῦτον ἕτερον, τὸ μὲν πρῶτον ἁπλῶς ὁρισθὲν μεγέθει καὶ σταθμῷ, τὸ δὲ τελευταῖον καὶ χαρακτῆρα ἐπιβαλλόντων, ἵνα ἀπολύσῃ τῆς μετρήσεως αὐτούς· ὁ γὰρ χαρακτὴρ ἐτέθη τοῦ ποσοῦ σημεῖον.

14. Daher kamen sie für den Tauschhandel untereinander überein, etwas zu geben und anzunehmen, was, selbst zu den Bedürfnissen gehörend, den Vortheil eines leichthandlichen Gebrauchs für das Leben hätte, wie Eisen und Silber und Anderes der Art mehr, zuerst einfach bestimmt nach Grösse und Gewicht, zuletzt aber auch mit einem Prägezeichen versehen, damit man sich das Abwägen sparte; denn das Prägezeichen ward gesetzt als Zeichen des Werths.

15. Πορισθέντος οὖν ἤδη νομίσματος ἐκ τῆς ἀναγκαίας ἀλλαγῆς θάτερον εἶδος τῆς χρηματιστικῆς ἐγένετο, τὸ καπηλικόν, τὸ μὲν πρῶτον ἁπλῶς ἴσως γινόμενον, εἶτα δι' ἐμπειρίας ἤδη τεχνικώτερον, πόθεν καὶ πῶς μεταβαλλόμενον πλεῖστον ποιήσει κέρδος. διὸ δοκεῖ ἡ χρηματιστικὴ μάλιστα περὶ τὸ νόμισμα εἶναι, καὶ ἔργον αὐτῆς τὸ δύνασθαι θεωρῆσαι, πόθεν ἔσται πλῆθος χρημάτων· ποιητικὴ γὰρ εἶναι τοῦ πλούτου καὶ χρημάτων.

15. Sobald nun das Geld erfunden war, so entstand aus dem nothwendigen Umtausch eine andere Art der Gelderwerbskunst, der Kleinhandel, der zu Anfange wohl nur ganz schlicht, später bei vermehrter Erfahrung künstlicher betrieben wurde, mit Rücksicht darauf, woher und wie der Umsatz am meisten Gewinn bringen möchte. Daher scheint sich die Vermögenerwerbskunst hauptsächlich auf das Geld zu beziehen, und ihre Aufgabe, die Kunst, zu spekuliren, woraus sich viel Geld machen lasse. Denn sie gilt für die Erzeugerin des Reichthums und der Schätze.

16. Καὶ γὰρ τὸν πλοῦτον πολλάκις τιθέασι νομίσματος πλῆθος, διὰ τὸ περὶ τοῦτ' εἶναι τὴν χρηματιστικὴν καὶ τὴν καπηλικήν. ὁτὲ δὲ πάλιν λῆρος εἶναι δοκεῖ τὸ νόμισμα καὶ νόμος παντάπασι, φύσει δ' οὐθέν, ὅτι μεταθεμένων τε τῶν χρωμένων οὐθενὸς ἄξιον οὐδὲ χρήσιμον πρὸς οὐδὲν τῶν ἀναγκαίων ἐστί, καὶ νομίσματος πλουτῶν

16. Auch definirt man Reichthum häufig durch Menge von Geld, weil die Vermögenerwerbskunst und Krämerei darauf gerichtet ist. Nicht selten aber heisst es dagegen, mit dem Gelde sei es eitel Geschwätz, und überall Satzung, von Natur sei es nicht, weil, wenn die, welche es gebrauchten, eine Aenderung damit vornähmen, es nichts werth und für kein Bedürfniss mehr nütze sei, und einer, der Geld vollauf habe, gar wohl in den Fall kommen könne, an der nothdürftigsten Nahrung

---

τω] Sic cum Bekk. Bass. 2. 3. Sylb. Lut. Vict. 2. δ' Schn. G. alii.

§. 12. ἡ καπηλικὴ] „campsoria" Vet. et sic perpetuo. — οἱ μὲν γὰρ τῶν αὐτῶν] τῶν om. P 1. sed addit in marg. — οἱ δὲ κεχωρισμένοι] „separatim" Aret. — πολλῶν πάλιν καὶ ἑτέρων] καὶ om. A 2. Aret. πολλῶν πάλιν ἐστέρουτο Cor. de coni. — ἀναγκαῖον ποιεῖσθαι] ποιῆσθαι B 3. ἀναγκαῖον ἦν π. Cor. — κατὰ τὴν ἀλλαγὴν] κ. τ. ἐναλλαγὴν P 1. — αὐτὰ γὰρ τὰ χρήσιμα cett.] „inutilia enim sibi pro utilibus tradunt" Aret.

§. 13. ἐγένετ' ἐκείνη] Sic Bkk. tacite. Reliquae a me collatae editt. omnes ἐγένετο ἐκείνη. Göttl. notat, in P 1. 2. 3. esse ἐγένει' ἐκείνη. — ξενικωτέρας] „peregrino" Vet. — γὰρ γινομένης] γενομένης coni. Cor. — καὶ ἐκπέμπειν ὧν ἐπλεόναζον] haec om. Vet. — ἕκαστον τῶν] ἕκαστον om. T^b.

§. 14. σφᾶς αὐτοὺς] αὑτοῦ T^b. — αὐτὸ ὂν εἶχε] αὐτὸ οὐχ ὂν εἶχε Cor. male! — οἷον σίδηρος] οἷον ὁ σίδ. S^b. T^b. Vict. 1. 2. Sylb. Lut. Schn. Cor. — κἂν εἴ τι] καὶ εἴ τι Cor. — χαρακτῆρα] χαρακτῆρι Schn. Göttl. vitio ut videtur typogr. — ἐπιβαλλόντων] ἐπιβαλόντων cum Cor. G.

§. 15. τὸ καπηλικὸν] ἡ καπηλικὴ (ut videtur) Vet. — τὸ μὲν πρῶτον] τὸ μὲν οὖν („igitur") πρ. Vet. — πλῆθος χρημάτων] χρημάτων seclusit Cor. — ποιητικὴ γὰρ εἶναι τοῦ πλούτου] εἶναι om. Vet., τοῦ seclusit Cor.

§. 16. ὁτὲ δὲ πάλιν λῆρος] κλῆρος T^b. ὅτε A 1. Vict. 1. Lut. Z. B 2. B 3. οτε sine spiritu et acc. Vict. 2. — καὶ νόμος] καὶ ὁ ν. Q. καὶ εἰς νόμος A 1. 2. B 2. B 3. G. — παντάπασιν, φύσει δ' οὐθὲν] καὶ παντάπασι φύσει οὐθὲν (et lex et nequicquam secundum naturam) Vet. — οὔτε χρήσιμον] οὐδὲ Bekk.

πολλάκις ἀπορήσει τῆς ἀναγκαίας τροφῆς· καίτοι ἄτοπον, τοιοῦτον εἶναι πλοῦτον, οὗ εὐπορῶν λιμῷ ἀπολεῖται, καθάπερ καὶ τὸν Μίδαν ἐκεῖνον μυθολογοῦσι διὰ τὴν ἀπληστίαν τῆς εὐχῆς πάντων αὐτῷ γιγνομένων τῶν παρατιθεμένων χρυσῶν.

17. Διὸ ζητοῦσιν ἕτερόν τι τὸν πλοῦτον καὶ τὴν χρηματιστικήν, ὀρθῶς ζητοῦντες. ἔστι γὰρ ἑτέρα ἡ χρηματιστικὴ καὶ ὁ πλοῦτος ὁ κατὰ φύσιν, καὶ αὕτη μὲν οἰκονομική, ἡ δὲ καπηλικὴ ποιητικὴ χρημάτων, οὐ πάντως ἀλλ' ἢ διὰ χρημάτων μεταβολῆς. καὶ δοκεῖ περὶ τὸ νόμισμα αὕτη εἶναι· τὸ γὰρ νόμισμα στοιχεῖον καὶ πέρας τῆς ἀλλαγῆς ἐστίν. καὶ ἄπειρος δὴ οὗτος ὁ πλοῦτος ὁ ἀπὸ ταύτης τῆς χρηματιστικῆς. ὥςπερ γὰρ ἡ ἰατρικὴ τοῦ ὑγιαίνειν εἰς ἄπειρόν ἐστι, καὶ ἑκάστη τῶν τεχνῶν τοῦ τέλους εἰς ἄπειρον (ὅτι μάλιστα γὰρ ἐκεῖνο βούλονται ποιεῖν), τῶν δὲ πρὸς τὸ τέλος οὐκ εἰς ἄπειρον (πέρας γὰρ τὸ τέλος πάσαις), οὕτω καὶ ταύτης τῆς χρηματιστικῆς οὐκ ἔστι τοῦ τέλους πέρας, τέλος δὲ ὁ τοιοῦτος πλοῦτος καὶ χρημάτων κτῆσις.

18. Τῆς δ' οἰκονομικῆς, οὐ χρηματιστικῆς ἔστι πέρας· οὐ γὰρ τοῦτο τῆς οἰκονομικῆς ἔργον. διὸ τῇ μὲν φαίνεται ἀναγκαῖον εἶναι παντὸς πλούτου πέρας, ἐπὶ δὲ τῶν γινομένων ὁρῶμεν συμβαῖνον τοὐναντίον· πάντες γὰρ εἰς ἄπειρον αὔξουσιν οἱ χρηματιζόμενοι τὸ νόμισμα. αἴτιον δὲ τὸ σύνεγγυς αὐτῶν. ἐπαλλάττει γὰρ ἡ χρῆσις τοῦ αὐτοῦ οὖσα ἑκατέρας τῆς χρηματιστικῆς. τῆς γὰρ αὐτῆς ἐστὶ κτήσεως χρῆσις, ἀλλ' οὐ κατὰ ταὐτόν, ἀλλὰ τῆς μὲν ἕτερον τέλος, τῆς δ' ἡ αὔξησις. ὥςτε δοκεῖ τισὶ τοῦτ' εἶναι τῆς οἰκονομικῆς ἔργον, καὶ διατελοῦσιν ἢ σώζειν οἰόμενοι δεῖν ἢ αὔξειν τὴν τοῦ νομίσματος οὐσίαν εἰς ἄπειρον.

19. Αἴτιον δὲ ταύτης τῆς διαθέσεως τὸ σπουδάζειν περὶ τὸ ζῆν, ἀλλὰ μὴ τὸ εὖ ζῆν· εἰς ἄπειρον οὖν ἐκείνης τῆς ἐπιθυμίας οὔσης, καὶ τῶν ποιητικῶν ἀπείρων ἐπιθυμοῦσιν. ὅσοι δὲ καὶ τοῦ εὖ ζῆν ἐπιβάλλονται, τὸ πρὸς τὰς ἀπολαύσεις τὰς σωματικὰς ζητοῦσιν, ὥςτ' ἐπεὶ καὶ τοῦτ' ἐν τῇ κτήσει φαίνεται ὑπάρχειν, πᾶσα ἡ διατριβὴ περὶ τὸν χρηματισμόν ἐστι, καὶ τὸ ἕτερον εἶδος τῆς χρηματιστικῆς διὰ τοῦτ' ἐλήλυθεν. ἐν ὑπερβολῇ γὰρ οὔσης τῆς ἀπολαύσεως, τὴν τῆς ἀπολαυστικῆς ὑπερβολῆς ποιητικὴν ζητοῦσιν· κἂν μὴ διὰ τῆς χρηματιστικῆς δύνωνται πορίζειν, δι' ἄλλης αἰτίας τοῦτο πειρῶνται, ἑκάστῃ χρώμενοι τῶν δυνάμεων οὐ κατὰ φύσιν.

Mangel zu leiden; und es sei doch abgeschmackt, dass Reichthum ein Ding sei, in dessen Vollbesitze Einer Hungers sterben könne; wie man in der Fabel vom Midas erzählt, da wegen der Unmässigkeit seines Wunsches ihm Alles, was ihm vorgesetzt wurde, zu Golde wurde. —

17. Daher suchen sie eine verschiedene Definition des Reichthums und der Gelderwerbkunst, und sie thun recht daran. Denn die Gelderwerbkunst ist verschieden von dem natürlichen Reichthum, dieser nämlich verschafft im Wege des Haushalts Vermögen, jene im Wege des Kramhandels und zwar nicht auf alle mögliche Weise, sondern eben nur durch Geldumsatz, und sie scheint es mit dem Gelde zu thun zu haben; denn das Geld ist Anfang und Ende des Umsatzes; und somit ist denn auch der von dieser genannten Gelderwerbkunst fliessende Reichthum unendlich. Wie nämlich die Heilkunst auf das Gesundsein ins Unendliche ausgeht, und jede Kunst, die auf das Endziel selbst geht, es ins Unendliche hin verfolgt, (denn ihr Streben ist, es möglichst zu erreichen), diejenigen aber, die nur Mittel zum Endziele bezwecken, nicht ins Unendliche (denn der Endzweck ist für Alle die Begränzung), so giebt es auch keine Begränzung des Ziel's für diese Gelderwerbkunst, sondern ihr Ziel ist diese Art Reichthum und Geldbesitz.

18. Die Hausverwaltungskunst dagegen, nicht die Gelderwerbkunst, hat eine Begränzung; denn ihr Geschäft ist nicht das genannte. Deshalb scheint es in gewisser Hinsicht nothwendig, dass der gesammte Reichthum begränzt sei, in der Erfahrung aber sehen wir das Gegentheil geschehen, denn alle die, welche Gelderwerb treiben, vermehren ihr Geld ins Unendliche. Daran ist aber die nahe Verwandtschaft beider Schuld. Denn es spielt der Gebrauch beider Arten der Gelderwerbkunst, indem er sich auf ein und denselben Gegenstand bezieht, in einander über; es ist nämlich der Gebrauch ein und ebendesselben Besitzes, aber nicht auf dieselbe Weise; sondern die eine hat ein von dem Gegenstande Verschiedenes zum Zweck, die andere dessen Vermehrung, so dass einigen dieses Endziel der Hausverwaltungskunst zu sein scheint, und diese bleiben dabei, dass man die Geldmasse entweder erhalten oder ins Unendliche vermehren müsse.

19. Ursache dieser Gemüthsverfassung ist der auf das Leben, nicht auf das glückselig Leben gerichtete Eifer; da nun jene Begierde etwas Unendliches ist, so streben sie auch nach unendlichen Mitteln. Aber auch die nach dem glückseligen Leben trachten, streben nach dem, was ihnen zu den sinnlichen Genüssen verhilft, so dass, da auch dies auf dem Besitz zu beruhen scheint, ihr ganzes Treiben auf den Gelderwerb geht; und so ist auch die zweite Art der Gelderwerbkunst entstanden. Denn da der Sinnengenuss in dem Uebermaass besteht, so suchen sie das, was zu diesem Uebermaass des Gewinnstes die Mittel giebt, und wenn sie durch die Gelderwerbkunst nicht zu beschaffen vermögen, so versuchen sie es auf einem andern Wege, indem sie jedes ihrer Vermögen dazu gebrauchen, wider die Natur.

---

de coni. contra codd. et edd. omnes. — τοιοῦτον εἶναι πλοῦτον] τὸν πλοῦτον Schn. Cor., quo non opus. — ἀπληστίαν] ἀναπληστίαν T^b. — αὐτῷ γιγνομένων] αὐτῶν S^b. αὐτῷ om. A 1. 2. B 2. B 3. G.

§. 17. αὕτη μὲν οἰκονομικὴ] ἡ post μὲν add. rc. I^b. — οὐ πάντως ἀλλ' ἢ] Sic ex Sylb. emendat. Cor. et Bekk. tacite. Vulgo ἀλλ' ἡ. Sed illud legisse videtur Aretin. („non simpliciter sed per ipsarum pecuniarum commutationem"), qui etiam ἁπλῶς pro πάντως expressit. — τῆς ἀλλαγῆς ἐστίν] ἐστι B 3. ἐστὶ τῆς ἀλλ. Schn. Cor. sine auctoritate. — ὁ πλοῦτος ὁ ἀπὸ ταύτης] in G. ὁ ante ἀπὸ excidit. — τῆς χρηματιστικῆς] τ. χρηματικῆς I^b.

§. 18. οὐ χρηματιστικῆς] οὐ χρηματιστικὴ corr. I^b. — οὐ γὰρ τοῦτο] τοῦτο om. Vet., sed habet Thom. — ὁρῶμεν] ὁρῶ Q. I^b. S^b. T^b. P 1. A 1. 2. B 2. B 3. Lut., quod non temere est negligendum. ὁρῶμεν Sylb. tacite, nulla discrepantia memorata. — οἱ χρηματιζόμενοι τὸ νόμισμα] „pro rebus ad usum habentes numisma" Vet. — οὖσα ἑκατέρας τῆς χρ.] ἑκατέρως, quod teste Sepulveda in antiquis exemplaribus est, recepi cum G. Idem adscript. a docta manu in B 2. et expresserunt in translationibus suis intpp. omnes, Camer. Aret. Lamb. Vict. Ram. Giph. Heins. Z. Vulgatam ἑκατέρα tacite retinuit Bkk., ἑκατέρᾳ Schn. Cor. (coni.) „existens utraque" Vet. sed: „utrique" Thom. — κτήσεως χρῆσις] Sic nos ex G. coniectura. Vulgo inepte: χρήσεως κτῆσις. Schn. verba τῆς γὰρ αὐτῆς χρήσεως κτῆσις secludere voluit, sed operae non paruerunt. — οὐ κατὰ ταὐτόν] οὐ καταυτὸν S^b. T^b. — τῆς οἰκονομικῆς] τῆς οἰκονομίας Q. S^b. T^b. et notatum in Vict. 1. sic esse in pluribus libris MSS.

§. 19. κἂν μὴ διὰ τῆς χρηματιστικῆς] χρηματικῆς Q.

20. Ἀνδρίας γὰρ οὐ χρήματα ποιεῖν ἐστιν ἀλλὰ θάρσος, οὐδὲ στρατηγικῆς καὶ ἰατρικῆς, ἀλλὰ τῆς μὲν νίκην, τῆς δ' ὑγίειαν. οἱ δὲ πάσας ποιοῦσι χρηματιστικάς, ὡς τοῦτο τέλος ὄν, πρὸς δὲ τὸ τέλος ἅπαντα δέον ἀπαντᾶν. περὶ μὲν οὖν τῆς τε μὴ ἀναγκαίας χρηματιστικῆς, καὶ τίς, καὶ δι' αἰτίαν τίνα ἐν χρείᾳ ἐσμὲν αὐτῆς, εἴρηται· καὶ περὶ τῆς ἀναγκαίας, ὅτι ἑτέρα μὲν αὐτῆς, οἰκονομικὴ δὲ κατὰ φύσιν ἡ περὶ τὴν τροφήν, οὐχ ὥςπερ αὕτη ἄπειρος, ἀλλ' ἔχουσα ὅρον.

Cap. 10. Bkk. 21. Δῆλον δὲ καὶ τὸ ἀπορούμενον ἐξ ἀρχῆς, πότερον τοῦ οἰκονομικοῦ καὶ πολιτικοῦ ἐστιν ἡ χρηματιστικὴ ἢ οὔ, ἀλλὰ δεῖ τοῦτο μὲν ὑπάρχειν· ὥςπερ γὰρ καὶ ἀνθρώπους οὐ ποιεῖ ἡ πολιτική, ἀλλὰ λαβοῦσα παρὰ τῆς φύσεως χρῆται αὐτοῖς, οὕτω καὶ τροφὴν τὴν φύσιν δεῖ παραδοῦναι γῆν ἢ θάλατταν ἢ ἄλλο τι· ἐκ δὲ τούτων, ὡς δεῖ, ταῦτα διαθεῖναι προςήκει τὸν οἰκονόμον. οὐ γὰρ τῆς ὑφαντικῆς ἔρια ποιῆσαι, ἀλλὰ χρήσασθαι αὐτοῖς, καὶ γνῶναι δὲ τὸ ποῖον χρηστὸν καὶ ἐπιτήδειον, ἢ φαῦλον καὶ ἀνεπιτήδειον.

22. Καὶ γὰρ ἀπορήσειεν ἄν τις, διὰ τί ἡ μὲν χρηματιστικὴ μόριον τῆς οἰκονομίας, ἡ δ' ἰατρικὴ οὐ μόριον· καίτοι δεῖ ὑγιαίνειν τοὺς κατὰ τὴν οἰκίαν, ὥςπερ ζῆν ἢ ἄλλο τι τῶν ἀναγκαίων. ἐπεὶ δ' ἔστι μὲν ὡς τοῦ οἰκονόμου καὶ τοῦ ἄρχοντος καὶ περὶ ὑγιείας ἰδεῖν, ἔστι δ' ὡς οὔ, ἀλλὰ τοῦ ἰατροῦ, οὕτω καὶ περὶ τῶν χρημάτων ἔστι μὲν ὡς τοῦ οἰκονόμου, ἔστι δ' ὡς οὔ, ἀλλὰ τῆς ὑπηρετικῆς· μάλιστα δέ, καθάπερ εἴρηται πρότερον, δεῖ φύσει τοῦτο ὑπάρχειν. φύσεως γάρ ἐστιν ἔργον τροφὴν τῷ γεννηθέντι παρέχειν· παντὶ γὰρ ἐξ οὗ γίνεται, τροφὴ τὸ λειπόμενόν ἐστιν. διὸ κατὰ φύσιν ἐστὶν ἡ χρηματιστικὴ πᾶσιν ἀπὸ τῶν καρπῶν καὶ τῶν ζώων.

23. Διπλῆς δ' οὔσης αὐτῆς, ὥςπερ εἴπομεν, καὶ τῆς μὲν καπηλικῆς, τῆς δ' οἰκονομικῆς, καὶ ταύτης μὲν ἀναγκαίας καὶ ἐπαινουμένης, τῆς δὲ μεταβλητικῆς ψεγομένης δικαίως (οὐ γὰρ κατὰ φύσιν ἀλλ' ἀπ' ἀλλήλων ἐστίν), εὐλογώτατα μισεῖται ἡ ὀβολοστατικὴ διὰ τὸ ἀπ' αὐτοῦ τοῦ νομίσματος εἶναι τὴν κτῆσιν καὶ οὐκ ἐφ' ὅπερ ἐπορίσθη. μεταβολῆς γὰρ ἐγένετο χάριν, ὁ δὲ τόκος αὐτὸ ποιεῖ πλέον. ὅθεν καὶ τοὔνομα τοῦτ' εἴληφεν· ὅμοια γὰρ τὰ τικτόμενα τοῖς γεννῶσιν αὐτά ἐστιν, ὁ δὲ τόκος γίνεται νόμισμα νομίσματος· ὥςτε καὶ μάλιστα παρὰ φύσιν οὗτος τῶν χρηματισμῶν ἐστίν.

20. Denn z. B. Tapferkeit soll nicht Geld schaffen, sondern Beherztheit; ebensowenig die Feldherrnkunst und Heilkunst, sondern die eine Sieg, die andere Gesundheit. Jene Leute aber machen alle zu gelderwerbenden, weil dies nämlich der Zweck sei, auf den Zweck aber müsse doch Alles bezogen werden. Ueber die nicht nothwendige Gelderwerbkunst, ihr Wesen und warum wir sie nöthig haben, ist geredet; ingleichen über die nothwendige, dass sie von ihr verschieden ist, und zwar naturgemäss zur Haushaltung gehört, als auf den Unterhalt bezüglich, nicht wie jene unbegränzt ist, sondern ihr bestimmtes Ziel hat.

21. Es erledigt sich aber auch das gleich anfangs aufgeworfene Bedenken, ob die Gelderwerbkunst Sache des Hausverwalters und Staatsverwalters sei, oder ob im Gegentheil der Unterhalt von vorn herein gegeben sein müsse. Denn wie auch die Staatskunst nicht Menschen schafft, sondern sie von der Natur zur Behandlung empfängt, so muss die Natur auch Unterhalt hergeben, sei es Erde oder Meer oder sonst etwas. Hiernächst mit diesen Dingen die zweckmässigen Einrichtungen vorzunehmen, ist Sache des Hausverwalters. Denn es ist nicht Sache der Webekunst, die Wolle zu schaffen, sondern sie zu benutzen, ingleichen zu erkennen, welche Sorte brauchbar und zweckdienlich, oder unbrauchbar und unzweckdienlich.

22. Sonst würde ja auch Einer fragen können, weshalb die Gelderwerbkunst ein Theil der Hausverwaltung sei, die Heilkunst aber kein Theil; und doch bedürfen die Hausgenossen ebensowohl der Gesundheit als des Lebens, oder sonst eines Nothwendigen. Da aber in einem gewissen Bezuge es Sache des Hausverwalters und des Herrschers ist, auch auf die Gesundheit zu sehen, in einem andern aber nicht seine, sondern des Arztes Sache, so auch ist es von der einen Seite Sache des Hausverwalters, auf den Gelderwerb zu sehen, von der andern aber nicht, sondern der Hülfskunst. Vor allen Dingen aber, wie zuvor gesagt ist, muss dieses von Natur gegeben sein. Denn der Natur Sache ist es, dem Erzeugten Unterhalt zu gewähren. Jedem nämlich dient zur Nahrung das, was von dem, woher es entsteht, übrig bleibt. Daher bezieht sich naturgemäss die Erwerbskunst bei allen Menschen auf die Feldfrüchte und Heerden.

23. Da dieselbe aber, wie gesagt, eine doppelte ist, die eine zum Handel, die andere zum Hauswesen gehörig, und diese für nothwendig und für löblich gehalten, die auf den Umsatz bezügliche aber von Rechtswegen getadelt wird (denn sie ist nicht naturgemäss, sondern auf gegenseitige Uebervortheilung gegründet), so ist mit vollstem Rechte das Wucherhandwerk verhasst, weil von dem Gelde selbst der Erwerb gezogen und es nicht dazu gebraucht wird, wozu es erfunden worden ist. Denn es ward des Waarenumsatzes wegen erfunden, der Zins aber vergrössert es, woher denn auch dieser den Namen erhalten hat; denn die Gebornen sind ihren Erzeugern ähnlich. Der Zins aber ist Geld von Gelde, so dass von allen Erwerbszweigen dieser der naturwidrigste ist.

---

§. 20. *χρηματιστικὰς*] χρηματιστικῆς A 2. — *ἑτέρα μὲν αὐτῆς*] αὐτοῖς Tb. — *ἡ περὶ τὴν τροφὴν*] ἡ in ᾗ male mutarunt Schn. Cor. sine auct.

§. 21. *ἡ χρηματιστικὴ ἢ οὔ*] χρηματικὴ Ib. P 2. — *ἀλλὰ δεῖ τοῦτο μὲν*] τοῦτο om. Aret. — *οὐ ποιεῖ*] οὐ ποιεῖν Q. — *ἐκ δὲ τούτων*] om. Lamb. — *προςήκει τὸν οἰκονόμον*] προςήκει σκοπεῖν τ. οἰκ. P 2.; pro ὡς δεῖ Aret. („sed quemadmodum haec administranda sint“) videtur legisse πῶς δεῖ.

§. 22. *περὶ ὑγιείας*] περὶ τῆς ὑγ. Schn. Articulus, qui deest in A 1. 2. B 2. 3., primum invenitur in Lat. Vict. 2. Sylb. ὑγείας A 1. B 2. Sylb. et recent. ante Schn. — *ἔστι δ' ὡς*] θ' pro δ' A 1. B 2. 3. sed paullo post eaedem δ' ὡς. — *οὕτω καὶ περὶ τῶν χρημάτων*] π. τῆς χρηματιστικῆς marg. P 1. χρηματιστικῶν om. τῶν Q. — *ἀλλὰ τοῦ ἰατροῦ — ἔστι δ' ὡς οὔ*] haec om. Sb. Tb.; pro τοῦ ἰατροῦ habet Q. τῆς ἰατρικῆς. — *τῆς ὑπηρετικῆς*] τῆς κέρδους ὑπηρετικῆς Q. et margo B 3. idemque invenit in vetere quodam codice Camerar. (qui valde probat) et expressit Aret.: „sed ut lucro instrumentis“. — *τῷ γεννηθέντι*] τῷ om. P 2. — *τροφὴ τὸ λειπόμενον*] „Cuique autem ex quo generatur alimentum est afferendum“ Aret. — *πᾶσιν ἀπὸ τῶν καρπῶν*] ἢ ante ἀπὸ add. Schn. Cor. de coni.

§. 23. *διπλῆς δ' οὔσης αὐτῆς*] pro αὐτῆς Aret. καὶ ταύτης („et haec“). — *τῆς δὲ μεταβλητικῆς*] μεταβολικῆς P 1. nostra scriptura in marg. posita. — *δικαίως*] δικαίας Tb. — *ἀπ' ἀλλήλων ἐστὶν*] „sed ab hominibus acquirit“ Vet. — *ὁ δὲ τόκος αὐτὸ ποιεῖ πλέον*] αὐτὸν pro αὐτὸ Aret. Vet. (qui habent: „se ipsum maius facit“). — *νόμισμα νομίσματος*] νόμισμα ἐκ νομίσματος Vet. — *ὥςτε καὶ μάλιστα*] [καὶ] Sylb. quod om. Z.

CAP. IV.

Cap. II. Bkk. Ἐπεὶ δὲ τὰ πρὸς τὴν γνῶσιν διωρίκαμεν ἱκανῶς, τὰ πρὸς τὴν χρῆσιν δεῖ διελθεῖν. πάντα δὲ τὰ τοιαῦτα τὴν μὲν θεωρίαν ἐλεύθερον ἔχει, τὴν δ' ἐμπειρίαν ἀναγκαίαν. ἔστι δὲ χρηματιστικῆς μέρη χρήσιμα τὸ περὶ τὰ κτήματα ἔμπειρον εἶναι, ποῖα λυσιτελέστατα καὶ ποῦ καὶ πῶς, οἷον ἵππων κτῆσις, ποία τις, ἢ βοῶν ἢ προβάτων, ὁμοίως δὲ καὶ τῶν λοιπῶν ζώων. δεῖ γὰρ ἔμπειρον εἶναι, πρὸς ἄλληλά τε τούτων τίνα λυσιτελέστατα, καὶ ποῖα ἐν ποίοις τόποις· ἄλλα γὰρ ἐν ἄλλαις εὐθηνεῖ χώραις. εἶτα περὶ γεωργίας, καὶ ταύτης ἤδη ψιλῆς τε καὶ πεφυτευμένης, καὶ μελιττουργίας, καὶ τῶν ἄλλων ζώων τῶν πλωτῶν ἢ πτηνῶν, ἀφ' ὅσων ἔστι τυγχάνειν βοηθείας.

2. Τῆς μὲν οὖν οἰκειοτάτης χρηματιστικῆς ταῦτα μόρια καὶ πρῶτα, τῆς δὲ μεταβλητικῆς μέγιστον μὲν ἐμπορία (καὶ ταύτης μέρη τρία, ναυκληρία, φορτηγία, παράστασις· διαφέρει δὲ τούτων ἕτερα ἑτέρων τῷ τὰ μὲν ἀσφαλέστερα εἶναι, τὰ δὲ πλείω πορίζειν τὴν ἐπικαρπίαν), δεύτερον δὲ τοκισμός, τρίτον δὲ μισθαρνία. ταύτης δ' ἡ μὲν τῶν βαναύσων τεχνῶν, ἡ δὲ τῶν ἀτέχνων καὶ τῷ σώματι μόνῳ χρησίμων. τρίτον δὲ εἶδος χρηματιστικῆς μεταξὺ ταύτης καὶ τῆς πρώτης. ἔχει γὰρ καὶ τῆς κατὰ φύσιν τι μέρος καὶ τῆς μεταβλητικῆς, ὅσα ἀπὸ γῆς καὶ τῶν ἀπὸ γῆς γινομένων, ἀκάρπων μὲν χρησίμων δέ, οἷον ὑλοτομία τε καὶ πᾶσα μεταλλευτική. αὕτη δὲ πολλὰ ἤδη περιείληφε γένη· πολλὰ γὰρ εἴδη τῶν ἐκ γῆς μεταλλευομένων ἐστίν.

3. Περὶ ἑκάστου δὲ τούτων καθόλου μὲν εἴρηται καὶ νῦν, τὸ δὲ κατὰ μέρος ἀκριβολογεῖσθαι χρήσιμον μὲν πρὸς τὰς ἐργασίας, φορτικὸν δὲ τὸ ἐνδιατρίβειν. εἰσὶ δὲ τεχνικώταται μὲν τῶν ἐργασιῶν, ὅπου ἐλάχιστον τῆς τύχης, βαναυσόταται δ', ἐν αἷς τὰ σώματα λωβῶνται μάλιστα, δουλικώταται δέ, ὅπου τοῦ σώματος πλεῖσται χρήσεις, ἀγεννέσταται δέ, ὅπου ἐλάχιστον προσδεῖ ἀρετῆς.

4. Ἐπεὶ δ' ἐστὶν ἐνίοις γεγραμμένα περὶ τούτων, οἷον Χάρητι δὴ τῷ Παρίῳ καὶ Ἀπολλοδώρῳ τῷ Λημνίῳ περὶ γεωργίας καὶ ψιλῆς καὶ πεφυτευμένης, ὁμοίως δὲ καὶ ἄλλοις περὶ ἄλλων, ταῦτα μὲν ἐκ τούτων θεωρείτω ὅτῳ ἐπιμελές· ἔτι δὲ καὶ τὰ λεγόμενα σποράδην, δι' ὧν ἐπιτετυχήκασιν ἔνιοι χρηματιζόμενοι, δεῖ συλλέγειν. πάντα γὰρ ὠφέλιμα ταῦτ' ἐστὶ τοῖς τιμῶσι τὴν χρηματιστικήν.

5. Οἷον καὶ το Θάλεω τοῦ Μιλησίου· τοῦτο γάρ ἐστι κατανόημά τι χρηματιστικόν, ἀλλ' ἐκείνῳ

Kap. IV.

Nachdem wir aber das zur Theorie Gehörige hinreichend bestimmt haben, müssen wir das zur praktischen Anwendung Gehörige durchgehn. Bei allen diesen Dingen ist aber die Theorie die edlere, die Praxis dagegen die nothwendige. Es sind aber die praktischen Theile der Erwerbkunst: erfahren zu sein hinsichtlich der Besitzstücke, welches die vortheilhaftesten, und wo? und wie? z. B. von welcher Art der Pferdebesitzstand sei, oder des Rindvieh's oder der Schaafe, desgleichen der andern Thiere. Denn man muss Erfahrung haben, welche von diesen im Verhältniss zu einander die vortheilhaftesten, zweitens welche Art sich für jeden Ort eigne? Denn andere gedeihen in anderen Gegenden. Ferner in der Ackerbestellung, und hier zwar ebensowohl in der schlechtweg so genannten als in der mit Anpflanzungen verbundenen; auch in der Zucht der Bienen und aller andern auf dem Wasser oder in der Luft lebenden Thiere, von denen nur sich irgend ein Vortheil ziehen lässt.

2. Dies sind also die Theile der eigentlichsten Gelderwerbkunst, und zwar die ersten; dagegen von der auf dem Umsatz beruhenden ist Haupttheil der Handel, (und dieser begreift drei Theile, Seehandel, Landhandel und Hökenhandel, die einzeln von einander durch grössere und geringere Gefahr und grösseren und geringeren Gewinn verschieden sind). — Ein zweiter Bestandtheil ist der Geldhandel, der dritte der Lohndienst. Letzterer bezieht sich theils auf die niedrigen Künste, theils auf die aller Kunst entbehrenden, wo blos Körperkraft nützlich ist. Die dritte Art der Erwerbkunst liegt zwischen dieser und der ersten mitten inne; sie umfasst nämlich sowohl einen Theil der naturgemässen als der auf dem Umsatz beruhenden Erwerbkunst, Alles, was von der Erde kommt und von den Erzeugnissen der Erde, die nicht zu den Früchten gehörigen, aber doch nützlichen, wie die Holznutzung und der gesammte Bergbau. Der letztere aber umfasst selbst wieder viele Arten; denn vielfach sind die Gattungen des durch den Bergbau zu Tage Geförderten.

3. Ueber jeden einzelnen dieser Theile ist nun einestheils im Allgemeinen jetzt (genug) gesagt, das genauere Zergliedern im Einzelnen aber zwar nützlich für die einzelnen Verrichtungen, aber dabei sich aufzuhalten unpassend. Die am meisten kunstgemässen Verrichtungen sind nun die, wo der Zufall am wenigsten Spielraum hat, die niedrigsten die, wo der Körper am meisten beschädigt wird, die sklavischsten die, wo der Körper am meisten benutzt wird, die verächtlichsten endlich, wo es der geringsten geistigen Tüchtigkeit bedarf.

4. Da nun über diese Gegenstände Einige geschrieben haben, wie bekanntlich Chares der Parier und Apollodoros der Lemnier über den Feldbau, sowohl den schlechtweg so genannten als den mit Anpflanzungen verbundenen, und ebenso auch Andere über andere Zweige, so mag, wem darum zu thun ist, sich aus diesen belehren. Ein solcher muss auch die zerstreuten Erzählungen über die Mittel, wodurch Einige in Gelderwerbsgeschäften Glück gemacht haben, sammeln; denn alles dieses ist für die Verehrer der Gelderwerbkunst förderlich.

5. Dahin gehört z. B. das Stückchen von Thales dem Milesier; denn dies ist eine Art von Gelderwerbkunststückchen, welches man freilich jenem wohl nur

---

Cap. IV. §. 1. *Ἐπεὶ δὲ τὰ πρὸς*] τὰ om. Z. [ ] Sylb. — *πάντα δὲ τὰ τοιαῦτα*] γὰρ pro δὲ expressit Vet., τὰ om. S^b. — *εἶτα περὶ γεωργίας*] ἢ π. γ. G. ut est in A 1. 2. B 2. B 3. — *καὶ ταύτης*] κ. ταύτῃ S^b.T^b. — *τῶν πλωτῶν ἢ πτηνῶν*] haec om. Aret. — *ἀφ' ὅσων*] ἀφ' ὅσον T^b.

§. 2. *τῆς μὲν οὖν*] οὖν om. S^b.T^b. — *οἰκειοτάτης*] „propriae" Aret. — *τὴν ἐπικαρπίαν*] „excrescentiam" Vet. τ. ἐμπορίαν vitiose Schn. Cor. — *ἡ δὲ τῶν ἀτέχνων*] om. P 2. I^b. — *τρίτον δὲ*] τέταρτον P 1. (in marg. tamen: *ἄλλως τρίτον*) Vet. Aret. Vict. 1. Lut. — *ὑλοτομία*] ἡ λατομία expressit Thom.

§. 3. *φορτικὸν δὲ*] „grave nimis" Vet. Aret. φρικτὸν S^b. — *ἐλάχιστον τῆς τύχης*] τῆς om. G. cum A 1. 2. B 2. B 3. Göttlingii A 3. (?) [ ] Sylb. — *πλεῖσται χρήσεις*] πλεῖστα Q. χρῆσις S^b.T^b. — *ἀγεννέσταται*] ἀγενέσταται Q. A 1. 2. B 2. Schn. prim. correxit B 3. Vict. 2.

§. 4. *θεωρείτω*] „considerentur" Vet. θεωρητέον Schn. Cor. sine auctoritate. — *ἐπιτετυχήκασιν*] ἐπιτετυχῆ S^b. ἐπιτετυχὴ T^b. — *ὠφέλιμα*] ὠφέλιμος Q.

§. 5. *χρηματιστικὸν*] χρηματικὸν Q. —

μὲν διὰ τὴν σοφίαν προςάπτουσι, τυγχάνει δὲ καθόλου τι ὄν. ὀνειδιζόντων γὰρ αὐτῷ διὰ τὴν πενίαν ὡς ἀνωφελοῦς τῆς φιλοσοφίας οὔσης, κατανοήσαντά φασιν αὐτὸν ἐλαιῶν φορὰν ἐσομένην ἐκ τῆς ἀστρολογίας, ἔτι χειμῶνος ὄντος, εὐπορήσαντα χρημάτων ὀλίγων ἀῤῥαβῶνας διαδοῦναι τῶν ἐλαιουργίων τῶν τ' ἐν Μιλήτῳ καὶ Χίῳ πάντων, ὀλίγου μισθωσάμενον, ἅτ' οὐθενὸς ἐπιβάλλοντος· ἐπειδὴ δ' ὁ καιρὸς ἧκε, πολλῶν ζητουμένων ἅμα καὶ ἐξαίφνης, ἐκμισθοῦντα ὃν τρόπον ἠβούλετο, πολλὰ χρήματα συλλέξαντα ἐπιδεῖξαι, ὅτι ῥᾴδιόν ἐστι πλουτεῖν τοῖς φιλοσόφοις, ἂν βούλωνται, ἀλλ' οὐ τοῦτ' ἐστὶ περὶ ὃ σπουδάζουσιν.

seiner bekannten Weisheit wegen zuschreibt, das aber doch etwas Allgemeines enthält. Als man ihm nämlich wegen seiner Armuth vorwarf, dass die Philosophie nutzlos sei, soll er, mittelst der Astrologie eine ergiebige Olivenernte voraussehend, noch vor Ablauf des Winters, da er gerade einiges Geld hatte, auf alle Oelpressen in Milet und Chios Handgeld gegeben haben, indem er sie um ein Geringes pachtete, weil keiner überbot. Als aber die rechte Zeit gekommen und viele zugleich und plötzlich gesucht wurden, da habe er sie nach Gutdünken vermiethet, und so, nachdem er dadurch viel Geld zusammengebracht, den Beweis geführt, dass Reichwerden für die Philosophen leicht ist, wenn sie wollen, nur sei es nicht das, wornach sie strebten.

6. Θαλῆς μὲν οὖν λέγεται τοῦτον τὸν τρόπον ἐπίδειξιν ποιήσασθαι τῆς σοφίας· ἔστι δ', ὥσπερ εἴπομεν, καθόλου τὸ τοιοῦτον χρηματιστικόν, ἐάν τις δύνηται μονοπωλίαν αὑτῷ κατασκευάζειν. διὸ καὶ τῶν πόλεων ἔνιαι τοῦτον ποιοῦνται τὸν πόρον, ὅταν ἀπορῶσι χρημάτων· μονοπωλίαν γὰρ τῶν ὠνίων ποιοῦσιν.

6. Thales nun also soll auf diese Art ein glänzendes Zeugniss von seiner Weisheit gegeben haben; es ist aber, wie wir sagten, dies überhaupt eine allgemeine Methode des Gelderwerbs, wenn sich einer den Alleinverkauf von etwas zu verschaffen vermag. Daher machen sich auch manche Staaten diese Einnahme zu Nutze, wenn sie in Geldverlegenheit sind; sie eignen sich nämlich den Alleinverkauf aller Waaren an.

7. Ἐν Σικελίᾳ δέ τις τεθέντος παρ' αὐτῷ νομίσματος συνεπρίατο πάντα τὸν σίδηρον ἐκ τῶν σιδηρείων, μετὰ δὲ ταῦτα ὡς ἀφίκοντο ἐκ τῶν ἐμπορίων οἱ ἔμποροι, ἐπώλει μόνος, οὐ πολλὴν ποιήσας ὑπερβολὴν τῆς τιμῆς· ἀλλ' ὅμως ἐπὶ τοῖς πεντήκοντα ταλάντοις ἐπέλαβεν ἑκατόν.

7. In Sicilien aber kaufte Einer, der sich im Besitz vieler Depositalgelder befand, alles Eisen aus den Eisenhütten auf; darauf aber, als von den Handelsplätzen die Käufer zu ihm kamen, verkaufte er allein mit einer nicht bedeutenden Erhöhung des Preises. Demohngeachtet gewann er auf funfzig Talente hundert.

8. Τοῦτο μὲν οὖν ὁ Διονύσιος αἰσθόμενος τὰ μὲν χρήματα ἐκέλευσεν ἐκκομίσασθαι, μὴ μέντοι γ' ἔτι μένειν ἐν Συρακούσαις, ὡς πόρους εὑρίσκοντα τοῖς αὑτοῦ πράγμασιν ἀσυμφόρους. τὸ μέντοι ὅραμα Θάλεω καὶ τοῦτο ταὐτόν ἐστιν· ἀμφότεροι γὰρ ἑαυτοῖς ἐτέχνασαν γενέσθαι μονοπωλίαν. χρήσιμον δὲ γνωρίζειν ταῦτα καὶ τοῖς πολιτικοῖς· πολλαῖς γὰρ πόλεσι δεῖ χρηματισμοῦ καὶ τοιούτων πόρων, ὥσπερ οἰκίᾳ, μᾶλλον δέ. διόπερ τινὲς καὶ πολιτεύονται τῶν πολιτευομένων ταῦτα μόνον.

8. Als dies nun Dionysios erfuhr, liess er ihn zwar sein Vermögen mit hinwegnehmen, verbot ihm aber, länger in Syrakus zu bleiben, weil er sich Einkünfte verschafft habe, die seinen Verhältnissen nicht zuträglich wären. Die Speculation des Thales nun ist dieselbe wie diese. Beide nämlich verschafften sich durch ihre Klugheit den Alleinverkauf. Nützlich ist aber dies zu wissen auch den Staatsmännern. Denn vielen Staaten thun Gelderwerb und dergleichen Einkünfte Noth wie einer Familie, ja in noch höherem Grade; daher denn auch einige Staatsverwalter bei ihrer Staatsverwaltung diese Dinge allein berücksichtigen. —

CAP. V.

Cap. 12. Bkk. Ἐπεὶ δὲ τρία μέρη τῆς οἰκονομικῆς ἦν, ἓν μὲν δεσποτική, περὶ ἧς εἴρηται πρότερον, ἓν δὲ πατρική, τρίτον δὲ γαμική· καὶ γὰρ γυναικὸς ἄρχει καὶ τέκνων, ὡς ἐλευθέρων μὲν ἀμφοῖν, οὐ τὸν αὐτὸν δὲ τρόπον τῆς ἀρχῆς, ἀλλὰ γυναικὸς μὲν πολιτικῶς, τέκνων δὲ βασιλικῶς· τό τε γὰρ ἄῤῥεν φύσει τοῦ θήλεος ἡγεμονικώτερον, εἰ μή που συνέστηκε παρὰ φύσιν, καὶ τὸ πρεσβύτερον καὶ τέλειον τοῦ νεωτέρου καὶ ἀτελοῦς.

Kap. V.

1. Nun ergaben sich uns aber drei Theile der Hausverwaltungskunst, erstens das despotische Verhältniss, worüber zuvor geredet worden, zweitens das väterliche und drittens das eheliche. — Denn der Mann herrscht auch über Weib und Kinder, über beide als Freie, doch nicht mit derselben Art von Herrschergewalt, sondern über sein Weib obrigkeitlich, über die Kinder aber königlich; denn das Männliche ist von Natur mehr als das Weibliche zur Oberherrlichkeit geschickt, wenn es sich nicht etwa einmal naturwidrig gestaltet hat, und das Aeltere und Vollendete vor dem Jüngeren und Unvollendeten.

2. Ἐν μὲν οὖν ταῖς πολιτικαῖς ἀρχαῖς ταῖς

2. In den meisten bürgerlichen Gewalten findet

ἐλαιουργίων] ἐλαιουργιῶν Vict. Z. et, ut Bekk. adnotat, „plerique". (?) ἐλαιουργῶν (olivarum cultoribus) Vet. — τῶν τ' ἐν Μιλήτῳ] τ' om. G. Schn. male! — Χίῳ] χείῳ Q. — ἐκμισθοῦντα] ἐκμισθοῦνται Tᵇ. — συλλέξαντα] Sic Cor. et Bekk. cum 7 Codd. Vet. („pretium taxans cum collegisset"), συλλέξαντες Sᵇ.Tᵇ. — Vulgatum (A 1. 2. Bass. 1. 2. 3. Lut. Vict. 2. Sylb. reliq.) συλλέξαντος, de cuius vitio iam monuere Camer. et Schn., retinuit et explicare conatus est G.

§. 7. σιδηρείων] „ferri mineris" (sic) Vet. „ex ferrariis" Aret. — ἐκ τῶν ἐμπορίων] ἐκ τ. ἐμποριῶν A 1. 2. B 2. B 3. om. Aret. „e nundinis" Vet. — ἐπέλαβεν] „conficeret" Ar.

§. 8. τοῦτον μὲν οὖν] Sic Q. Iᵇ.Tᵇ. et edd. ante Bkk. fere omnes A 1. 2. Bass. 2. 3. Vict. 2. Schn. Cor. G., quorum nemo huius discrepantiae mentionem facit. Sed Bekk. τοῦτο ex 6 Codd. quod habet Lut. unde receper. Sylb. Conr. — ὅραμα] θεώρημα Cor. εὕρημα Camer. — καὶ τοῦτο] καὶ τούτῳ Lut. et recentiores inde a Sylb. Correxit Schn. Totum locum sic transtulit Vet.: „quod [quod vero Thom.] visum fuerit [fuit Thom.] Thali et huic idem est utique, quia enim [utrique enim Thom.] sibi ipsi statuerunt fieri monopoliam"; expressit igitur: Θάλῃ καὶ τούτῳ. — οἰκίᾳ] οἰκίαις Vet. οἰκία A 1. B 2. B 3. correxit Lut. Vict. Sylb.

Cap. V. §. 1. Ἐπεὶ δὲ τρία μέρη] μέρη om. Iᵇ. Tᵇ. et G. cum P 2. A 1. 2. B 2. [μέρη] Sylb. μέρη post ἦν habet B 3. — περὶ ἧς] περὶ om. Sᵇ. — καὶ γὰρ γυναικὸς ἄρχει] Vulgatam ἄρχειν, quam etiam Bekk. retinuit tacite, primus correxit Giphan. (p. 128.) et recep. ἄρχει Schn. G. Idem expresserunt Vet. Aret. Victor. et Lamb. et adscripsit vir d. Bas. 2. — εἰ μή που] εἰ μή πως expressit Vet. et πως supra script. in P 2. —

πλείσταις μεταβάλλει το ἄρχον καὶ τὸ ἀρχόμενον· ἐξ ἴσου γὰρ εἶναι βούλεται τὴν φύσιν καὶ διαφέρειν μηθέν. ὅμως δέ, ὅταν τὸ μὲν ἄρχῃ τὸ δ' ἄρχηται, ζητεῖ διαφορὰν εἶναι καὶ σχήμασι καὶ λόγοις καὶ τιμαῖς, ὥςπερ καὶ Ἄμασις εἶπε τὸν περὶ τοῦ ποδανιπτῆρος λόγον. τὸ δ' ἄῤῥεν ἀεὶ πρὸς τὸ θῆλυ τοῦτον ἔχει τὸν τρόπον. ἡ δὲ τῶν τέκνων ἀρχὴ βασιλική· τό γὰρ γεννῆσαν καὶ κατὰ φιλίαν ἄρχον καὶ κατὰ πρεσβείαν ἐστίν, ὅπερ ἐστὶ βασιλικῆς εἶδος ἀρχῆς. διὸ καλῶς Ὅμηρος τὸν Δία προςηγόρευσεν εἰπὼν

„πατὴρ ἀνδρῶν τε θεῶν τε,“

τὸν βασιλέα τούτων ἁπάντων. φύσει γὰρ τὸν βασιλέα διαφέρειν μὲν δεῖ, τῷ γένει δ' εἶναι τὸν αὐτόν· ὅπερ πέπονθε τὸ πρεσβύτερον πρὸς τὸ νεώτερον καὶ ὁ γεννήσας πρὸς τὸ τέκνον.

Cap. 13. Bkk. 3. Φανερὸν τοίνυν, ὅτι πλείων ἡ σπουδὴ τῆς οἰκονομίας περὶ τοὺς ἀνθρώπους ἢ περὶ τὴν τῶν ἀψύχων κτῆσιν, καὶ περὶ τὴν ἀρετὴν τούτων ἢ περὶ τὴν τῆς κτήσεως, ὃν καλοῦμεν πλοῦτον, καὶ τῶν ἐλευθέρων μᾶλλον ἢ δούλων. πρῶτον μὲν οὖν περὶ δούλων ἀπορήσειεν ἄν τις, πότερόν ἐστιν ἀρετή τις δούλου παρὰ τὰς ὀργανικὰς καὶ διακονικὰς ἄλλη τιμιωτέρα τούτων, οἷον σωφροσύνη καὶ ἀνδρία καὶ δικαιοσύνη καὶ τῶν ἄλλων τῶν τοιούτων ἕξεων, ἢ οὐκ ἔστιν οὐδεμία παρὰ τὰς σωματικὰς ὑπηρεσίας. ἔχει γὰρ ἀπορίαν ἀμφοτέρως. εἴτε γὰρ ἔστιν, τί διοίσουσι τῶν ἐλευθέρων; εἴτε μὴ ἐστιν ὄντων ἀνθρώπων καὶ λόγου κοινωνούντων, ἄτοπον.

4. Σχεδὸν δὲ ταὐτόν ἐστι τὸ ζητούμενον καὶ περὶ γυναικὸς καὶ παιδός, πότερα καὶ τούτων εἰσὶν ἀρεταί, καὶ δεῖ τὴν γυναῖκα εἶναι σώφρονα καὶ ἀνδρείαν καὶ δικαίαν, καὶ παῖς ἐστὶ καὶ ἀκόλαστος καὶ σώφρων, ἢ οὔ; καὶ καθόλου δὴ τοῦτ' ἐστὶν ἐπισκεπτέον περὶ ἀρχομένου φύσει καὶ ἄρχοντος, πότερον ἡ αὐτὴ ἀρετὴ ἢ ἑτέρα. εἰ μὲν γὰρ δεῖ ἀμφοτέρους μετέχειν καλοκἀγαθίας, διὰ τί τὸν μὲν ἄρχειν δέοι ἂν τὸν δὲ ἄρχεσθαι καθάπαξ; οὐδὲ γὰρ τῷ μᾶλλον καὶ ἧττον οἷόν τε διαφέρειν· τὸ μὲν γὰρ ἄρχεσθαι καὶ ἄρχειν εἴδει διαφέρει, τὸ δὲ μᾶλλον καὶ ἧττον οὐδέν.

5. Εἰ δὲ τὸν μὲν δεῖ τὸν δὲ μή, θαυμαστόν. εἴτε γὰρ ὁ ἄρχων μὴ ἔσται σώφρων καὶ δίκαιος, πῶς ἄρξει καλῶς; εἴθ' ὁ ἀρχόμενος, πῶς ἀρχθήσεται καλῶς; ἀκόλαστος γὰρ ὢν καὶ δειλὸς οὐθὲν ποιήσει τῶν προςηκόντων. φανερὸν τοίνυν, ὅτι ἀνάγκη μὲν μετέχειν ἀμφοτέρους ἀρετῆς, ταύτης δ' εἶναι διαφοράς, ὥςπερ καὶ τῶν φύσει [ἀρχόν-

nun zwar ein Wechsel des Regierenden und des Regierten Statt; denn der Begriff Bürger verlangt natürliche Gleichheit und gänzliche Unterschiedslosigkeit; indess so lange ein Theil regiert und der andere regiert wird, sucht man einen Unterschied herzustellen, in Aufzug, Reden und Ehrenbezeugungen (wohin auch Amasis mit seiner Erzählung von dem Fussbecken zielt). Dagegen das Männliche verhält sich immer zum Weiblichen in der angegebenen Weise. Die Herrschaft über die Kinder aber ist königlich. Denn das Erzeugende ist sowohl hinsichtlich der Liebe als hinsichtlich des Alters das Herrschende und dies ist die Form der Königsherrschaft. Daher nannte passend Homeros den Zeus, wenn er sang:

„Vater der Götter und Menschen“

den König dieser Aller. Denn von Natur soll der König verschieden sein, von Geschlecht aber derselbe; und dies ist der Fall in dem Verhältnisse des Aelteren zum Jüngeren und des Erzeugers zum Kinde. —

3. Demnach ist es also einleuchtend, dass die Hausverwaltung mehr Eifer wendet auf die Menschen, als auf das unbeseelte Besitzthum, und auf die gute Beschaffenheit dieser als auf die des Besitzthums, welches wir Reichthum nennen, und auf die der Freien mehr als der Sklaven. Zunächst nun könnte es Einer in Rücksicht auf die Sklaven in Frage stellen: ob es neben den Eigenschaften desselben als Werkzeug und Diener noch irgend eine andere höhere Tugend des Sklaven gebe, wie z. B. Besonnenheit und Tapferkeit und Gerechtigkeit, und sonst eine andere von dergleichen Beschaffenheiten, oder ob es gar keine giebt ausser den körperlichen Verrichtungen. Die Sache hat nämlich nach beiden Seiten hin ihr Bedenken. Denn, ist es der Fall, worin werden sie dann noch von den Freien verschieden sein? und ist es nicht der Fall, so ist es, da sie doch Menschen sind und Antheil an der Vernunft haben, widersinnig.

4. Fast dieselbe Frage entsteht im Betreff von Frau und Kind, ob es auch Tugenden dieser giebt und ob die Frau mässig und tapfer und gerecht sein muss, und ein Knabe ebensowohl unbändig als gesittet ist, oder nicht. Und überhaupt auch hat man über den, der von Natur beherrscht wird, und den, der gebietet, zu ermitteln, ob die Tugend beider dieselbe oder eine verschiedene ist. Denn wenn beide an der vollendeten Tüchtigkeit Theil haben müssen, weshalb sollte denn nur der eine ein für allemal herrschen, der andere gehorchen müssen? Auch können sie doch wohl nicht durch das Mehr und Weniger unterschieden sein; denn das Herrschen und Beherrschtwerden ist der Art nach verschieden, das Mehr und Weniger aber keineswegs.

5. Soll aber der Eine daran Theil haben und der Andere nicht, so ist es wieder wunderbar; denn wenn der Herrschende nicht mässig und gerecht sein wird, wie wird er da gut herrschen? und wenn es der Beherrschte nicht ist, wie wird er gut gehorchen? Denn ist er unbändig und schlaff, so wird er nichts von dem, was ihm zukommt, thun. Es ist somit offenbar, dass einerseits nothwendig beide an der Tugend Theil haben, diese aber

§. 2. *ἐξ ἴσου γὰρ εἶναι βούλεται τὴν φύσιν*] „nam aequales esse volunt secundum naturam“ Aret., qui legisse videtur *βούλονται κατὰ φύσιν*. idem *κατὰ φύσιν* expressit Vet. („secundum naturam“). — *ζητεῖ*] „quaerunt“ Vet. — *τὸν περὶ τοῦ ποδανιπτῆρος*] *τὸν* om. S^b. — *ἀεὶ*] *αἰεὶ* G. ex A 1. 2. — *ἔχει*] *ἔχοι* P 3. — *τέκνων*] *τεκτόνων* T^b. — *τὸν βασιλέα τούτων ἁπάντων*] „regem horum omnium patrem dicens“ Vet, is igitur addit. legit *πατέρα φήσας* vel *εἰπών*, non inepte, et *φήσας* quidem facile excidere potuit propter sequens *φύσει*. Aret.: „sic appellans omnium regem“. — *τῷ γένει*] *γένει* om. S^b. — *πέπονθε τὸ πρεσβύτερον πρὸς τὸ*] *πέπονθε πρεσβύτερον πρὸς τὸν* S^b.

§. 3. *φανερὸν τοίνυν*] *τοίνυν* per „autem“ redd. Aret. — *περὶ τὴν τῆς κτήσεως*] Sic Bkk. tacite. Sed *τὴν* quod edd. prim. habet Lut. et [ ] Sylb. om. A 1. 2. B 2. B 3. Vict. 2. Z. Schn. G. Est vero articulus in P 1. Vet. Aret. — *περὶ δούλων ἀπορήσειεν*] *περὶ δούλων. Ἀπορήσειεν* A 1. — *εἴτε γὰρ*] *εἴ τι γὰρ* S^b. T^b. A 1.

§. 4. *σχεδὸν δὲ*] *δὲ* Bkk. cum 5 codd. Vet. Lut. Sylb. et recent. Schn. *δὴ* G. cum P 1. 2. 3. A 1. 2. B 2. B 3. Vict. 2. Z. ut est in Q. S^b. T^b. et corr. I^b. non inepte! — *πότερα*] *πότερον* I^b. — *καὶ ἀκόλαστος*] *καὶ* om. Lut. Sylb., quem sequuntur recentt. usque ad Schn.; deest in Vet. Aret. et fortasse etiam in P 1. — *καὶ καθόλου δὴ*] *δὴ* male mutarunt in *δὲ* Schn. Cor.; om. particulam Aret. — *καθάπαξ*] om. Aret. — *εἴδει διαφέρει*] *εἴδη δ.* T^b. — *τὸ δὲ μᾶλλον*] *τῷ δὲ μ.* de coniect. Sylb. Schn. Cor.

§. 5. *ἀρχόντων καὶ*] haec verba necessario addenda esse videntur, ut sententia constet. Vidit Lamb. quum sic interpretaretur: „quemadmodum ii, qui

των καὶ] ἀρχομένων. καὶ τοῦτο εὐθὺς ὑφήγηται περὶ τὴν ψυχήν· ἐν ταύτῃ γάρ ἐστι φύσει τὸ μὲν ἄρχον τὸ δὲ ἀρχόμενον, ὧν ἑτέραν φαμὲν εἶναι ἀρετήν, οἷον τοῦ λόγον ἔχοντος καὶ τοῦ ἀλόγου.

6. Δῆλον τοίνυν, ὅτι τὸν αὐτὸν τρόπον ἔχει καὶ ἐπὶ τῶν ἄλλων, ὥςτε φύσει τὰ πλείω ἄρχοντα καὶ ἀρχόμενα. ἄλλον γὰρ τρόπον τὸ ἐλεύθερον τοῦ δούλου ἄρχει, καὶ τὸ ἄῤῥεν τοῦ θήλεος, καὶ ἀνὴρ παιδός· καὶ πᾶσιν ἐνυπάρχει μὲν τὰ μόρια τῆς ψυχῆς, ἀλλ' ἐνυπάρχει διαφερόντως. ὁ μὲν γὰρ δοῦλος ὅλως οὐκ ἔχει τὸ βουλευτικόν, τὸ δὲ θῆλυ ἔχει μέν, ἀλλ' ἄκυρον· ὁ δὲ παῖς ἔχει μέν, ἀλλ' ἀτελές.

7. Ὁμοίως τοίνυν ἀναγκαῖον ἔχειν καὶ περὶ τὰς ἠθικὰς ἀρετάς· ὑποληπτέον γάρ, δεῖν μὲν μετέχειν πάντας, ἀλλ' οὐ τὸν αὐτὸν τρόπον, ἀλλ' ὅσον ἑκάστῳ πρὸς τὸ αὑτοῦ ἔργον. διο τὸν μὲν ἄρχοντα τελέαν ἔχειν δεῖ τὴν ἠθικὴν ἀρετήν (τὸ γὰρ ἔργον ἐστὶν ἁπλῶς τοῦ ἀρχιτέκτονος, ὁ δὲ λόγος ἀρχιτέκτων), τῶν δ' ἄλλων ἕκαστον, ὅσον ἐπιβάλλει αὐτοῖς.

8. Εὐπρόσωπος μὲν οὖν ἡ τοιαύτη νομοθεσία καὶ φιλάνθρωπος ἂν εἶναι δόξειεν· ὁ γὰρ ἀκροώμενος ἄσμενος ἀποδέχεται, νομίζων ἔσεσθαι φιλίαν τινὰ θαυμαστὴν πᾶσι πρὸς ἅπαντας, ἄλλως τε καὶ ὅταν κατηγορῇ τις τῶν νῦν ὑπαρχόντων ἐν ταῖς πολιτείαις κακῶν ὡς γινομένων διὰ τὸ μὴ κοινὴν εἶναι τὴν οὐσίαν, λέγω δὲ δίκας τε πρὸς ἀλλήλους περὶ συμβολαίων καὶ ψευδομαρτυριῶν κρίσεις καὶ πλουσίων κολακείας. ὧν οὐδὲν γίνεται διὰ τὴν ἀκοινωνησίαν, ἀλλὰ διὰ τὴν μοχθηρίαν.

9. Ἐπεὶ καὶ τοὺς κοινὰ κεκτημένους καὶ κοινωνοῦντας πολλῷ διαφερομένους μᾶλλον ὁρῶμεν ἢ τοὺς χωρὶς τὰς οὐσίας ἔχοντας· ἀλλὰ θεωροῦμεν ὀλίγους τοὺς ἐκ τῶν κοινωνιῶν διαφερομένους πρὸς πολλοὺς συμβάλλοντες τοὺς κεκτημένους ἰδίᾳ τὰς κτήσεις. ἔτι δὲ δίκαιον μὴ μόνον λέγειν ὅσων στερήσονται κακῶν κοινωνήσαντες, ἀλλὰ καὶ ὅσων ἀγαθῶν. φαίνεται δ' εἶναι πάμπαν ἀδύνατος ὁ βίος. αἴτιον δὲ τῷ Σωκράτει τῆς παρακρούσεως χρὴ νομίζειν τὴν ὑπόθεσιν οὐκ οὖσαν ὀρθήν. δεῖ μὲν γὰρ εἶναί πως μίαν καὶ τὴν οἰκίαν καὶ τὴν πόλιν, ἀλλ' οὐ πάντως. ἔστι μὲν γὰρ ὡς οὐκ ἔσται προϊοῦσα πόλις, ἔστι δ' ὡς ἔσται μέν, ἐγγὺς δ' οὖσα τοῦ μὴ πόλις εἶναι ἔσται χείρων πόλις, ὥσπερ κἂν εἴ τις τὴν συμφωνίαν ποιήσειεν ὁμοφωνίαν ἢ τὸν ῥυθμὸν βάσιν μίαν.

10. Ἀλλὰ δεῖ πλῆθος ὄν, ὥσπερ εἴρηται πρότερον, διὰ τὴν παιδείαν κοινὴν καὶ μίαν ποιεῖν· καὶ τόν γε μέλλοντα παιδείαν εἰσάγειν, καὶ νομίζοντα διὰ ταύτης ἔσεσθαι τὴν πόλιν σπουδαίαν, ἄτοπον τοῖς τοιούτοις οἴεσθαι διορθοῦν, ἀλλὰ μὴ τοῖς ἔθεσι καὶ τῇ φιλοσοφίᾳ καὶ τοῖς νόμοις· ὥσπερ τὰ περὶ τὰς κτήσεις ἐν Λακεδαίμονι καὶ Κρήτῃ τοῖς συσσιτίοις ὁ νομοθέτης ἐκοίνωσεν. δεῖ δὲ μηδὲ τοῦτο αὐτὸ ἀγνοεῖν, ὅτι χρὴ προσέχειν τῷ πολλῷ χρόνῳ καὶ τοῖς πολλοῖς ἔτεσιν, ἐν οἷς οὐκ ἂν ἔλαθεν εἰ ταῦτα καλῶς εἶχεν· πάντα γὰρ σχεδὸν εὕρηται μέν, ἀλλὰ τὰ μὲν οὐ συνῆκται, τοῖς δ' οὐ χρῶνται γινώσκοντες.

11. Μάλιστα δ' ἂν γένοιτο φανερόν, εἴ τις τοῖς ἔργοις ἴδοι τὴν τοιαύτην πολιτείαν κατασκευαζομένην· οὐ γὰρ δυνήσεται μὴ μερίζων αὐτὰ καὶ χωρίζων ποιῆσαι τὴν πόλιν, τὰ μὲν εἰς συσσίτια, τὰ δὲ εἰς φρατρίας καὶ φυλάς. ὥστε οὐδὲν ἄλλο συμ-

Frauen (denn es ist eine schöne That, sich eines fremden Weibes aus Mässigung enthalten), und zweitens der Freigiebigkeit in Bezug auf die Besitzthümer; denn weder wird einer, der freigiebig ist, sich bemerklich machen, noch wird Jemand auch nur eine einzige freigiebige Handlung verrichten können; denn die Ausübung der Freigiebigkeit beruht auf dem Gebrauche des Besitzthums.

8. Freilich hübsch anzuschauen und menschenfreundlich mag eine solche Einrichtung wohl erscheinen. Denn der Zuhörer giebt ihr leicht Beifall, wähnend, dass dann eine wunderbare Freundschaft allerwelt gegen allewelt Statt finden werde, zumal wenn einer auf die gegenwärtig bestehenden Uebel in den Staatsverfassungen schilt, als kämen sie daher, dass das Vermögen nicht gemeinsam sei; ich meine aber die Processe wegen gegenseitiger Verträge, und die Untersuchungen über falsche Zeugnisse, und die Kriechereien gegen Reiche; wovon nichts wegen der Gemeinschaftslosigkeit (der Güter) geschieht, sondern wegen der sittlichen Verderbtheit.

9. Denn die, welche gemeinsam Etwas besitzen und gebrauchen, sehen wir ja selbst weit mehr entzweit, als die, welche ihre Güter für sich haben. Aber freilich kommen uns die, welche über gemeinschaftliche Verhältnisse sich entzweien, nur in geringer Anzahl vor, wenn wir sie mit der grossen Zahl derer vergleichen, welche ihre Besitzthümer für sich besitzen. Ferner verlangt es auch die Gerechtigkeit, nicht blos zu sagen, wie viel Uebles die Menschen weniger haben werden, wenn sie in Gütergemeinschaft leben, sondern auch wie viel Gutes. Es scheint aber das Leben gradezu unmöglich zu sein. Als Ursach von Sokrates Irrthum nun hat man die Unrichtigkeit der Voraussetzung anzusehn. Denn es muss zwar in einer gewissen Weise sowohl die Familie als der Staat eins sein, aber nur nicht durchaus. Denn einerseits wird er, jene Einschränkung überschreitend, nicht mehr Staat sein, andrerseits wird er es zwar noch sein, aber indem er nahe dran ist, nicht mehr Staat zu sein, wird er ein schlechterer Staat sein. Gleichwie wenn einer die Symphonie zur Homophonie oder den Rhythmus zu einem Fusse machen wollte.

10. Vielmehr muss man ihm, obgleich er eine Vielheit ist, wie schon gesagt, durch die Erziehung Uebereinstimmung und Einheit verschaffen. Auch ist es wirklich wunderlich, dass ein Mann, welcher Erziehung einzuführen beabsichtigt, in der Ansicht, dass durch diese der Staat tüchtig sein werde, denselben mit solchen Einrichtungen in die Höhe zu bringen meint, und nicht vielmehr durch die Sitten, die Philosophie und die Gesetze; wie das Besitzwesen in Lakedaimon und Kreta der Gesetzgeber durch die Syssitien gemeinsam machte. Man darf aber auch grade das nicht unbeachtet lassen, dass man auf die lange Zeit und auf die langen Jahre Rücksicht nehmen muss, während welcher es wohl nicht verborgen geblieben wäre, wenn sich diese Einrichtungen bewährt hätten. Denn erfunden ist wohl so ziemlich Alles, nur ist Einiges noch nicht übersichtlich gesammelt, Anderes kennt man, ohne es anzuwenden.

11. Am besten aber würde es einleuchten, wenn einer in der Wirklichkeit den so beschaffenen Staat einrichten sähe. Denn er (der Gesetzgeber) wird nicht im Stande sein, wenn er jene Elemente nicht gliedert und sondert, die einen in Syssitien, die andern in Phratrien und Phylen, den Staat darzustellen. So dass also

P 1. — οὐδεμίαν] οὐδὲ μίαν G. ex A 1. 2. — ἐν γὰρ τῇ] ἐν τῇ γὰρ Vict. 2. Lut. Z. Schn. Cor.

§. 8. ἂν εἶναι δόξειεν] αν post δόξειεν P 1. — κολακείας] κολακείαις Q^b. T^b.

§. 9. ὀλίγους τοὺς ἐκ τῶν] pro τοὺς est τῶν in Q^b. U^b. (et in Göttlingii MSS. ut videtur) nec non impressis omnibus, except. B 3. A 2., in quibus τούς. — λέγειν ὅσων — φαίνεται δ'] om. T^b. — πάντως] πάντη suprascripto ως P 1. — εἶναι χείρων πόλις] Sic edid. cum I^b. Q^b. T^b. P 1. 2. 3. 4. Lips. Aret. A 1. 2. B 2. 3. G. — Reliqui incommode ἔσται post εἶναι inserunt, quod consulto omisisse videtur Aristoteles. — βάσιν μίαν] μίαν om. A 2.

§. 10. τοῖς ἔθεσι] ἤθεσι sed suprascr. εθ. P 1. — πολλοῖς ἔτεσι] ἔθεσι Aret. inepte. — συνῆκται] εἰςῆκται („inducta") Aret., quod non temere spernendum videtur.

§. 11. αὐτὰ καὶ χωρίζων] αὐτῶν A 1. B 2. 3., quod retinuit et structura ad πόλιν relata tueri conatus est G. Equidem, si librorum MSS. auctoritate stabilita esset haec scriptura, αὐτῶν potius ad sequentia τὰ μὲν — τὰ δὲ referendum esse censerem. — Totum vero commation om. Codex Camerar. [ ] Schn. Cor.; „partiens tempora" Vet., „partiens ipsam" Thom. — τὰ δὲ εἰς] δ' G. aliique. — φρατρίας] φατρίας I^b. — ὥστε

βήσεται νενομοθετημένον, πλὴν μὴ γεωργεῖν τοὺς φύλακας· ὅπερ καὶ νῦν Λακεδαιμόνιοι ποιεῖν ἐπιχειροῦσιν. οὐ μὴν ἀλλ' οὐδὲ ὁ τρόπος τῆς ὅλης πολιτείας τίς ἔσται τοῖς κοινωνοῦσιν, οὔτ' εἴρηκεν ὁ Σωκράτης οὔτε ῥᾴδιον εἰπεῖν. καίτοι σχεδὸν τό γε πλῆθος τῆς πόλεως τὸ τῶν ἄλλων πολιτῶν γίνεται πλῆθος, περὶ ὧν οὐδὲν διώρισται, πότερον καὶ τοῖς γεωργοῖς κοινὰς εἶναι δεῖ τὰς κτήσεις, ἢ καὶ καθ' ἕκαστον ἰδίας, ἔτι δὲ καὶ γυναῖκας καὶ παῖδας ἰδίους ἢ κοινούς.

von Platons Verfassungseinrichtung nichts übrig bleiben wird, als dass die Wächter nicht Ackerbau treiben; was auch in unsern Tagen die Lakedaimonier zu verwirklichen streben. Allein von alle dem abgesehn, hat doch Sokrates über die Art und Weise der Einrichtung der gesammten Staatsverfassung bei solcher Gemeinschaft ebensowenig Etwas gesagt, als es leicht zu sagen ist. Nun besteht aber doch, so zu sagen, die Masse des Staats aus der Masse der übrigen Bürger, über welche nichts bestimmt ist, ob (z. B.) auch die Landbebauer ihre Besitzungen gemeinsam haben sollen, oder Jeder für sich besonders; ferner auch, ob Frauen und Kinder besonders oder gemeinsam.

12. *Εἰ μὲν γὰρ τὸν αὐτὸν τρόπον κοινὰ πάντα πάντων, τί διοίσουσιν οὗτοι ἐκείνων τῶν φυλάκων; ἢ τί πλεῖον τοῖς ὑπομένουσι τὴν ἀρχὴν αὐτῶν; ἢ τί μαθόντες ὑπομενοῦσι τὴν ἀρχήν, ἐὰν μή τι σοφίζωνται τοιοῦτον οἷον Κρῆτες; ἐκεῖνοι γὰρ τἆλλα ταὐτὰ τοῖς δούλοις ἐφέντες μόνον ἀπειρήκασι τὰ γυμνάσια καὶ τὴν τῶν ὅπλων κτῆσιν. εἰ δέ, καθάπερ ἐν ταῖς ἄλλαις πόλεσι, καὶ παρ' ἐκείνοις ἔσται τὰ τοιαῦτα, τίς ὁ τρόπος ἔσται τῆς κοινωνίας; ἐν μιᾷ γὰρ πόλει δύο πόλεις ἀναγκαῖον εἶναι, καὶ ταύτας ὑπεναντίας ἀλλήλαις. ποιεῖ γὰρ τοὺς μὲν φύλακας οἷον φρουρούς, τοὺς δὲ γεωργοὺς καὶ τοὺς τεχνίτας καὶ τοὺς ἄλλους πολίτας.*

12. Denn wenn in derselben Weise Allen Alles gemeinsam sein soll, worin werden sich denn diese von jenen, den Wächtern, unterscheiden? oder was werden sie von ihrem Gehorsam gegen die Oberherrschaft derselben für Vortheil haben? oder durch welche Vorspiegelungen werden sie im Gehorsam verharren, wenn jene nicht Etwas ausklügeln, wie die Kreter; jene nämlich, in allen Dingen ihren Sklaven dasselbe einräumend, haben ihnen blos die Gymnasien und den Besitz der Waffen untersagt. Sollen aber diese Verhältnisse bei jenen dieselben sein, wie in den übrigen Staaten, wie wird es da mit der Vereinigung beschaffen sein? Denn es werden sich nothwendig in einem Staate zwei Staaten herausstellen, und noch dazu einander entgegengesetzte. Denn er (Sokrates) macht die Wächter gewissermassen zu Besatzungssoldaten, die Landbebauer hingegen und die Künstler und die übrigen zu Bürgern.

13. *Ἐγκλήματα δὲ καὶ δίκαι, καὶ ὅσα ἄλλα ταῖς πόλεσιν ὑπάρχειν φησὶ κακά, πάνθ' ὑπάρξει καὶ τούτοις. καίτοι λέγει ὁ Σωκράτης, ὡς οὐ πολλῶν δεήσονται νομίμων διὰ τὴν παιδείαν, οἷον ἀστυνομικῶν καὶ ἀγορανομικῶν καὶ τῶν ἄλλων τῶν τοιούτων, ἀποδιδοὺς μόνον τὴν παιδείαν τοῖς φύλαξιν. ἔτι δὲ κυρίους ποιεῖ τῶν κτημάτων τοὺς γεωργοὺς ἀποφορὰν φέροντας· ἀλλὰ πολὺ μᾶλλον εἰκὸς εἶναι χαλεποὺς καὶ φρονημάτων πλήρεις ἢ τὰς παρ' ἐνίοις εἱλωτείας τε καὶ πενεστείας καὶ δουλείας.*

13. Gegenseitige Anschuldigungen aber und Rechtshändel und was er sonst an den bestehenden Staaten Uebles findet, wird insgesammt auch bei diesen stattfinden. Nun sagt doch Sokrates, dass sie nicht viele gesetzliche Einrichtungen bedürfen werden wegen ihrer Bildung, als da sind stadtpolizeiliche und handelspolizeiliche und dergleichen mehr, während er doch die Bildung alleiniglich den Wächtern zutheilt. Ferner macht er auch die Ackerbauer zu Eigenthümern ihrer Besitzungen gegen Entrichtung einer Abgabe. Nun ist es aber viel eher wahrscheinlich, dass diese schwierig und voll Einbildungen sein werden, als hier und da Heloten und Penesten und Sklaven.

14. *Ἀλλὰ γὰρ εἴτ' ἀναγκαῖα ταῦθ' ὁμοίως εἴτε μή, νῦν γ' οὐδὲν διώρισται. καὶ περὶ τῶν ἐχομένων, τίς ἥ τούτων τε πολιτεία καὶ παιδεία καὶ νόμοι τίνες. ἔστι δ' οὔθ' εὑρεῖν ῥᾴδιον, οὔτε τὸ διαφέρον μικρόν, τὸ ποιούς τινας εἶναι τούτους πρὸς τὸ σώζεσθαι τὴν τῶν φυλάκων κοινωνίαν. ἀλλὰ μὴν εἴ γε τὰς μὲν γυναῖκας ποιήσει κοινάς, τὰς δὲ κτήσεις ἰδίας, τίς οἰκονομήσει ὥσπερ τὰ ἐπὶ τῶν ἀγρῶν οἱ ἄνδρες αὐτῶν; κἂν εἰ κοιναὶ αἱ κτήσεις καὶ αἱ τῶν γεωργῶν γυναῖκες.*

14. Mögen nun diese Dinge gleich nothwendig sein oder nicht, jedenfalls ist von Sokrates darüber nichts bestimmt, ebensowenig über das, was damit zusammenhängt, welches ihre Verfassung und Erziehung, welches ihre Gesetze sein sollen. Es ist aber ebensowenig leicht, dies ausfindig zu machen, als es ein geringer Unterschied ist, wie beschaffen diese sind, wenn die Gemeinschaft mit den Wächtern erhalten werden soll. Sondern fürwahr, wenn er die Frauen gemeinsam haben will, die Besitzungen aber gesondert, wer wird dann das Hauswesen verwalten, wie die Männer ihre Feldwirthschaft? Und eine gleiche Schwierigkeit erhebt sich, wenn die Besitzthümer gemeinsam sind und die Frauen der Ackerbauer.

οὐδὲν] *ὥςτε καὶ οὐδὲν* Vet. — *ἢ καὶ καθ' ἕκαστον*] *καὶ* om. Q^b. Z. Vict. Schn. Cor. [ ] Sylb. — *τό γε πλῆθος*] „universorum civium" Vet., „diversorum civium" Thom. — *πότερον*] *πρότερον* Vet.

§. 12. *αὐτῶν; ἢ τί μαθόντες ὑπομενοῦσιν*] Sic Bkk. tacite cum Aret. Camer. Schn. Cor., sed *ὑπομένουσιν* P 1. Lips. et edd. reliquae omnes (etiam Sylb., de qua non recte retulit G.). *παθόντες* Vet. (quod maluerunt cum Sepulveda, qui in codd. antiq. invenit, Cam. Gif. (vid. Comment.) *μαθόντες* (π superscr.) P 4. — Totum vero commation usque ad *τὴν ἀρχὴν* om. P 2. — *τἆλλα ταὐτὰ*] *τἆλλα πάντα* Aret. idemque coniecit Cam., recep. Cor. et probat Schn. — *ἐφέντες*] *ἀφέντες* Q^b. T^b. U^b. Lut. Vict. Sylb. Cam.; *ἐφίεντες* Schn. vitio typogr. — *ἀπειρήκασι*] *ἀφηρήκασι* P 4. — *καὶ ταύτας ὑπεναντίας*] *ταῦτα* pro *ταύτας* B 2. 3. — *τεχνίτας*] *τεχνήτας* B 2. 3. Cfr. ad II, cp. 1. §. 18.

§. 13. *ὑπάρχειν φησὶ*] *ὑπάρχει* P 4. — *ἔτι δὲ — ποιεῖ*] *ἔστι δὲ — ποιεῖν* Duval. — *εἰκὸς*] om. U^b. — *εἱλωτείας*] *εἱλωτείας* A 2. Z. Lut. Vict. 2. Sylb. (qui tamen improbat), *εἱλωτίας* I^b. — *εἱλωτείας τε καὶ πενεστείας καὶ δουλείας*] *τε* om. G. Schn. tacite; „obsequia et humiliationes et servitutes" Vet.; pro *δουλείας* „perichias" habet Aret., unde *περιοικίας* male recep. Cor., quod coniecerat Schn.; *πενιστείας* I^b. T^b.

§. 14. *περὶ τῶν ἐχομένων*] *ἐρχομένων* U^b. — *τούτων τε πολιτεία*] *τε* om. U^b. post *πολιτεία* insertum habet B 3. — *εἴγε*] *εἴτε* Cor. — *οἱ ἄνδρες*] *οἱ* om. G. vitiose. — *κἂν εἰ κοιναὶ αἱ κτήσεις καὶ αἱ τῶν γεωργῶν γυναῖκες*] haec [ ] Bkk. tac.; eadem verba post *ἰδίας* inseruit Schn. Cor. (qui post *κτήσεις* add. *εἰσί*); post *οἰκονομήσει* ponunt Vet. Lut. Sylb. qui [ ] et Lambinus in transl. — Aret.: „ut agriculturae viri quamvis sint communes facultates et agricolarum mulieres"; Vet.: „quamvis si communes possessiones et agricolarum uxores quemadmodum quae in agris ipsarum viri". Is igitur scriptum legit *καίτοι εἰ κοιναὶ — γυναῖκες, ὥςπερ — αὐτῶν*. Schneiderus, cui ne haec quidem scriptura satisfacit nec ipsa transpositio, quamvis nitatur auctoritate vetustissima, or-

15. Ἄτοπον δὲ καὶ τὸ ἐκ τῶν θηρίων ποιεῖσθαι τὴν παραβολήν, ὅτι δεῖ τὰ αὐτὰ ἐπιτηδεύειν τὰς γυναῖκας τοῖς ἀνδράσιν, οἷς οἰκονομίας οὐδὲν μέτεστιν. ἐπισφαλὲς δὲ καὶ τοὺς ἄρχοντας ὡς καθίστησιν ὁ Σωκράτης· ἀεὶ γὰρ ποιεῖ τοὺς αὐτοὺς ἄρχοντας. τοῦτο δὲ στάσεως αἴτιον γίνεται καὶ παρὰ τοῖς μηδὲν ἀξίωμα κεκτημένοις, ἤ πού γε δὴ παρά γε θυμοειδέσι καὶ πολεμικοῖς ἀνδράσιν. ὅτι δ' ἀναγκαῖον αὐτῷ ποιεῖν τοὺς αὐτοὺς ἄρχοντας, φανερόν· οὐ γὰρ ὁτὲ μὲν ἄλλοις ὁτὲ δὲ ἄλλοις μέμικται ταῖς ψυχαῖς ὁ παρὰ τοῦ θεοῦ χρυσός, ἀλλ' ἀεὶ τοῖς αὐτοῖς. φησὶ δὲ τοῖς μὲν εὐθὺ γινομένοις μῖξαι χρυσόν, τοῖς δ' ἄργυρον, χαλκὸν δὲ καὶ σίδηρον τοῖς τεχνίταις μέλλουσιν ἔσεσθαι καὶ γεωργοῖς.

16. Ἔτι δὲ καὶ τὴν εὐδαιμονίαν ἀφαιρούμενος τῶν φυλάκων, ὅλην φησὶ δεῖν εὐδαίμονα ποιεῖν τὴν πόλιν τὸν νομοθέτην. ἀδύνατον δὲ εὐδαιμονεῖν ὅλην, μὴ τῶν πλείστων ἢ μὴ πάντων μερῶν ἢ τινῶν ἐχόντων τὴν εὐδαιμονίαν. οὐ γὰρ τῶν αὐτῶν τὸ εὐδαιμονεῖν ὥνπερ τὸ ἄρτιον· τοῦτο μὲν γὰρ ἐνδέχεται τῷ ὅλῳ ὑπάρχειν, τῶν δὲ μερῶν μηδετέρῳ, τὸ δὲ εὐδαιμονεῖν ἀδύνατον. ἀλλὰ μὴν εἰ οἱ φύλακες μὴ εὐδαίμονες, τίνες ἕτεροι; οὐ γὰρ δὴ οἵ γε τεχνῖται καὶ τὸ πλῆθος τὸ τῶν βαναύσων. ἡ μὲν οὖν πολιτεία περὶ ἧς ὁ Σωκράτης εἴρηκεν, ταύτας τε τὰς ἀπορίας ἔχει καὶ τούτων οὐκ ἐλάττους ἑτέρας.

15. Unpassend ist es ferner auch, aus der Vergleichung mit den Thieren zu folgern, dass die Frauen dieselben Verrichtungen hätten als die Männer, da bei denselben doch gar kein Hauswesen stattfindet. Bedenklich ist es auch, wie Sokrates die Obrigkeit anordnet. Immer lässt er nämlich dieselben regieren; dies aber wird Ursache zum Aufstand selbst bei denen, die gar kein Selbstgefühl besitzen, geschweige denn bei kühngesinnten und kriegerischen Männern. Dass er aber nothgedrungen ein und dieselben herrschen lassen muss, ist einleuchtend. Denn nicht abwechselnd bald dieser bald jener Seele ist „das von Gott stammende Gold" beigemischt, sondern immer ein und derselben. Auch lässt er den einen gleich bei der Geburt Gold zumischen, den andern Silber; Erz aber und Eisen denen, die Künstler werden sollen und Ackerbauer.

16. Weiter aber, während er die Glückseligkeit der Wächter aufhebt, sagt er doch: den ganzen Staat müsse der Gesetzgeber glücklich machen. Es ist aber unmöglich, dass das Ganze glücklich sei, sobald nicht die meisten, oder vielmehr sobald nicht alle Theile, oder wenn nur einige die Glückseligkeit haben. Denn mit dem Glücklichsein ist es nicht wie mit dem Graden. Denn dies freilich kann dem Ganzen zukommen und doch keinem von den Theilen; das Glücklichsein aber unmöglich. Aber fürwahr, wenn die Wächter nicht glückselig sind, wer sonst? doch wohl nicht die Künstler und die Masse der niedern Handwerker? Die Staatsverfassung also, welche Sokrates aufstellt, hat diese Bedenklichkeiten, und ausserdem noch andere nicht geringere. —

CAP. III.

Cap. 6. Bkk. Σχεδὸν δὲ παραπλησίως καὶ περὶ τοὺς Νόμους ἔχει τοὺς ὕστερον γραφέντας· διὸ καὶ περὶ τῆς ἐνταῦθα πολιτείας ἐπισκέψασθαι μικρὰ βέλτιον. καὶ γὰρ ἐν τῇ πολιτείᾳ περὶ ὀλίγων πάμπαν διώρικεν ὁ Σωκράτης, περί τε γυναικῶν καὶ τέκνων κοινωνίας, πῶς ἔχειν δεῖ, καὶ περὶ κτήσεως, καὶ τῆς πολιτείας τὴν τάξιν. διαιρεῖται γὰρ εἰς δύο μέρη τὸ πλῆθος τῶν οἰκούντων, τὸ μὲν εἰς τοὺς γεωργούς, τὸ δὲ εἰς τὸ προπολεμοῦν μέρος· τρίτον δ' ἐκ τούτων τὸ βουλευόμενον καὶ κύριον τῆς πόλεως. περὶ δὲ τῶν γεωργῶν καὶ τῶν τεχνιτῶν, πότερον οὐδεμιᾶς ἢ μετέχουσί τινος ἀρχῆς, καὶ πότερον ὅπλα δεῖ κεκτῆσθαι καὶ τούτους καὶ συμπολεμεῖν ἢ μή, περὶ τούτων οὐδὲν διώρικεν ὁ Σωκράτης, ἀλλὰ τὰς μὲν γυναῖκας οἴεται δεῖν συμπολεμεῖν καὶ παιδείας μετέχειν τῆς αὐτῆς τοῖς φύλαξιν, τὰ δ' ἄλλα τοῖς ἔξωθεν λόγοις πεπλήρωκε τὸν λόγον καὶ περὶ τῆς παιδείας, ποίαν τινὰ δεῖ γίνεσθαι τῶν φυλάκων.

Kap. III.

1. Fast ähnlich aber verhält sich's auch mit den später geschriebenen Gesetzen. Weshalb es besser, auch die dort gegebene Staatsverfassung ein wenig in's Auge zu fassen. Auch hat in der Politeia Sokrates im Ganzen nur über Weniges Bestimmungen gegeben, nämlich über die Gemeinschaft der Weiber und Kinder, wie sie stattfinden müsse, und über den Besitz, und über die Verfassung in Hinsicht der Einrichtung. Es zerfällt nämlich die grosse Masse der Bewohner in zwei Klassen, in die Ackerbauer und in die beschützende Klasse; eine dritte aber aus diesen ist die berathende und den Staat beherrschende. Ueber die Ackerbauer aber und die Künstler, ob sie keinen oder ob sie einigen Antheil an der Regierung haben, und ob auch sie Waffen besitzen und mitkämpfen dürfen oder nicht, darüber hat Sokrates nichts bestimmt; sondern die Frauen zwar, meint er, müssten mitkämpfen und dieselbe Erziehung wie die Wächter erhalten, übrigens aber hat er mit Reden über Nebendinge die Untersuchung ausgefüllt, und über die Erziehung, von welcher Art sie bei den Wächtern sein müsse.

---

dine vulgari servato membrum illud postremum καὶ αἱ τῶν γεωργῶν γυναῖκες abesse mavult. „Verba κἂν εἰ κοιναὶ κτλ. sic intelligenda sunt: καὶ τὸ αὐτὸ ἀπορήσειεν ἄν τις (scil. τίς οἰκονομήσει αὐτῶν) εἰ κοιναὶ αἱ κτήσεις καὶ αἱ τῶν γεωργῶν γυναῖκές εἰσιν" GOETTL.

§. 15. ἤ πού γε δὴ παρά γε] ἤπουθεν δὴ παρά γε Ib. Tb. Ub. P 1. 2. 3. A 1. 2. B 2. B 3. ἤ πού γε δὴ π. γ. prim. Lut. Vict. 2. Sylb. Schn. Cor. (qui tantum γε post παρὰ in τε mutavit). ἤ που δῆθεν παρά γε recep. G. de coniectura, sed vid. Comment. — Vet. „si aliunde utique apud animosos" (εἴπουθεν δή). — ὁτὲ μὲν] ὅτε B 2. 3. — παρὰ τοῦ θεοῦ] περὶ Tb. — μῖξαι χρυσὸν] μίξαι G. Schn. Cor. et edd. vett.; χρηστὸν pro χρυσὸν Ub.

§. 16. ἀφαιρούμενος] ἀφ. μενος (sic) Ub. — ἢ μὴ πάντων] εἰ μὴ Vict. 2. Schn. Cor. — οὐ γὰρ] οὖ γὰρ Ub. — ὥνπερ] ὥςπερ Schn. G., nescio qua auctoritate. ὥνπερ suprascr. ὥςπερ P 2. ὥςπερ (ὧν superscr.) Ib. — ὥςπερ P 1. In Adnotat. Göttling. ὥνπερ scribendum esse censet.

Cap. III. §. 1. καὶ περὶ τοὺς Νόμους] καὶ τὰ π. τ. Ν. P 1. Vet. probat Schn. Cor. non male! — ὀλίγων] ὀλίγου A 1. — διώρικεν] διώρισεν A 2. — καὶ τέκνων κοινωνίας] καὶ τέκνων καὶ κοινωνίας Qb. Tb. Ub. A 1. 2. B 1. 2. 3. — πῶς ἔχειν δεῖ] om. Aret. Sepulv. — καὶ τῆς πολιτείας τὴν τάξιν] καὶ τῆς πολ. τῆς τάξεως Vet. — τὸ προπολεμοῦν] τὸ πρὸς τὸν πόλεμον Vet. — τρίτον δ' ἐκ] τρίτων B 3., quod non temere spernendum est. — πεπλήρωκε τὸν λόγον] τὸν λόγον om. Vet. — δεῖ γίνεσθαι] δεῖ γινώσκεσθαι Ib. P 2.

2. *Τῶν δὲ Νόμων τὸ μὲν πλεῖστον μέρος νόμοι τυγχάνουσιν ὄντες, ὀλίγα δὲ περὶ τῆς πολιτείας εἴρηκεν. καὶ ταύτην βουλόμενος κοινοτέραν ποιεῖν ταῖς πόλεσι, κατὰ μικρὸν περιάγει πάλιν πρὸς τὴν ἑτέραν πολιτείαν. ἔξω γὰρ τῆς τῶν γυναικῶν κοινωνίας καὶ τῆς κτήσεως, τὰ ἄλλα ταὐτὰ ἀποδίδωσιν ἀμφοτέραις ταῖς πολιτείαις· καὶ γὰρ παιδείαν τὴν αὐτήν, καὶ τὸ τῶν ἔργων τῶν ἀναγκαίων ἀπεχομένους ζῆν, καὶ περὶ συσσιτίων ὡσαύτως· πλὴν ἐν ταύτῃ φησὶ δεῖν εἶναι συσσίτια καὶ γυναικῶν, καὶ τὴν μὲν χιλίων τῶν ὅπλα κεκτημένων, ταύτην δὲ πεντακισχιλίων.*

2. Die Gesetze sind dem grössten Theil nach wirklich Gesetze; nur Weniges dagegen hat er über die Staatsverfassung gesagt; und während er diese für die bestehenden Staaten allgemeingültiger machen will, führt er sie unvermerkt wieder zu jener ersten Verfassung zurück. Denn ausgenommen die Weiber- und Gütergemeinschaft ertheilt er im Uebrigen beiden Verfassungen ganz dieselben Einrichtungen; nämlich sowohl dieselbe Erziehung, als auch das von allen nothwendigen Arbeiten Entferntleben, und die Syssitieneinrichtungen auf dieselbe Weise. Nur dass er sagt, in dieser müssten auch Syssitien der Weiber sein, und dass er jener tausend Waffenführende giebt, dieser dagegen fünftausend.

3. *Τὸ μὲν οὖν περιττὸν ἔχουσι πάντες οἱ τοῦ Σωκράτους λόγοι καὶ τὸ κομψὸν καὶ τὸ καινοτόμον καὶ τὸ ζητητικόν, καλῶς δὲ πάντα ἴσως χαλεπόν. Ἐπεὶ καὶ τὸ νῦν εἰρημένον πλῆθος δεῖ μὴ λανθάνειν ὅτι χώρας δεήσει τοῖς τοσούτοις Βαβυλωνίας ἢ τινος ἄλλης ἀπεράντου τὸ πλῆθος, ἐξ ἧς ἀργοὶ πεντακισχίλιοι θρέψονται, καὶ περὶ τούτους γυναικῶν καὶ θεραπόντων ἕτερος ὄχλος πολλαπλάσιος. δεῖ μὲν οὖν ὑποτίθεσθαι κατ' εὐχήν, μηδὲν μέντοι ἀδύνατον.*

3. Allerdings tragen die Reden des Sokrates insgesammt das Gepräge des Ausserordentlichen, des künstlerisch Feinen, des Originellen und Tiefforschenden; Richtigkeit aber in Allem ist wohl zu viel verlangt. So darf denn auch bei der eben angegebnen Menge nicht unbemerkt bleiben, dass für soviel Menschen ein Stadtgebiet, wie das von Babylon oder sonst einer unermesslichen Stadt erforderlich sein wird, wovon fünftausend Müssiggänger, und für sie noch ein anderer vielfältiger Schwarm von Weibern und Dienern, ernährt werden sollen. Günstige Voraussetzungen muss man sich freilich erlauben dürfen, nur aber nichts Unmögliches.

4. *Λέγεται δ' ὡς δεῖ τὸν νομοθέτην πρὸς δύο βλέποντα τιθέναι τοὺς νόμους, πρός τε τὴν χώραν καὶ τοὺς ἀνθρώπους. ἔτι δὲ καλῶς ἔχει προσθεῖναι καὶ πρὸς τοὺς γειτνιῶντας τόπους, εἰ δεῖ τὴν πόλιν ζῆν βίον πολιτικόν· οὐ γὰρ μόνον ἀναγκαῖόν ἐστιν, αὐτὴν τοιούτοις χρῆσθαι πρὸς τὸν πόλεμον ὅπλοις, ἃ χρήσιμα κατὰ τὴν οἰκείαν χώραν ἐστίν, ἀλλὰ καὶ πρὸς τοὺς ἔξω τόπους. εἰ δέ τις μὴ τοιοῦτον ἀποδέχεται βίον, μήτε τὸν ἴδιον μήτε τὸν κοινὸν τῆς πόλεως, ὅμως οὐδὲν ἧττον δεῖ φοβεροὺς εἶναι τοῖς πολεμίοις, μὴ μόνον ἐλθοῦσιν εἰς τὴν χώραν, ἀλλὰ καὶ ἀπελθοῦσιν.*

4. Es heisst aber, dass der Gesetzgeber mit Rücksicht auf zwei Dinge seine Gesetze geben muss: auf das Land und auf die Menschen; es ist aber auch wohl gut noch hinzuzusetzen: auch auf die benachbarten Orte, sofern die Stadt ein politisches Leben führen soll. Denn es ist nicht allein nothwendig, dass sie solche Waffen im Kriege brauche, welche für die eigne Gegend, sondern welche auch in Bezug auf die auswärtigen Oertlichkeiten nützlich sind. Und gesetzt, Jemand wollte ein solches Leben weder für den Einzelnen noch für den Staat im Ganzen billigen, so müssen doch nichtsdestoweniger die Bürger den Feinden furchtbar sein, nicht nur wenn diese in's Land einfallen, sondern auch wenn sie sich über die Gränzen zurückziehen.

5. *Καὶ τὸ πλῆθος δὲ τῆς κτήσεως ὁρᾶν δεῖ, μήποτε βέλτιον ἑτέρως διορίσαι τῷ σαφῶς μᾶλλον· τοσαύτην γὰρ εἶναί φησι δεῖν, ὥστε ζῆν σωφρόνως, ὥσπερ ἂν εἴ τις εἶπεν, ὥστε ζῆν εὖ· τοῦτο γάρ ἐστι καθόλου μᾶλλον. ἔτι δ' ἔστι σωφρόνως μὲν ταλαιπώρως δὲ ζῆν. ἀλλὰ βελτίων ὅρος τὸ σωφρόνως καὶ ἐλευθερίως (χωρὶς γὰρ ἑκάτερον τὸ μὲν τῷ τρυφᾶν ἀκολουθήσει, τὸ δὲ τῷ ἐπιπόνως), ἐπεὶ μόναι γ' εἰσὶν ἕξεις ἀρεταὶ περὶ τὴν τῆς οὐσίας χρῆσιν αὗται, οἷον οὐσίᾳ πράως ἢ ἀνδρείως χρῆσθαι οὐκ ἔστιν, σωφρόνως δὲ καὶ ἐλευθερίως ἔστιν, ὥστε καὶ τὰς χρήσεις ἀναγκαῖον περὶ αὐτὴν εἶναι ταύτας.*

5. Auch hinsichtlich der Menge des Besitzes ist zu beachten, ob es nicht besser ist, dieselbe anders zu bestimmen, das heisst genauer. So gross nämlich, sagt er, müsse er sein, dass sie mässig leben könnten; grade wie wenn Einer sagte: dass sie gut. Denn das ist noch allgemeiner. Auch kann man ja mässig und dabei doch elend und armselig leben. Eine bessere Bestimmung dagegen wäre: mässig und anständig (jedes nämlich für sich genommen, wird das eine Folge des Wohllebens, das andere des mühselig Lebens sein), denn dies sind für den Gebrauch des Vermögens die allein aufzufindenden Tugenden; z. B. sein Vermögen sanftmüthig oder tapfer verwenden kann man nicht, wohl aber mässig und anständig, so dass also nothwendig die eben genannten Benutzungsweisen sich auf dasselbe beziehen müssen.

---

§. 2. πρὸς τὴν ἑτέραν] εἰς τὴν ἑτέρ. P 1. — ταὐτὰ ἀποδίδωσιν] δίδωσιν U^{b}. A 1. 2. B 2. 3. G. (qui tamen in Adnot. nostram probat scripturam). — τῶν ἀναγκαίων] om. I^{b}. P 2. — τῶν ὅπλα] articulum τὰ post τῶν add. Schn. G. tacite.

§. 3. καὶ τὸ ζητητικὸν] articulum τὸ om. P 1. „et commode abesse potest". Göttl. — καὶ περὶ τούτους] Sic Bkk. tacite, itemque P 1. (in quo tamen suprascriptum est παρά) P 2. 3. Lips. A 1. 2. B 2. B 3. Vulgo καὶ παρὰ τούτους quod ex Vict. 2. Lut. transiit in Sylb. Schn. Cor. G. — ὑποτίθεσθαι] ὑποθέσθαι Schn. Cor. temere. — μηδὲν μέντοι] μηδὲν om. Q^{b}. μὴ pro μηδὲν est in P 1.

§. 4. λέγεται δ' ὡς] δὲ ὡς Vict. 2. Schn. Cor. G. Hoc loco ut saepius Bekkerus non servavit eam legem, quam sibi praescripsisse videtur, cum fere semper sequente aspir. non utatur elisione. — καλῶς ἔχει προσθεῖναι] Sic Bkk. tacite Vict. 2. Lut. Sylb. Schn. Cor. P 1. (prob. G.), προστεθῆναι G. (quod in nullo exemplari est, nam de A 2. et B 3. non recte retulerunt Sylb. et Göttl.), προστεθεῖναι A 1. B 2. 3., πρός τε θεῖναι, disiunctis vocibus, A 2. — τόπους, εἰ δεῖ τὴν πόλιν] τόπους, πρῶτον μὲν εἰ δεῖ τ. π. P 4. Vet., quorum alias rarissimus est consensus. — βίον πολιτικὸν] μὴ μονωτικὸν add. P 1. 4. Vet. („politicum et non monasticum"), quae scriptura Göttlingio glossema esse videtur ad πολιτικόν. Ceterum pro πολιτικὸν Muret. maluit πολεμικόν, Montecat. ὁπλιτικόν.

§. 5. διορίσαι τῷ] διορίσαιτο B 3. — ἂν εἴ τις εἶπεν] ἂν εἴη τις εἰπεῖν B 3. — τὸ δὲ τῷ] τὸ pro τῷ T^{b}, U^{b}. — ἀρεταὶ] sic I^{b}. Q^{b}. T^{b}. Lips. A 1. 2. B 2. 3. P 1. 2. 3. G., αἱρεταὶ Vict. Sylb. Lut. Schn. Bkk.; Vet.: „soli hi habitus circa magnitudinem substantiae"; Thom. „soli ii habitus sunt virtutis circa habitudines substantiae". Cor. vocem αἱρεταὶ asteriscis seclusit, iudicium Schneideri secutus, qui αἱρεταί, natum ex ἀρεταί, hoc autem interpretamentum vocis ἕξεις existimat. — πράως ἢ] πράως μὲν ἢ P 1. — οὐκ ἔστιν] ἔστι edd. ante Bkk., οὐκέτι habet U^{b}. — σωφρόνως] σώφρονος T^{b}. — ἀναγκαῖον περὶ αὐτὴν εἶναι

6. Ἄτοπον δὲ καὶ τὸ τὰς κτήσεις ἰσάζοντα τὸ περὶ τὸ πλῆθος τῶν πολιτῶν μὴ κατασκευάζειν, ἀλλ' ἀφεῖναι τὴν τεκνοποιίαν ἀόριστον, ὡς ἱκανῶς ἂν ὁμαλισθησομένην εἰς τὸ αὐτὸ πλῆθος διὰ τὰς ἀτεκνίας ὁσωνοῦν γεννωμένων, ὅτι δοκεῖ τοῦτο καὶ νῦν συμβαίνειν περὶ τὰς πόλεις. δεῖ δὲ τοῦτ' οὐχ ὁμοίως ἀκριβῶς ἔχειν περὶ τὰς πόλεις τότε καὶ νῦν· νῦν μὲν γὰρ οὐδεὶς ἀπορεῖ διὰ τὸ μερίζεσθαι τὰς οὐσίας εἰς ὁποσονοῦν πλῆθος, τότε δ' ἀδιαιρέτων οὐσῶν ἀνάγκη τοὺς παράζυγας μηδὲν ἔχειν, ἐάν τ' ἐλάττους ὦσι τὸ πλῆθος ἐάν τε πλείους.

7. Μᾶλλον δὲ δεῖν ὑπολάβοι τις ἂν ὡρίσθαι τῆς οὐσίας τὴν τεκνοποιίαν, ὥστε ἀριθμοῦ τινὸς μὴ πλείονα γεννᾶν· τοῦτο δὲ τιθέναι τὸ πλῆθος ἀποβλέποντα πρὸς τὰς τύχας, ἂν συμβαίνῃ τελευτᾶν τινὰς τῶν γεννηθέντων, καὶ πρὸς τὴν τῶν ἄλλων ἀτεκνίαν. τὸ δ' ἀφεῖσθαι, καθάπερ ἐν ταῖς πλείσταις πόλεσι, πενίας ἀναγκαῖον αἴτιον γίνεσθαι τοῖς πολίταις, ἡ δὲ πενία στάσιν ἐμποιεῖ καὶ κακουργίαν. Φείδων μὲν οὖν ὁ Κορίνθιος, ὢν νομοθέτης τῶν ἀρχαιοτάτων, τοὺς οἴκους ἴσους ᾠήθη δεῖν διαμένειν καὶ τὸ πλῆθος τῶν πολιτῶν, καὶ εἰ τὸ πρῶτον τοὺς κλήρους ἀνίσους εἶχον πάντες κατὰ μέγεθος· ἐν δὲ τοῖς Νόμοις τούτοις τοὐναντίον ἐστίν. ἀλλὰ περὶ μὲν τούτων πῶς οἰόμεθα βέλτιον ἂν ἔχειν, λεκτέον ὕστερον.

8. Ἐλλέλειπται δὲ τοῖς Νόμοις τούτοις καὶ τὰ περὶ τοὺς ἄρχοντας, ὅπως ἔσονται διαφέροντες τῶν ἀρχομένων· φησὶ γὰρ δεῖν, ὥσπερ ἐξ ἑτέρου τὸ στημόνιον ἐρίου γίνεται τῆς κρόκης, οὕτω καὶ τοὺς ἄρχοντας ἔχειν δεῖν πρὸς τοὺς ἀρχομένους. ἐπεὶ δὲ τὴν πᾶσαν οὐσίαν ἐφίησι γίνεσθαι μείζονα μέχρι πενταπλασίας, διὰ τί τοῦτ' οὐκ ἂν εἴη ἐπὶ τῆς γῆς μέχρι τινός; καὶ τὴν τῶν οἰκοπέδων δὲ διαίρεσιν δεῖ σκοπεῖν, μή ποτ' οὐ συμφέρει πρὸς οἰκονομίαν· δύο γὰρ οἰκόπεδα ἑκάστῳ ἔνειμε διελὼν χωρίς, χαλεπὸν δὲ οἰκίας δύο οἰκεῖν.

9. Ἡ δὲ σύνταξις ὅλη βούλεται μὲν εἶναι μήτε δημοκρατία μήτε ὀλιγαρχία, μέση δὲ τούτων, ἣν καλοῦσι πολιτείαν· ἐκ γὰρ τῶν ὁπλιτευόντων ἐστίν. εἰ μὲν οὖν ὡς κοινοτάτην ταύτην κατασκευάζει ταῖς πόλεσι τῶν ἄλλων πολιτείαν, καλῶς εἴρηκεν ἴσως, εἰ δ' ὡς ἀρίστην μετὰ τὴν πρώτην πολιτείαν, οὐ καλῶς· τάχα γὰρ τὴν τῶν Λακώνων ἄν τις ἐπαινέσειε μᾶλλον, ἢ κἂν ἄλλην τινὰ ἀριστοκρατικωτέραν.

10. Ἔνιοι μὲν οὖν λέγουσιν ὡς δεῖ τὴν ἀρίστην πολιτείαν ἐξ ἁπασῶν εἶναι τῶν πολιτειῶν μεμιγμένην, διὸ καὶ τὴν τῶν Λακεδαιμονίων ἐπαινοῦσιν· εἶναι γὰρ αὐτὴν οἱ μὲν ἐξ ὀλιγαρχίας καὶ μοναρχίας καὶ δημοκρατίας φασίν, λέγοντες τὴν

6. Befremdlich ferner ist es, während man die Besitzungen gleich macht, über die Menge der Bürger nichts festzusetzen, sondern die Kindererzeugung unbeschränkt zu lassen, weil ja diese sich hinreichend auf dieselbe Menge hin durch die vorkommenden Fälle von Kinderlosigkeit ausgleichen werde, wenn auch (von Andern) noch so viele geboren würden, indem ja dies auch jetzt in den Staaten der Fall sei. Aber die Genauigkeit der Bestimmung hierüber wird eine andere sein in jenen (Platonischen) Staaten, als in denen, wie sie jetzt bestehn. Denn jetzt leidet Niemand Noth, weil das Vermögen unter eine beliebig grosse Menge getheilt werden kann. Dort aber, wo es untheilbar ist, werden die Ueberzähligen nothwendig nichts haben, mögen sie nun gross oder gering an Zahl sein.

7. Es könnte also füglich Jemand behaupten: eher als das Vermögen müsse die Kindererzeugung Bestimmungen erhalten, so dass nicht mehr als eine gewisse Anzahl geboren würden; die Menge aber müsse man festsetzen, indem man auf Schicksalsfälle Rücksicht nehme, sofern es sich ereigne, dass einige der Gebornen sterben, und auf die Kinderlosigkeit der Andern. Die Erzeugung aber freigeben, wie es in den meisten Staaten geschieht, werde nothwendig Ursache zur Verarmung der Bürger. So meinte denn auch Pheidon der Korinthier, der doch einer der ältesten Gesetzgeber ist, die Familien müssten fortwährend gleich bleiben sowie die Menge der Bürger, wenn auch von vorn herein alle an Grösse ungleiche Vermögens-Loose hätten. In diesen Gesetzen aber ist's ganz das Gegentheil. Indess hiervon, wie wir meinen, dass dies besser einzurichten sei, soll weiter unten geredet werden.

8. Mangelhaft sind aber diese Gesetze auch hinsichtlich der Herrschenden, wie sie sich von den Beherrschten unterscheiden werden. Er sagt nämlich: es müsse, wie aus andrer Wolle der Aufzug ist als der Einschlag, so also müssten sich auch die Herrscher verhalten zu den Beherrschten. Da er aber das gesammte Vermögen zu vermehren verstattet bis zum Fünffachen, warum soll das nicht bei'm Acker bis zu einem gewissen Masse gelten? Auch hinsichtlich der Vertheilung der Feuerstellen ist zu besorgen, dass dieselbe für die Hausverwaltung nicht zuträglich sein möge. Jedem nämlich hat er zwei abgesonderte Feuerstellen angewiesen; und doch ist es schwer, zwei Wirthschaften zu führen.

9. Die ganze Verfassung aber will zwar weder Demokratie nach Oligarchie sein, sondern eine inmitten beider stehende, die man vorzugsweise Verfassung nennt; denn sie besteht aus den Waffenführenden. Wenn er also diese als die unter allen für die Staaten am allgemeinsten passende Verfassung darstellt, so hat er vielleicht richtig geredet, wenn aber als die beste zunächst nach jener ersten Staatsverfassung, nicht richtig. Denn leicht möchte Einer die der Lakonen mehr loben, oder sonst eine andere mehr aristokratische.

10. Einige nun sagen, es müsse die beste Verfassung aus allen Verfassungen insgesammt gemischt sein; deshalb loben sie auch die der Lakedaimonier; denn sie bestehe, sagen die einen, aus Oligarchie, Monarchie und Demokratie, wobei sie in dem Königthum die Monarchie, in der Herrschaft der Geronten die Oligarchie,

---

ταύτας] ἀναγκ. εἶναι περὶ αὐτὴν ταύτας P 1.; pro ταύτας Cor. mavult τοιαύτας, vel τὰς αὐτάς.

§. 6. ὁσωνοῦν] ὁποσονοῦν U^b., ὅσων νοῦν T^b. — γεννωμένων] γενομένων Lut. — εἰς ὁποσονοῦν] εἰς τὸ ὁπ. addito articulo Lut. [τὸ] Sylb. — παράζυγας] „deiectos" Vet., παράζυγας P 1. sed suprascript. περί.

§. 7. τῶν ἀρχαιοτάτων] „antiquorum" Vet. — τοὐναντίον ἐστὶν] ἐστὶ B 2. 3. — πῶς οἰόμεθα βέλτιον ἂν ἔχειν] πῶς ἂν οἰόμ. β. ἔχειν Vet. bene!

§. 8. Ἐλλέλειπται] „derelictum" Vet., „omissum est" Aret. — φησὶ γὰρ δεῖν] δὴ pro δεῖν Cor. — στημόνιον] „filatum" Vet., „filum" Aret. — ἔχειν δεῖν] ἔχειν δεῖ T^b. Vict. 2. Z. — τὴν τῶν οἰκοπέδων] τῶν om. U^b. — συμφέρει] sic P 1. L. A 1. 2. B 2. 3. G. συμφέρῃ I^b. P 2. 3. συμφέρῃ Lut. Vict. 2. Sylb. reliqui, Bkk. Vide Comm. ad II, cp. 2, §. 6.

§. 9. ὁπλιτευόντων ἐστὶν] πολιτευόντων B 3., ut est in marg. B 1. 2., ἐστὶ B 2. 3. — τῶν ἄλλων πολιτείαν] τῶν ἄλλων πολιτειῶν Vet. Schn. Cor.

§. 10. τῶν πολιτειῶν] τῶν πολιτῶν T^b. — τῶν Λακεδαιμονίων] τῶν om. P 1. —

μὲν βασιλείαν μοναρχίαν, τὴν δὲ τῶν γερόντων ἀρχὴν ὀλιγαρχίαν, δημοκρατεῖσθαι δὲ κατὰ τὴν τῶν ἐφόρων ἀρχὴν διὰ τὸ ἐκ τοῦ δήμου εἶναι τοὺς ἐφόρους· οἱ δὲ τὴν μὲν ἐφορείαν εἶναι τυραννίδα, δημοκρατεῖσθαι δὲ κατά τε τὰ συσσίτια καὶ τὸν ἄλλον βίον τὸν καθ' ἡμέραν.

11. Ἐν δὲ τοῖς Νόμοις εἴρηται τούτοις ὡς δέον συγκεῖσθαι τὴν ἀρίστην πολιτείαν ἐκ δημοκρατίας καὶ τυραννίδος, ἃς ἢ τὸ παράπαν οὐκ ἄν τις θείη πολιτείας ἢ χειρίστας πασῶν. βέλτιον οὖν λέγουσιν οἱ πλείους μιγνύντες· ἡ γὰρ ἐκ πλειόνων συγκειμένη πολιτεία βελτίων. ἔπειτ' οὐδ' ἔχουσα φαίνεται μοναρχικὸν οὐδέν, ἀλλ' ὀλιγαρχικὰ καὶ δημοκρατικά· μᾶλλον δ' ἐγκλίνειν βούλεται πρὸς τὴν ὀλιγαρχίαν. δῆλον δ' ἐκ τῆς τῶν ἀρχόντων καταστάσεως· τὸ μὲν γὰρ ἐξ αἱρετῶν κληρωτοὺς κοινὸν ἀμφοῖν, τὸ δὲ τοῖς μὲν εὐπορωτέροις ἐπάναγκες ἐκκλησιάζειν εἶναι καὶ φέρειν ἄρχοντας ἤ τι ποιεῖν ἄλλο τῶν πολιτικῶν, τοὺς δ' ἀφεῖσθαι, τοῦτο δ' ὀλιγαρχικόν· καὶ τὸ πειρᾶσθαι πλείους ἐκ τῶν εὐπόρων εἶναι τοὺς ἄρχοντας, καὶ τὰς μεγίστας ἐκ τῶν μεγίστων τιμημάτων.

12. Ὀλιγαρχικὴν δὲ ποιεῖ καὶ τὴν τῆς βουλῆς αἵρεσιν· αἱροῦνται μὲν γὰρ πάντες ἐπάναγκες, ἀλλ' ἐκ τοῦ πρώτου τιμήματος, εἶτα πάλιν ἴσους ἐκ τοῦ δευτέρου, εἶτ' ἐκ τῶν τρίτων. πλὴν οὐ πᾶσιν ἐπάναγκες, πλὴν τοῖς ἐκ τῶν τριῶν [ἢ τετάρτων]· ἐκ δὲ τοῦ τετάρτου τῶν τεττάρων μόνοις ἐπάναγκες τοῖς πρώτοις καὶ τοῖς δευτέροις. εἶτ' ἐκ τούτων ἴσον ἀφ' ἑκάστου τιμήματος ἀποδεῖξαί φησι δεῖν ἀριθμόν. ἔσονται δὴ πλείους οἱ ἐκ τῶν μεγίστων τιμημάτων καὶ βελτίους διὰ τὸ ἐνίους μὴ αἱρεῖσθαι τῶν δημοτικῶν διὰ το μὴ ἐπάναγκες.

13. Ὡς μὲν οὖν οὐκ ἐκ δημοκρατίας καὶ μοναρχίας δεῖ συνιστάναι τὴν τοιαύτην πολιτείαν, ἐκ τούτων φανερὸν καὶ τῶν ὕστερον ῥηθησομένων, ὅταν ἐπιβάλλῃ περὶ τῆς τοιαύτης πολιτείας ἡ σκέψις· ἔχει δὲ καὶ περὶ τὴν αἵρεσιν τῶν ἀρχόντων τὸ ἐξ αἱρετῶν αἱρετοὺς ἐπικίνδυνον· εἰ γάρ τινες συστῆναι θέλουσι καὶ μέτριοι τὸ πλῆθος, ἀεὶ κατὰ τὴν τούτων αἱρεθήσονται βούλησιν. τὰ μὲν οὖν περὶ τὴν πολιτείαν τὴν ἐν τοῖς Νόμοις τοῦτον ἔχει τὸν τρόπον.

CAP. IV.

Cap. 7. Bkk. Εἰσὶ δέ τινες πολιτεῖαι καὶ ἄλλαι, αἱ μὲν ἰδιωτῶν αἱ δὲ φιλοσόφων καὶ πολιτικῶν, πᾶσαι δὲ

das demokratische Element aber in der Herrschaft der Ephoren finden, weil die Ephoren aus dem Volke erwählt werden. Die andern dagegen betrachten die Ephorie als Tyrannis, als demokratisches Element aber die Syssitien und die übrigen Einrichtungen für das tägliche Leben.

11. In diesen **Gesetzen** heisst es aber, es müsse die beste Verfassung aus Demokratie und Tyrannis zusammengesetzt sein, welche man doch entweder ganz und gar nicht für Verfassungen halten sollte, oder für die schlechtesten von allen. Besser reden dagegen diejenigen, welche mehrere zusammenmischen, denn die aus mehreren zusammengesetzte Verfassung ist die bessere. Ferner hat sie (die Plat. Verf.) offenbar gar nichts Monarchisches, sondern vielmehr oligarchische und demokratische Elemente; mehr aber will sie zur Oligarchie hinneigen. Dies erhellt aus der Anordnung der Magistraten; denn dass unter Gewählten das Loos entscheidet, ist beiden gemein; dass aber auf den Wohlhabenderen der Zwang lastet, den Versammlungen beizuwohnen und Magistraten zu wählen und andere Staatsgeschäfte zu verrichten, während die andern davon befreit sind, das ist oligarchisch; ingleichen das Streben, die meisten Magistraten aus den Wohlhabenden, und für die wichtigsten die von der höchsten Schatzung zu nehmen.

12. Oligarchisch richtet er ferner auch die Wahl des Raths ein. Es sind nämlich zwar Alle zum Wählen verpflichtet, aber nur aus der ersten Klasse; sodann wählen sie wieder eine gleiche Anzahl aus der zweiten Klasse, sodann aus der dritten Klasse — nur dass hier nicht Alle zum Wählen verpflichtet sind, sondern nur die aus den drei ersten; zur Wahl aus der vierten Klasse aber sind von den vier Klassen nur die Mitglieder der ersten und zweiten verpflichtet. Endlich heisst er aus allen diesen eine gleiche Anzahl aus jeder Klasse ernennen. Da werden denn offenbar die Wähler aus den höchsten Schatzungsklassen zahlreicher und besser sein, weil einige der niedern Klassen nicht wählen, weil sie nicht dazu verpflichtet sind.

13. Dass nun also die so beschaffene Verfassung nicht aus Demokratie und Monarchie bestehen darf, ist aus diesem augenscheinlich, und aus dem, was noch gesagt werden wird, wenn auf diese Art von Verfassung die Untersuchung gekommen sein wird. Es hat aber auch bei der Wahl der Magistraten das Auswählen aus Erwählten Gefahr. Denn wenn da einige auch nur in mässiger Anzahl zusammentreten wollen, so werden die Wahlen immer nach deren Willen ausfallen. So verhält es sich also mit der Verfassung in den **Gesetzen**.

Kap. IV.

1. Es giebt aber auch noch einige andere Entwürfe zu Staatsverfassungen, theils von Privatmännern, theils

---

§. 10. τῶν ἐφόρων] τῶν om. P 1. — ἐφορείαν] Sic P 1. 3. Ib. B 2. 3. G. Bkk., ἐφορίαν reliqui MSS. et Edd. male!

§. 11. ἐν δὲ] εἰ δὲ Ub. — ὡς δέον] ὡς δέοι Schn. Cor. pessime! — τὸ παράπαν] τοπαράπαν uno vocabulo Göttling. — χειρίστας] χειρίστους Ib. — ἔπειτ' οὐδ'] ἔπειτα οὐδὲ plene P 1. — ἤ τι ποιεῖν] ἤτοι π. Lut. Vict. 2. Schn. Cor.

§. 12. αἱροῦνται μὲν γὰρ] δὲ pro μὲν γὰρ Qb. — πάλιν ἴσους] ἴσους excidit in Schn. — εἶτ' ἐκ τῶν τρίτων.] post τρίτων additum est εἶτ' ἐκ τοῦ τετάρτου in marg. B 3. — πλὴν τοῖς ἐκ τῶν τριῶν·] sic felicissima coni. hunc locum emendavit Göttl. Vulgo: ἢν τοῖς ἐκ τῶν τρίτων, ἢ τετάρτων. „Illud ἢ τετάρτων tamquam varia scriptura ad τεττάρων in margine notatum, male in textum migravit et ineptum locum occupavit" Göttl. — ἐκ δὲ τοῦ τετάρτου τῶν τεττάρων μόνοις] pro his ἀλλὰ μόνοις (omissis reliquis) margo B 3.; τεττάρων recepi ex A 2. Z. Vict. cum G. et sic in emendatiorib. MSS. invenit Sepulv. Vulgo τετάρτων. Sylb. et Schn. totum commation omitti malunt; μόνον pro μόνοις Schn. male! quod transiit in Göttl. invito editore. Ceterum in loco turbatissimo nullam ex Vet. enotatam esse scripturae discrep. mirandum est. — ἔσονται δὴ] δὲ [η] P 1. — διὰ τὸ ἐνίους μὴ αἱρεῖσθαι τῶν δημοτικῶν] om. L. A 1. 2. B 2. 3. [ ] Sylb.; oculus librarii ab altero διὰ τὸ aberravit ad alterum.

§. 13. οὖν οὐκ] οὐκ om. Vet. V 2. Z. — συνιστάναι] συνεστάναι Ib. P 2. (rc.) P 1. P 3. — φανερὸν καὶ τῶν ὕστερον ῥηθησομένων] καὶ τῶν ὕστερον om. A 1. B 2. ὕστερον om. et A 2. G.; ἐκ ante τῶν habent A 2. B 3. G. — ὅταν ἐπιβάλλῃ] Sic Bkk. tacite, ut est in P 1. 2. Lips., ἐπιβάλῃ Vet. et edd. et MSS. reliqui ante Bkk. collati omnes. — τὸ ἐξ αἱρετῶν αἱρετοὺς] „ex delectis delectum" Aret., „ex electis (αἱρεθέντων?) eligibiles" Vet.; articulum τὸ om. Ub., αἱρετὰς pro αἱρετοὺς est in Ub.

Cap. IV. §. 1. καὶ πολιτικῶν] male om. Schn.

τῶν καθεστηκυιῶν, καὶ καθ' ἃς πολιτεύονται νῦν, ἐγγύτερόν εἰσι τούτων ἀμφοτέρων· οὐδεὶς γὰρ οὔτε τὴν περὶ τὰ τέκνα κοινότητα καὶ τὰς γυναῖκας ἄλλος κεκαινοτόμηκεν, οὔτε περὶ τὰ συσσίτια τῶν γυναικῶν, ἀλλ' ἀπὸ τῶν ἀναγκαίων ἄρχονται μᾶλλον. δοκεῖ γάρ τισι τὸ περὶ τὰς οὐσίας εἶναι μέγιστον τετάχθαι καλῶς· περὶ γὰρ τούτων ποιεῖσθαί φασι τὰς στάσεις πάντας. διὸ Φαλέας ὁ Χαλκηδόνιος τοῦτ' εἰσήνεγκε πρῶτος· φησὶ γάρ, δεῖν ἴσας εἶναι τὰς κτήσεις τῶν πολιτῶν.

2. *Τοῦτο δὲ κατοικιζομέναις μὲν εὐθὺς οὐ χαλεπὸν ᾤετο ποιεῖν, τὰς δ' ἤδη κατοικουμένας ἐργωδέστερον μέν, ὅμως δὲ τάχιστ' ἂν ὁμαλισθῆναι τῷ τὰς προῖκας τοὺς μὲν πλουσίους διδόναι μέν, λαμβάνειν δὲ μή, τοὺς δὲ πένητας μὴ διδόναι μέν, λαμβάνειν δέ. Πλάτων δὲ τοὺς Νόμους γράφων μέχρι μέν τινος ᾤετο δεῖν ἐᾶν, πλεῖον δὲ τοῦ πενταπλασίαν εἶναι τῆς ἐλαχίστης μηδενὶ τῶν πολιτῶν ἐξουσίαν εἶναι κτήσασθαι, καθάπερ εἴρηται καὶ πρότερον.*

3. *Δεῖ δὲ μηδὲ τοῦτο λανθάνειν τοὺς οὕτω νομοθετοῦντας, ὃ λανθάνει νῦν, ὅτι τὸ τῆς οὐσίας τάττοντας πλῆθος προσήκει καὶ τῶν τέκνων τὸ πλῆθος τάττειν· ἐὰν γὰρ ὑπεραίρῃ τῆς οὐσίας τὸ μέγεθος ὁ τῶν τέκνων ἀριθμός, ἀνάγκη τόν γε νόμον λύεσθαι, καὶ χωρὶς τῆς λύσεως φαῦλον τὸ πολλοὺς ἐκ πλουσίων γίνεσθαι πένητας· ἔργον γὰρ μὴ νεωτεροποιοὺς εἶναι τοὺς τοιούτους.*

4. *Διότι μὲν οὖν ἔχει τινὰ δύναμιν εἰς τὴν πολιτικὴν κοινωνίαν ἡ τῆς οὐσίας ὁμαλότης, καὶ τῶν πάλαι τινὲς φαίνονται διεγνωκότες, οἷον καὶ Σόλων ἐνομοθέτησεν, καὶ παρ' ἄλλοις ἐστὶ νόμος, ὃς κωλύει κτᾶσθαι γῆν ὁπόσην ἂν βούληταί τις. ὁμοίως δὲ καὶ τὴν οὐσίαν πωλεῖν οἱ νόμοι κωλύουσιν, ὥσπερ ἐν Λοκροῖς νόμος ἐστὶ μὴ πωλεῖν, ἐὰν μὴ φανερὰν ἀτυχίαν δείξῃ συμβεβηκυῖαν. ἔτι δὲ τοὺς παλαιοὺς κλήρους διασώζειν. τοῦτο δὲ λυθὲν καὶ περὶ Λευκάδα δημοτικὴν ἐποίησε λίαν τὴν πολιτείαν αὐτῶν· οὐ γὰρ ἔτι συνέβαινεν ἀπὸ τῶν ὡρισμένων τιμημάτων εἰς τὰς ἀρχὰς βαδίζειν.*

5. *Ἀλλ' ἔστι τὴν ἰσότητα μὲν ὑπάρχειν τῆς οὐσίας, ταύτην δ' ἢ λίαν εἶναι πολλήν, ὥστε τρυφᾶν, ἢ λίαν ὀλίγην, ὥστε ζῆν γλίσχρως. δῆλον οὖν, ὡς οὐχ ἱκανὸν τὸ τὰς οὐσίας ἴσας ποιῆσαι τὸν νομοθέτην, ἀλλὰ τοῦ μέσου στοχαστέον. ἔτι δ' εἴ τις καὶ τὴν μετρίαν τάξειεν οὐσίαν πᾶσιν, οὐδὲν ὄφελος· μᾶλλον γὰρ δεῖ τὰς ἐπιθυμίας ὁμαλίζειν ἢ τὰς οὐσίας, τοῦτο δ' οὐκ ἔστι μὴ παιδευομένοις ἱκανῶς ὑπὸ τῶν νόμων.*

6. *Ἀλλ' ἴσως εἴποι ἂν ὁ Φαλέας, ὅτι ταῦτα τυγχάνει λέγων αὐτός· οἴεται γὰρ δυοῖν τούτοιν*

von Philosophen und Staatsmännern. Alle aber halten sich näher an die bestehenden, nach denen jetzt die Staaten verwaltet werden, als diese beiden. Denn kein Anderer hat Neuerungen, wie die Weiber- und Kindergemeinschaft oder die Syssitien der Weiber, vorgebracht, sondern sie gehen mehr von den nothwendigen Dingen aus. Einigen scheint nämlich die richtige Anordnung der Vermögensverhältnisse das Wichtigste zu sein; denn um derentwillen, sagen sie, entständen fast durchgängig die Aufstände. Daher schlug zuerst Phaleas der Chalkedonier Folgendes vor: er sagt nämlich, die Besitzungen der Bürger müssten gleich sein.

2. Dies, meinte er, sei zwar gleich bei der Gründung der Staaten in's Werk zu richten nicht schwer, bei den schon gegründeten dagegen freilich schwieriger, doch würde es sich wohl dadurch am schnellsten in's Gleiche setzen, wenn die Reichen zwar Mitgiften gäben, aber nicht empfingen, die Armen dagegen zwar nicht gäben, wohl aber empfingen. Platon aber glaubte, als er seine Gesetze schrieb, bis zu einem gewissen Grade (eine Vermehrung) verstatten zu müssen; mehr aber als das Fünffache des niedrigsten Besitzes zu erwerben, dürfe keinem Bürger erlaubt sein, wie das auch zuvor gesagt ist.

3. Es darf aber denen, welche solche Verordnungen einführen, auch das nicht entgehen, was ihnen in der That jetzt entgeht, dass diejenigen, welche die Menge des Besitzes bestimmen, billigerweise auch die Menge der Kinder bestimmen müssen. Denn wenn die Anzahl der Kinder die Grösse des Besitzes überschreitet, so ist Aufhebung des Gesetzes die nothwendige Folge. Und ausser der Aufhebung ist es ein Uebelstand, dass Viele aus Reichen Arme werden. Denn es ist kaum möglich, dass solche nicht neuerungssüchtig sein sollten.

4. Weshalb nun also die Gleichheit des Besitzes einen gewissen Einfluss auf die bürgerliche Gesellschaft habe, scheinen auch schon von den Alten einige erkannt zu haben, wie z. B. Solon gesetzlich bestimmte, und auch bei Andern ein Gesetz besteht, welches verbietet, Grundstücke zu erwerben, soviel Einer will. Aehnlich verbieten die Gesetze auch, den Besitz zu verkaufen, wie bei den Lokrern ein Gesetz besteht, nicht zu verkaufen, wenn Jemand nicht nachgewiesen hat, dass ihn ein augenscheinlicher Unglücksfall betroffen habe. Ferner: die alten durch's Loos erhaltenen Grundstücke fort und fort zu behalten. Und grade die Aufhebung dieses Gesetzes zu Leukas war es, welche die dortige Verfassung allzu demokratisch machte. Denn es traf nun nicht mehr zu, dass man von den vorgeschriebenen Vermögensklassen zu den Staatsämtern gelangte.

5. Allein es kann die Gleichheit des Besitzes zwar vorhanden, dieser aber entweder zu gross sein, so dass sie schwelgerisch, oder zu gering, so dass sie elend leben. Offenbar also ist es nicht genug, dass der Gesetzgeber die Besitzungen gleich macht, sondern ein Mittelmass muss er zu erzielen suchen. Ferner aber, wenn man auch den mittelmässigen Besitz für Alle bestimmt hat, ist damit doch noch nichts gewonnen; denn viel eher thut es Noth, die Begierden auszugleichen als die Besitzungen. Das ist aber nicht möglich, wenn sie (d. Bürger) nicht von den Gesetzen ordentlich erzogen werden.

6. Aber vielleicht möchte Phaleas erwiedern, dass er ja dies selbst sage; er meint nämlich, in zweien

---

Cor. — *καὶ καθ'*] *καὶ* uncis inclus. Cor. — *ἄλλος κεκαινοτόμηκεν*] *ἄλλως* pro *ἄλλος* Lut. Sylb. et recent. ante Schn., *ὅλως* Schn. Cor.; „talem aliquam (*τοιοῦτόν τι*?) introduxit novitatem“ Aret. — *εἶναι μέγιστον*] *εἶναι ἀναγκαῖον μέγιστον* P 1. — *Φαλέας*] *Φαλλέας* (et sic semper) P 1. cfr. Schol. Arist. Acharn. 262. — *Χαλκηδόνιος*] *Καρχηδόνιος* Vet. Aret. P 1. (marg.) prob. Cor. natum ex diversa scriptura *Καλχηδόνιος*. Vid. Göttling. Adnot. p. 323. — *πρῶτος*] *πρῶτον* Schn. Cor. et sic in Q^b.; *πρώτως* adscriptum ab antiq. manu in B 2. recep. Conring. Picc. „ante omnia“ Aret., sed: „intulit primus“ Vet. — *φησὶ γὰρ*] *γὰρ* om. U^b.

§. 2. *τὰς δ' ἤδη*] sic Schn. Cor. et cum iis Bkk. ex solo Vet., ut ipse fatetur („quae iam habitantur“ [habitabantur Thom.]), *τὰς δὴ* Codd. et edd. omnes praeter B 1. 3., in quibus est *τὰς δέ*. — *τὰς προῖκας*] *τὰς* om. P 1. — *τοὺς δὲ πένητας — λαμβάνειν δὲ*] om. P^b. — *μέχρι μὲν*] *ἄχρι μὲν* Schn. Cor. sine auctoritate. — *δεῖν ἐᾶν*] *ἐᾶν* om. P 1.

§. 3. *μηδὲ*] *μὴ δὲ* Vict. 2. (ut fere semper). — *τόν γε νόμον*] *τὸν γενόμενον* U^b. *τόν τε νόμον* B 3. Cor.

§. 4. *ὁμαλότης*] *ἰσότης* P 1. „ex glossa ut videtur“ Göttl. — *ὁπόσην ἂν*] *ὁπόσην* T^b. *ὅσην* P 1. — *Λοκροῖς νόμος*] *νόμοις* U^b. B 3. — *δείξῃ*] *δοξῃ* (εἰ) P 1.

§. 5. *ἀλλ' ἔστι*] *ἀλλ' εἰς* Q^b. T^b. *ἀλλ' εἰς τὸ* U^b. et pr. P^b. A 1. 2. B 2. 3. — *τάξειεν*] *τάξει* P 1.

§. 6. *εἴποι*] *εἴπειεν* P 1.

ἰσότητα δεῖν ὑπάρχειν ταῖς πόλεσιν, κτήσεως καὶ παιδείας. ἀλλὰ τήν τε παιδείαν ἥτις ἔσται δεῖ λέγειν, καὶ τὸ μίαν εἶναι καὶ τὴν αὐτὴν οὐδὲν ὄφελος· ἔστι γὰρ τὴν αὐτὴν μὲν εἶναι καὶ μίαν, ἀλλὰ ταύτην εἶναι τοιαύτην ἐξ ἧς ἔσονται προαιρετικοὶ τοῦ πλεονεκτεῖν ἢ χρημάτων ἢ τιμῆς ἢ συναμφοτέρων.

7. *Ἔτι στασιάζουσιν οὐ μόνον διὰ τὴν ἀνισότητα τῆς κτήσεως, ἀλλὰ καὶ διὰ τὴν τῶν τιμῶν. τοὐναντίον δὲ περὶ ἑκάτερον· οἱ μὲν γὰρ πολλοὶ διὰ τὸ περὶ τὰς κτήσεις ἄνισον, οἱ δὲ χαρίεντες περὶ τῶν τιμῶν, ἐὰν ἴσαι· ὅθεν καὶ*

„ἐν δὲ ἰῇ τιμῇ ἠμὲν κακὸς ἠδὲ καὶ ἐσθλός."

οὐ μόνον δ' οἱ ἄνθρωποι διὰ τἀναγκαῖα ἀδικοῦσιν, ὧν ἄκος εἶναι νομίζει τὴν ἰσότητα τῆς οὐσίας, ὥστε μὴ λωποδυτεῖν διὰ τὸ ῥιγοῦν ἢ πεινῆν, ἀλλὰ καὶ ὅπως χαίρωσι καὶ μὴ ἐπιθυμῶσιν· ἐὰν γὰρ μείζω ἔχωσιν ἐπιθυμίαν τῶν ἀναγκαίων, διὰ τὴν ταύτης ἰατρείαν ἀδικήσουσιν. οὐ τοίνυν διὰ ταύτην μόνον, ἀλλὰ καὶ ἂν ἐπιθυμοῖεν, ἵνα χαίρωσι ταῖς ἄνευ λυπῶν ἡδοναῖς.

8. *Τί οὖν ἄκος τῶν τριῶν τούτων; τοῖς μὲν οὐσία βραχεῖα καὶ ἐργασία, τοῖς δὲ σωφροσύνη· τρίτον δ', εἴ τινες βούλοιντο δι' αὐτῶν χαίρειν, οὐκ ἂν ἐπιζητοῖεν εἰ μὴ παρὰ φιλοσοφίας ἄκος· αἱ γὰρ ἄλλαι ἀνθρώπων δέονται. ἐπεὶ ἀδικοῦσί γε τὰ μέγιστα διὰ τὰς ὑπερβολάς, ἀλλ' οὐ διὰ τὰ ἀναγκαῖα, οἷον τυραννοῦσιν οὐχ ἵνα μὴ ῥιγῶσιν. διὸ καὶ αἱ τιμαὶ μεγάλαι, ἂν ἀποκτείνῃ τις οὐ κλέπτην, ἀλλὰ τύραννον. ὥστε πρὸς τὰς μικρὰς ἀδικίας βοηθητικὸς μόνον ὁ τρόπος τῆς Φαλέου πολιτείας.*

9. *Ἔτι τὰ πολλὰ βούλεται κατασκευάζειν ἐξ ὧν τὰ πρὸς αὐτοὺς πολιτεύσονται καλῶς, δεῖ δὲ καὶ πρὸς τους γειτνιῶντας καὶ τοὺς ἔξωθεν πάντας. ἀναγκαῖον ἄρα τὴν πολιτείαν συντετάχθαι πρὸς τὴν πολεμικὴν ἰσχύν, περὶ ἧς ἐκεῖνος οὐδὲν εἴρηκεν. ὁμοίως δὲ καὶ περὶ τῆς κτήσεως· δεῖ γὰρ οὐ μόνον πρὸς τὰς πολιτικὰς χρήσεις ἱκανὴν ὑπάρχειν, ἀλλὰ καὶ πρὸς τοὺς ἔξωθεν κινδύνους. διόπερ οὔτε τοσοῦτον δεῖ πλῆθος ὑπάρχειν, ὧν οἱ πλησίον καὶ κρείττους ἐπιθυμήσουσιν, οἱ δ' ἔχοντες ἀμύνειν οὐ δυνήσονται τοὺς ἐπιόντας, οὔθ' οὕτως ὀλίγην, ὥστε μὴ δύνασθαι πόλεμον ὑπενεγκεῖν, μηδὲ τῶν ἴσων καὶ τῶν ὁμοίων.*

10. *Ἐκεῖνος μὲν οὖν οὐδὲν διώρικεν, δεῖ δὲ τοῦτο μὴ λανθάνειν, ὅ,τι συμφέρει πλῆθος οὐσίας.*

Dingen müsse in den Staaten Gleichheit stattfinden, in Vermögen und Erziehung. Aber einestheils musste er sagen, welches diese Erziehung ist, und anderntheils ist damit, dass sie eine und dieselbe ist, noch nichts gewonnen. Denn sie kann eine und dieselbe sein, aber dabei zugleich von der Art, dass daraus Menschen hervorgehen, die darnach streben, vor ihren Mitbürgern etwas vorauszuhaben, sei es Reichthum oder Ehre, oder beides zusammen.

7. Ferner empören sich die Menschen nicht blos wegen der Ungleichheit des Besitzes, sondern auch wegen der der Ehrenstellen. Doch verhält sich's hier entgegengesetzt: der grosse Haufe nämlich (empört sich) wegen der Ungleichheit des Vermögens, die Gebildeten aber um der Ehrenstellen willen, wenn sie gleich; daher jene Klage:

„Gleicher Ehre geniesst bei ihm der Tapfre und Feigling."

Indess die Menschen begehen nicht allein um der nothwendigen Bedürfnisse willen Unrecht, denen er durch die Gleichheit des Vermögens Abhülfe zu gewähren meint, so dass Niemand mehr aus Hunger oder Durst Strassenraub treiben werde; sondern auch um sich zu erfreuen und ihre Begierde zu befriedigen. Denn wenn ihre Begierde sich über die nothwendigen Bedürfnisse hinaus erstreckt, so werden sie zur Befriedigung dieser sündigen. Somit werden sie es auch nicht um dieser willen allein, sondern auch wenn ihnen die Begierde aufsteigt nach Genüssen ohne Schmerzempfindungen.

8. Welche Abhülfe giebt es nun für diese drei? Für die Einen mässiger Besitz und Beschäftigung, für die Andern Mässigkeit; drittens aber sofern welche an und durch sich selbst sich erfreuen wollten, die dürften wohl nirgendswo anders als bei der Philosophie sich nach Hülfe umzusehen haben; denn die übrigen Genüsse bedürfen der Mitwirkung von Menschen. Auch begehen die Menschen die grössten Sünden wegen ausschweifender Gelüste, nicht wegen der nothwendigen Bedürfnisse; so wird man z. B. nicht Tyrann, damit man nicht friere; daher sind auch die Ehrenbeweise gross, nicht wenn einer einen Dieb, wohl aber wenn er einen Tyrannen tödtet. Somit ist also die Einrichtung der Staatsverfassung des Phaleas nur gegen die kleinen Sünden von Nutzen.

9. Ferner beabsichtigen die meisten seiner Einrichtungen Mittel, um die innern Verhältnisse der Bürger unter sich in guter Ordnung zu erhalten. Aber dies thut ja auch in den Verhältnissen zu ihren Gränznachbarn und allen Auswärtigen Noth. Es muss also in der Einrichtung der Staatsverfassung auf die Kriegsmacht Rücksicht genommen sein, über welche jener gar nichts gesagt hat. Gleiches gilt von dem Besitz; denn dieser soll nicht nur für den innerlichen Staatsbedarf hinreichend vorhanden sein, sondern auch für die Gefahren von aussen her. Darum darf die vorhandene Menge desselben weder so gross sein, dass die Nachbarn und Stärkeren dadurch angelockt, die Besitzer aber nicht im Stande sein werden, die Angreifer abzuwehren; noch so gering, dass sie auch nicht einmal gegen die gleichen und ähnlichen einen Krieg aushalten können.

10. Jener hat nun also nichts bestimmt. Es darf aber dies nicht unbeachtet bleiben, welche Menge des

§. 7. *ἐν δὲ ἰῇ*] *ἐν διάει* B 1. 2. 3. (sed in marg. B 3. est *ἐν δ' ἰῇ*) *δὲ* **Bkk.** ut Hom. Iliad. IX, 319. sed *δ'* edd. quas vidi omnes. — *ἠ μὲν — ἠδὲ*] *ἡ μὲν — ἡ δὲ* Ub. — *ἀλλὰ καὶ ἂν ἐπιθυμοῖεν*] *ἀλλὰ καὶ ἂν μὴ ἐπιθυμῶσιν* de **Lamb.** et **Schn.** coni. recep. **Cor.** — *ἵνα*] *καὶ ἵνα* **Cor.**

§. 8. *δι' αὐτῶν*] Vulg. *αὐτῶν* correxit G., quem sequitur **Bkk.** tacite. — *ἐπιζητοῖεν*] *ἐπιζητεῖεν* A 1. 2. B 2. 3.; correx. Lut. Vict. rell. — *ἀνθρώπων δέονται*] post haec **Vet.** addit: „ut gaudeant sine tristitiis voluptatibus" (*ἵνα χαίρωσιν ταῖς ἄνευ λυπῶν ἡδοναῖς*). **Versoris** tamen exemplar non habet hoc additamentum. — *τὰ ἀναγκαῖα*] *τἀναγκαῖα* **Schn. Cor. Göttl.** — *βοηθητικὸς μόνον*] *μόνος* Schn. G. tacite. — *ὁ τρόπος τῆς Φαλέου πολιτείας*] *ὁ τρόπος ὁ Φαλέου* **Vet.**

§. 9. *ἔτι τὰ πολλὰ βούλεται κατασκευάζειν*] „adhuc multa opus est constitui" **Vet.** — *πρὸς αὐτοὺς*] *π. αὐτοὺς* B 2. 3. Lut., *αὐτοῖς* prim. ut videtur Vict. 2. **Sylb.** — *πολιτεύσονται*] *πολιτεύονται* Ib. — *διόπερ οὔτε*] *οὐδὲ* male Schn. — *πλῆθος ὑπάρχειν, ὧν οἱ*] haec om. Ub. — *οἱ δ' ἔχοντες*] *δὲ* plene B 2. 3. Vict. 2. — *μηδὲ τῶν ἴσων*] *μὴ δὲ* ut solet Vict. 2.

§. 10. *ὅτι συμφέρει πλῆθος οὐσίας*] Male edd. omnes *ὅτι*; „**quantas** facultates habere conducat"

Ἴσως οὖν ἄριστος ὅρος τὸ μὴ λυσιτελεῖν τοῖς κρείττοσι διὰ τὴν ὑπερβολὴν πολεμεῖν, ἀλλ' οὕτως ὡς ἂν καὶ μὴ ἐχόντων τοσαύτην οὐσίαν. οἷον Εὔβουλος, Αὐτοφραδάτου μέλλοντος Ἀταρνέα πολιορκεῖν, ἐκέλευσεν αὐτόν, σκεψάμενον ἐν πόσῳ χρόνῳ λήψεται τὸ χωρίον, λογίσασθαι τοῦ χρόνου τουτου τὴν δαπάνην· ἐθέλειν γὰρ ἔλαττον τούτου λαβὼν ἐκλιπεῖν ἤδη τὸν Ἀταρνέα. ταῦτα δ' εἰπὼν ἐποίησε τὸν Αὐτοφραδάτην σύννουν γενόμενον παύσασθαι τῆς πολιορκίας.

11. *Ἔστι μὲν οὖν τι τῶν συμφερόντων τὸ τὰς οὐσίας εἶναι ἴσας τοῖς πολίταις πρὸς τὸ μὴ στασιάζειν πρὸς ἀλλήλους, οὐ μὴν μέγ' οὐδὲν ὡς εἰπεῖν. καὶ γὰρ ἂν οἱ χαρίεντες ἀγανακτοῖεν ἂν ὡς οὐκ ἴσων ὄντες ἄξιοι, διὸ καὶ φαίνονται πολλάκις ἐπιτιθέμενοι καὶ στασιάζοντες. ἔτι δ' ἡ πονηρία τῶν ἀνθρώπων ἄπληστον, καὶ τὸ πρῶτον μὲν ἱκανὸν διωβολία μόνον, ὅταν δ' ἤδη τοῦτ' ᾖ πάτριον, ἀεὶ δέονται τοῦ πλείονος, ἕως εἰς ἄπειρον ἔλθωσιν· ἄπειρος γὰρ ἡ τῆς ἐπιθυμίας φύσις, ἧς πρὸς τὴν ἀναπλήρωσιν οἱ πολλοὶ ζῶσιν.*

12. *Τῶν οὖν τοιούτων ἀρχή, μᾶλλον τοῦ τὰς οὐσίας ὁμαλίζειν, τὸ τοὺς μὲν ἐπιεικεῖς τῇ φύσει τοιούτους παρασκευάζειν ὥστε μὴ βούλεσθαι πλεονεκτεῖν, τοὺς δὲ φαύλους ὥστε μὴ δύνασθαι· τοῦτο δ' ἐστίν, ἂν ἥττους τε ὦσι καὶ μὴ ἀδικῶνται. οὐ καλῶς δ' οὐδὲ τὴν ἰσότητα τῆς οὐσίας εἴρηκεν· περὶ γὰρ τὴν τῆς γῆς κτῆσιν ἰσάζει μόνον. ἔστι δὲ καὶ δούλων καὶ βοσκημάτων πλοῦτος καὶ νομίσματος, καὶ κατασκευὴ πολλὴ τῶν καλουμένων ἐπίπλων. ἢ πάντων οὖν τούτων ἰσότητα ζητητέον, ἢ τάξιν τινὰ μετρίαν, ἢ πάντα ἐατέον.*

13. *Φαίνεται δ' ἐκ τῆς νομοθεσίας κατασκευάζων τὴν πόλιν μικράν, εἴ γ' οἱ τεχνῖται πάντες δημόσιοι ἔσονται καὶ μὴ πλήρωμά τι παρέξονται τῆς πόλεως. ἀλλ' εἴπερ δεῖ δημοσίους εἶναι τοὺς τὰ κοινὰ ἐργαζομένους, δεῖ καθάπερ ἐν Ἐπιδάμνῳ τε, καὶ ὡς Διόφαντός ποτε κατεσκεύαζεν Ἀθήνησι, τοῦτον ἔχειν τὸν τρόπον. περὶ μὲν οὖν τῆς Φαλέου πολιτείας σχεδὸν ἐκ τούτων ἄν τις θεωρήσειεν, εἴ τι τυγχάνει καλῶς εἰρηκὼς ἢ μὴ καλῶς.*

CAP. V.

Cap. 8. Bkk. *Ἱππόδαμος δὲ Εὐρυφῶντος Μιλήσιος, (ὃς καὶ τὴν τῶν πόλεων διαίρεσιν εὗρε, καὶ τὸν Πειραιᾶ κατέτεμεν, γενόμενος καὶ περὶ τὸν ἄλλον βίον περιττότερος διὰ φιλοτιμίαν οὕτως, ὥστε δοκεῖν ἐνίοις ζῆν περιεργότερον τριχῶν τε πλήθει καὶ κό-*

Vermögens zuträglich sei. Vielleicht wäre nun die beste Bestimmung hierüber die: der Staat muss so viel besitzen, dass die Stärkeren keinen Vortheil davon haben, um des Uebermasses willen Krieg anzufangen, sondern dass, wenn dies geschieht, es auch ohne dass jene soviel besässen geschehen sein würde. So hiess Eubulus, als Autophradates Atarneus zu belagern im Begriff stand, ihn überlegen, in wieviel Zeit er den Platz einnehmen werde, und dann den Aufwand während dieser Zeit berechnen; denn er wolle nach Empfang einer geringeren Summe, als diese, auf der Stelle Atarneus verlassen. Durch diesen Vorschlag bewog er den Autophradates, nach genauerer Ueberlegung die Belagerung aufzugeben.

11. Es ist nun also freilich das Bestehen der Vermögensgleichheit unter den Bürgern von Nutzen, um Aufstand im Innern zu vermeiden, jedoch, kurz heraus gesagt, wirklich von sehr unbedeutendem. Denn zunächst dürften (damit) auch die Vornehmen unzufrieden sein, in der Ansicht, dass ihnen keineswegs dasselbe was jedem Andern gebühre, weshalb sie auch häufig in der Erfahrung als Aufrührer und Empörer erscheinen. Ferner aber ist auch die Schlechtigkeit der Menschen ein unersättlich Ding; und zuerst freilich genügt der Zweiobolensatz; sobald dies aber schon herkömmlich geworden ist, fordern sie immer mehr bis in's Unendliche hin. Denn gränzenlos ist die Natur der Begierde, für deren Befriedigung der grosse Haufe lebt.

12. Bei so bewandten Umständen ist es Haupterforderniss, nicht sowohl das Vermögen auszugleichen, als vielmehr die von Natur Edlen dahin zu bringen, dass sie nichts voraushaben wollen; die Gemeinen aber dahin, dass sie es nicht können. Dies ist aber der Fall, wenn sie schwächer sind und kein Unrecht erleiden. Aber auch nicht einmal die Gleichheit des Besitzes hat er (Phaleas) ordentlich entwickelt. Denn nur den Grundbesitz macht er gleich. Nun giebt es aber auch Reichthum an Sklaven und Heerden und Geld und eine grosse Menge des sogenannten Mobiliarvermögens. Entweder also muss man nach Gleichheit in diesem Allen streben, oder nach einem bestimmten mässigen Satze, oder Alles lassen.

13. Es erhellt aber aus seiner Gesetzgebung, dass er den Staat als klein darstelle, wenn, wie er sagt, alle Künstler öffentliche Sklaven sein und nicht eine Art Complement des Staats bilden sollen. Aber wenn alle die, welche die allgemeinen Gewerbe betreiben, öffentliche Sklaven sein sollen, so muss diese Einrichtung in der Art sein, wie in Epidamnos, und wie sie einst Diophantos zu Athen anordnete. Ueber Phaleas Staatsverfassung kann man nun wohl nach dem Gesagten abnehmen, was er etwa Richtiges oder Unrichtiges gesagt hat.

Kap. V.

1. Hippodamos aber, Euryphon's Sohn, der Milesier, (ebenderselbe, welcher die Abtheilung der Städte nach Strassen und Quartieren erfunden und den Peiraieus vermessen hat, ein Mann, der auch sonst im Leben ans Ehrgeiz etwas übertrieben war, dergestalt, dass er einigen allzu geckenhaft zu leben schien, indem

---

Aret. — *ἴσως οὖν ἄριστος ὅρος κ. τ. λ.*] „forte recta determinatio fuerit, tantas esse debere, ut lucrum superantibus bello afferre non possit, sed ita quasi nihil super adquirant" Aretin. — *ἔλαττον τούτου*] *ἐλάττω τούτου* Schn. Cor. sine auctor. — *λαβὼν ἐκλιπεῖν*] *ἐκλείπειν* P 1.; *λαβεῖν* pro *λαβὼν* U^b. — *Ἀταρνέα*] *αὐταρνέα* T^b. — *δ' εἰπὼν*] *διειπὼν* Schn. tacite.

§. 11. *οὐ μὴν μέγ' οὐδὲν*] *ἀλλὰ μὴν μέγ' οὐδὲν* Schn. tacite; *ἀλλὰ [μὴν] μέγ' οὐδὲν* Cor. — *ἀγανακτοῖεν ἂν*] *ἂν* uncis inclus. Cor. — *διωβολία*] ante Schn. legeb. *διωβόλια*. Vulgaris forma est *διωβελία*.

§. 12. *ἀρχή, μᾶλλον*] *ἀρκεῖ μ.* Cor. — *παρασκευάζειν*] *κατασκευάζειν* G. sine ulla auctoritate tacite. — *εἴρηκε*] Aret.: „ab eo dispositum", unde Lamb. *διώρικε* vel *διείρηκε*. — *καὶ δούλων*] om. U^b. — *πλοῦτος*] *πλῆθος* Schn. Cor. sine auctoritate.

§. 13. *ἀλλ' εἴπερ δεῖ*] sic Bkk. cum 7 codd. et edd. plurimis (B 3. Vict. 2. Lut. Sylb. Schn. Cor.), sed *δὴ* pro *δεῖ* T^b. U^b. P 3. L. A 1. 2. B 1. 2. G., quod fortasse melius est, quum *δεῖ* ex iis, quae proxime sequuntur, tacite suppleatur. Aret.: „sed certe publicos esse eos". — *καὶ Διόφαντος*] *καὶ ὡς Δ.* post Vict. (Lut. Sylb.) omnes, etiam Bkk., sed *ὡς* cum G. delevimus, quum om. sit in P 1. 2. 3. 4. I^b. Q^b. T^b. U^b. A 1. 2. B 1. 2. 3. — *εἴ τι*] *τις* I^b. Q^b. T^b. U^b. A 1. 2. B 2.; rectam scripturam primi restituerunt h. l. ut centenis aliis editores B 3.

Cap. V. §. 1. *Εὐρυφῶντος*] om. Aret. *Εὐριφῶντος* Lips. Vet. — *βίον*] *βίοτον* Schn. Cor. sine auctor. — *περιττότερος*] „morosior" Aret. — *ζῆν περιεργότερον*] *ζῆν* om. Aret. — *καὶ κόσμῳ*

σμῷ πολυτελεῖ, ἔτι δὲ ἐσθῆτος εὐτελοῦς μὲν ἀλεεινῆς δὲ οὐκ ἐν τῷ χειμῶνι μόνον ἀλλὰ καὶ περὶ τοὺς θερινοὺς χρόνους, λόγιος δὲ καὶ περὶ τὴν ὅλην φύσιν εἶναι βουλόμενος), πρῶτος τῶν μὴ πολιτευομένων ἐνεχείρησέ τι περὶ πολιτείας εἰπεῖν τῆς ἀρίστης.

2. Κατεσκεύαζε δὲ τὴν πόλιν τῷ πλήθει μὲν μυρίανδρον, εἰς τρία δὲ μέρη διῃρημένην· ἐποίει γὰρ ἓν μὲν μέρος τεχνίτας, ἓν δὲ γεωργούς, τρίτον δὲ τὸ προπολεμοῦν καὶ τὰ ὅπλα ἔχον. διῄρει δ' εἰς τρία μέρη τὴν χώραν, τὴν μὲν ἱεράν, τὴν δὲ δημοσίαν, τὴν δ' ἰδίαν· ὅθεν μὲν τὰ νομιζόμενα ποιήσουσι πρὸς τοὺς θεούς, ἱεράν, ἀφ' ὧν δ' οἱ προπολεμοῦντες βιώσονται, κοινήν, τὴν δὲ τῶν γεωργῶν ἰδίαν. ᾤετο δ' εἴδη καὶ τῶν νόμων εἶναι τρία μόνον· περὶ ὧν γὰρ αἱ δίκαι γίνονται, τρία ταῦτ' εἶναι τὸν ἀριθμόν, ὕβριν, βλάβην, θάνατον.

3. Ἐνομοθέτει δὲ καὶ δικαστήριον ἓν τὸ κύριον, εἰς ὃ πάσας ἀνάγεσθαι δεῖν τὰς μὴ καλῶς κεκρίσθαι δοκούσας δίκας· τοῦτο δὲ κατεσκεύαζεν ἐκ τινῶν γερόντων αἱρετῶν. τὰς δὲ κρίσεις ἐν τοῖς δικαστηρίοις οὐ διὰ ψηφοφορίας ᾤετο γίνεσθαι δεῖν, ἀλλὰ φέρειν ἕκαστον πινάκιον, ἐν ᾧ γράφειν, εἰ καταδικάζοι ἁπλῶς τὴν δίκην, εἰ δ' ἀπολύοι ἁπλῶς, κενόν· εἰ δὲ τὸ μὲν τὸ δὲ μή, τοῦτο διορίζειν. νῦν γὰρ οὐκ ᾤετο νενομοθετῆσθαι καλῶς· ἀναγκάζειν γὰρ ἐπιορκεῖν ἢ ταῦτα ἢ ταῦτα δικάζοντας.

4. Ἔτι δὲ νόμον ἐτίθει περὶ τῶν εὑρισκόντων τι τῇ πόλει συμφέρον, ὅπως τυγχάνωσι τιμῆς, καὶ τοῖς παισὶ τῶν ἐν τῷ πολέμῳ τελευτώντων ἐκ δημοσίου γίνεσθαι τὴν τροφήν, ὡς οὔπω τοῦτο παρ' ἄλλοις νενομοθετημένον· (ἔστι δὲ καὶ ἐν Ἀθήναις οὗτος ὁ νόμος νῦν καὶ ἐν ἑτέραις τῶν πόλεων). τοὺς δ' ἄρχοντας αἱρετοὺς ὑπὸ τοῦ δήμου εἶναι πάντας· (δῆμον δ' ἐποίει τὰ τρία μέρη τῆς πόλεως)· τοὺς δ' αἱρεθέντας ἐπιμελεῖσθαι κοινῶν καὶ ξενικῶν καὶ ὀρφανικῶν.

5. Τὰ μὲν οὖν πλεῖστα καὶ τὰ μάλιστα ἀξιόλογα τῆς Ἱπποδάμου τάξεως ταῦτ' ἐστίν· ἀπορήσειε δ' ἄν τις πρῶτον μὲν τὴν διαίρεσιν τοῦ πλήθους τῶν πολιτῶν. οἵ τε γὰρ τεχνῖται καὶ οἱ γεωργοὶ καὶ οἱ τὰ ὅπλα ἔχοντες κοινωνοῦσι τῆς πολιτείας πάντες, οἱ μὲν γεωργοὶ οὐκ ἔχοντες ὅπλα, οἱ δὲ τεχνῖται οὔτε γῆν οὔτε ὅπλα, ὥστε γίνονται σχεδὸν δοῦλοι τῶν τὰ ὅπλα κεκτημένων. μετέχειν μὲν οὖν πασῶν τῶν τιμῶν ἀδύνατον· ἀνάγκη γὰρ

er auf die Pflege seines vollen Haarwuchses und auf künstliche Zierrath viel Sorgfalt verwandte, sowie ferner wegen seiner zwar geringen, aber in Winter- und Sommerzeiten warmen Kleidung, dabei zugleich in der gesammten Natur der Dinge erfahren sein wollte), war der erste Privatmann, der es unternahm, Etwas über die beste Staatsverfassung zu sagen.

2. Den Staat setzte er an auf zehntausend Bürger und theilte ihn in drei Abtheilungen. In die eine Abtheilung that er nämlich die Künstler, in die andere die Landbebauer, und in die dritte die für die Andern Kämpfenden und die Waffen Führenden. Auch theilte er in drei Theile das Landgebiet, in das heilige, allgemeine und Privateigenthum; das heilige, zur Besorgung des herkömmlichen Dienstes der Götter; das allgemeine, wovon die für die Uebrigen Kämpfenden leben sollten; das Privatgut, das der Landbebauer. Auch meinte er, es gäbe nur drei Arten von Gesetzen; denn worüber sich Rechtshändel ergäben, das seien genaugenommen drei Dinge: Beschimpfung, Schädigung, Todtschlag.

3. Er richtete ferner auch einen einzigen höchsten Gerichtshof ein, vor welchen alle Rechtssachen, die nicht gut entschieden zu sein schienen, gebracht werden sollten. Diesen aber setzte er ein aus einigen auserwählten Greisen. Die Entscheidungen in den Gerichtshöfen aber sollten nicht durch Abstimmen gegeben werden, sondern Jeder sollte ein Täfelchen erhalten, darauf solle er schreiben, wenn er vollkommen verdamme; wenn er aber vollkommen freispreche, es leer lassen; wenn er aber nur theilweise, so solle er dies genau bestimmen. Denn gegenwärtig, meinte er, sei die Einrichtung fehlerhaft. Denn sie nöthige die Richter zum Meineid, wenn dieselben nur entweder so oder so entscheiden dürften.

4. Ferner stellte er ein Gesetz auf in Betreff derer, welche Etwas auffänden, was dem Staate nützlich sei, dass ihnen Ehre erwiesen werden sollte. Und die Kinder der im Kriege Gebliebenen sollten auf öffentliche Kosten erzogen werden, als sei dies noch nicht bei Andern gesetzlich bestimmt. (Es besteht aber dieses Gesetz sowohl in Athen gegenwärtig als in anderen Staaten.) Ferner sollten die Staatsbeamten alle durch das Volk gewählt werden, (zum Volk aber machte er jene drei Abtheilungen des Staats); die Gewählten endlich sollten Sorge tragen für das Gemeinwohl und für die Angelegenheiten der Fremden und Waisen.

5. Dies wären also die meisten und beachtungswerthesten Punkte aus der Verfassung des Hippodamos. Es könnte aber Einer zunächst die Abtheilung der Gesammtmasse der Bürger bedenklich finden. Denn die Künstler und die Landbebauer und die Waffenführenden haben alle Theil an der Staatsverfassung, und zwar die Landbebauer ohne Waffen, die Künstler aber, ohne weder Waffen noch Land zu besitzen, so dass sie gewissermassen Sklaven der die Waffen Besitzenden werden. Dass sie nun also an allen Ehren Theil haben sollten, ist unmöglich; denn nothwendig werden aus den die Waffen Führenden Heer-

---

πολυτελεῖ] om. Vet.; κόμης (om. πολυτελεῖ) P. 1. (sed in margine notata est scriptura nostra) et Thom. (et comae). πολυτελεῖ etiam Cor. delendum censet. — ἔτι δὲ] om. T[b]. et Cdd. quidam Sepulved. Itaque delev. Gif. [ ] Schn. Cor. — θερινοὺς] θεριχοὺς A 2. — λόγιος δὲ] λόγος δὲ I[b]. T[b]. P 2. 3. σπουδαῖος δὲ L. A 1. 2. B 2. B 3.; veram scripturam praebent etiam Vet. (rationalis), Thom. (ratiocinatus), Versor. (ratiocinativus).

§. 2. διῃρημένην] διῃρημένων T[b]. — ἓν μὲν] μὲν om. Q[b]. — τὰ ὅπλα ἔχον] τὸ A 1. 2. B 1. 2. 3. Lut. Vict. 2. Sylb. Non male! τὰ primus Schn. ex Lips. Cor. et sic Bkk. (tacite). — θεούς, ἱεράν] θ. ἱερὰ Q[b]. T[b]. et pr. I[b]. Lips. — τρία μόνον] τρία μόνων B 3.

§. 3. ἀνάγεσθαι] ἀγάγεσθαι Q[b]. — ψηφοφορίας ᾤετο γίνεσθαι] ᾤετο om. A 1. 2. B 2. 3. Lips. G. non male; Bkk. tacet. — γράφειν] „scribatur“ Vet. — καταδικάζοι] καταδικάζει P 1., καταδικάζει P 2. 3. — τὴν δίκην] haec verba om. P 1. Vet. — ἀπολύοι] ἀπολύει Q[b]. P 1.; ἀπολύσοι Lips. — ἀναγκάζειν γάρ] γὰρ om. A 2. Lips. — ἢ ταῦτα ἢ ταῦτα] alterum ἢ ταῦτα om. A 2. Lips. B 2. 3. καὶ ταῦτα G. ex coniectura addens: „καὶ ταῦτα sunt ea, quae non liquent, de quibus non possis ἁπλῶς iudicare“.

§. 4. ἔτι δὲ νόμον ἐτίθει] sic scripsi c. P 1. Vet., ἐτίθει δὲ νόμον reliqui. — περὶ τῶν εὑρισκ.] περὶ om. Lips. τὸν pro τῶν B 2. — τελευτώντων] τελευτόντων Vict. 2. — ἐκ δημοσίου] ἐκ δημοσίων P 1. — οὗτος ὁ νόμος] οὕτως Lips. A 1. 2. B 2. 3., quod non spernendum. — ἑτέραις] ἑτέροις I[b]. T[b]. Lips. A 1. 2. B 2. 3. — αἱρετοὺς ὑπὸ τοῦ δήμου] ὑπὸ δήμου αἱρετοὺς P 1.

§. 5. τὴν διαίρεσιν] περὶ τὴν διαίρεσιν Vet. — οἱ γεωργοὶ] οἱ om. P 1.

ἐκ τῶν τὰ ὅπλα ἐχόντων καθίστασθαι καὶ στρατηγοὺς καὶ πολιτοφύλακας καὶ τὰς κυριωτάτας ἀρχὰς ὡς εἰπεῖν· μὴ μετέχοντας δὲ τῆς πολιτείας πῶς οἷόν τε φιλικῶς ἔχειν πρὸς τὴν πολιτείαν;

6. *Ἀλλὰ δεῖ κρείττους εἶναι τοὺς τὰ ὅπλα γε κεκτημένους ἀμφοτέρων τῶν μερῶν· τοῦτο δ' οὐ ῥᾴδιον μὴ πολλοὺς ὄντας. εἰ δὲ τοῦτ' ἔσται, τί δεῖ τοὺς ἄλλους μετέχειν τῆς πολιτείας καὶ κυρίους εἶναι τῆς τῶν ἀρχόντων καταστάσεως; ἔτι οἱ γεωργοὶ τί χρήσιμοι τῇ πόλει; τεχνίτας μὲν γὰρ ἀναγκαῖον εἶναι· πᾶσα γὰρ δεῖται πόλις τεχνιτῶν, καὶ δύνανται διαγίγνεσθαι καθάπερ ἐν ταῖς ἄλλαις πόλεσιν ἀπὸ τῆς τέχνης· οἱ δὲ γεωργοὶ πορίζοντες μὲν τοῖς τὰ ὅπλα κεκτημένοις τὴν τροφὴν εὐλόγως ἂν ἦσάν τι τῆς πόλεως μέρος, νῦν δ' ἰδίαν ἔχουσιν, καὶ ταύτην ἰδίᾳ γεωργήσουσιν.*

7. *Ἔτι δὲ τὴν κοινήν, ἀφ' ἧς οἱ προπολεμοῦντες ἕξουσι τὴν τροφήν, εἰ μὲν αὐτοὶ γεωργήσουσιν, οὐκ ἂν εἴη τὸ μάχιμον ἕτερον καὶ τὸ γεωργοῦν, βούλεται δ' ὁ νομοθέτης· εἰ δ' ἕτεροί τινες ἔσονται τῶν τε τὰ ἴδια γεωργούντων καὶ τῶν μαχίμων, τέταρτον αὖ μόριον ἔσται τοῦτο τῆς πόλεως, οὐδενὸς μετέχον, ἀλλὰ ἀλλότριον τῆς πολιτείας. ἀλλὰ μὴν εἴ τις τοὺς αὐτοὺς θήσει τούς τε τὴν ἰδίαν καὶ τοὺς τὴν κοινὴν γεωργοῦντας, τό τε πλῆθος ἄπορον ἔσται τῶν καρπῶν ἐξ ὧν ἕκαστος γεωργήσει δύο οἰκίας, καὶ τίνος ἕνεκεν οὐκ εὐθὺς ἀπὸ τῆς γῆς καὶ τῶν αὐτῶν κλήρων αὑτοῖς τε τὴν τροφὴν λήψονται καὶ τοῖς μαχίμοις παρέξουσιν; ταῦτα δὴ πάντα πολλὴν ἔχει ταραχήν.*

8. *Οὐ καλῶς δ' οὐδ' ὁ περὶ τῆς κρίσεως ἔχει νόμος, τὸ κρίνειν ἀξιοῦν διαιροῦντα, τῆς κρίσεως ἁπλῶς γεγραμμένης, καὶ γίνεσθαι τὸν δικαστὴν διαιτητήν. τοῦτο δ' ἐν μὲν τῇ διαίτῃ καὶ πλείοσιν ἐνδέχεται (κοινολογοῦνται γὰρ ἀλλήλοις περὶ τῆς κρίσεως), ἐν δὲ τοῖς δικαστηρίοις οὐκ ἔστιν, ἀλλὰ καὶ τοὐναντίον τούτῳ τῶν νομοθετῶν οἱ πολλοὶ παρασκευάζουσιν, ὅπως οἱ δικασταὶ μὴ κοινολογῶνται πρὸς ἀλλήλους.*

9. *Ἔπειτα πῶς οὐκ ἔσται ταραχώδης ἡ κρίσις, ὅταν ὀφείλειν ὁ μὲν δικαστὴς οἴηται, μὴ τοσοῦτον δ' ὅσον ὁ δικαζόμενος; ὁ μὲν γὰρ εἴκοσι μνᾶς, ὁ*

führer und Bürgerwächter und mit einem Wort die wichtigsten Staatsämter besetzt werden. Wenn sie aber an der Staatsverwaltung nicht Theil haben, wie ist es möglich, dass sie gegen die Staatsverwaltung anhänglich gesinnt seien?

6. So müssen denn die, welche die Waffen besitzen, stärker sein, als beide Abtheilungen; dies ist aber nicht leicht, wenn sie nicht zahlreich sind. Wenn dies aber der Fall ist, wozu sollen dann noch die Andern Theil an der Verfassung haben und über die Einsetzung der Staatsbeamten entscheiden? Ferner wozu nützen die Landbebauer dem Staate? Künstler freilich müssen sein; denn jeder Staat bedarf der Künstler, und sie können ihren Lebensunterhalt, wie in den andern Staaten, durch ihre Kunst gewinnen. Die Landbebauer aber, wenn sie den die Waffen Führenden den Unterhalt schafften, wären allerdings ein Theil des Staats; jetzt aber haben sie **eignen** Grundbesitz und sollen diesen **für sich** bauen.

7. Das Gemeindeland aber, woher die Vorkämpfenden ihren Unterhalt nehmen sollen, wenn sie selbst es bearbeiten sollen, so wird der kriegerische von dem ackerbauenden Theile der Bevölkerung nicht verschieden sein; und das will doch der Gesetzgeber. Sollen es aber Andere sein, als die ihr Eigenthum Bebauenden und als die Streitbaren, so wird sich dies wieder als ein vierter Theil des Staats ergeben, der an gar nichts Theil hat, sondern der Staatsverfassung fremd ist. Aber gesetzt, man wollte die Bebauer des Gemeindelandes und des Privateigenthums als dieselben setzen, so wird einestheils die Menge der Früchte unzureichend sein, mit denen Jeder für zwei Familien wirthschaften soll; und dann, warum sollen sie nicht gleich aus ein und denselben ihnen durchs Loos ertheilten Grundstükken für sich den Unterhalt gewinnen und ihn den Streitbaren schaffen? Alles dies verursacht also bedeutende Verwirrung.

8. Gut steht's aber auch mit dem Gesetz über die richterliche Entscheidung nicht, wo er fordert, dass der Richter sein Urtheil nach verschiedenen Seiten hin motivirt abgebe, während doch die zu entscheidende Sache einfach hingestellt ist, und so aus einem Richter ein Schiedsmann werde. Dies ist zwar bei'm Schiedsgerichte und wenn ihrer mehrere sind möglich (denn da besprechen sie sich gemeinsam über die Entscheidung), bei den Gerichtshöfen aber ist es nicht möglich, sondern im Gegentheil richten es die meisten Gesetzgeber so ein, dass die Richter nicht gemeinsam sich untereinander besprechen können.

9. Ferner wie soll die Entscheidung nicht voll Verwirrung werden, wenn der Richter zwar glaubt, dass der Beklagte schulde, aber nicht soviel wie der Kläger

---

§. 6. *Ἀλλὰ δεῖ κρείττους*] *καὶ* post *δεῖ* expressit **Vet.** — *τὰ ὅπλα γε*] *γε* om. **Schn. Cor.** prave! — *πᾶσα γὰρ δεῖται πόλις*] *πᾶσαι γὰρ δεῖται πόλεις* **Lips.** et Cod. **Camer.** barbare! — *δύνανται*] *δύναται* A 1. 2. B 1. B 2. — *διαγίγνεσθαι*] „proficere ex artibus" **Aret.** — *ἰδίᾳ γεωργήσουσιν*] Sic edidi cum Iᵇ. Qᵇ. Tᵇ. P 1. 2. 3. Lips. A 1. 2. B 2. B 3. Vet. (qui *ἰδίαν* pro *ἰδίᾳ* expressit) Vict. 2. G. Vulgat. *γεωργοῦσιν*, quod est in Lut. Sylb. Camer. et recent. cum **Schn. Cor.** retinuit **Bkk.** cum sex Codd.; verba *καὶ ταύτην ἰδίᾳ γεωργ. ἔτι δὲ τὴν κοινὴν* om. Aret.

§. 7. *Ἔτι δὲ — γεωργήσουσιν*] om. Lips. — *ἕξουσι τὴν τροφὴν*] *τὴν* om. G. cum A 1. 2. — *εἰ μὲν αὐτοὶ*] *οἱ μ. α.* A 1. B 2. — *εἰ δ' ἕτεροι*] *οἱ δ' ἕ.* A 1. 2. B 2. B 3. *εἰ δ'* prim. Lut. **Vict.** 2. — *τέταρτον αὖ*] *οὖν* pro *αὖ* Tᵇ. A 1. 2. **Thom.** („igitur") B 2. 3. Vict. 2. **Schn.** Göttl.; *αὖ* quod recep. **Cor. Bkk.** (ex 8 Codd.) est in **Vet.** (iterum) P 1. **Lut. Sylb.** — *ἀλλὰ ἀλλότριον*] *ἀλλ' ἀλλ.* **Bkk.** *ἀλλὰ καὶ* Vict. 2. [*καὶ*] Sylb. Schn.; particulam delevit prim. G. cum A 1. 2. Lut. B 1. 2. 3. P 1. 2. 3. Lips. Vet. et **Bkk.** c. omn. Codd. — *ἄπορον ἔσται*] *ἄπειρον ἔσται* Victorii Codex unus. — *γεωργήσει*] *ὑπουργήσει* **Vet.** (ministrabit) **Aret.** Lut. Sylb. Vict 2. (cuius tamen MSS. praebent *γεωργήσει*) et recent. omnes cum **Schn. Cor.** — *δύο οἰκίας*] *δυοῖν οἰκίαις* Camer. prob. **Schn. Cor.**, *δύο οἰκίαις* Göttl. ex coniect. — *οὐκ εὐθὺς ἀπὸ τῆς γῆς καὶ τῶν αὐτῶν κλήρων*] „**non statim ex iisdem agris**" **Aret.**, quod valde probat **Schn.**

§. 8. *τὸ κρίνειν ἀξιοῦν*] *κινεῖν* A 2. B 2. 3. „lex quae judicandum putat" (*ὁ κρίνειν ἀξιῶν*) **Aret.** et **Vet.** (iudicium [iudicare **Thom.**] significans dividentes causa simpliciter scripta) quod probat **Schn.** — *διαιροῦντα*] *διαιροῦνται* Lips. — *τῆς κρίσεως ἁπλῶς γεγραμμένης*] „litem simpliciter scriptam" **Aret.** Is igitur, ut **Vet.**, *δίκης* pro *κρίσεως* expressit, quod recipiendum esse censet **Schn.** — *ἐν δὲ τοῖς*] *οὐδὲ τοῖς* A 1. B 2. B 3. — *τοὐναντίον τούτῳ*] Sic **Bkk.** tacite, et sic est in Vict. Lut. Sylb. **Schn. Cor.** Sed *τούτων* Lips. (qui om. sequens *τῶν*) et edd. reliq. (A 1. 2. B 1. 2. 3. G.) *τούτου* [ω] P 1.; „*τούτων* non cum *νομοθετῶν* sed cum *τοὐναντίον* coniungendum. Orator scripsisset *τούτῳ*, sed non eget calamistro Aristoteles". **Göttl.** — *τῶν νομοθετῶν*] *τῶν* om. Lips. A 1. 2. B 2. 3.

§. 9. *ὁ μὲν δικαστὴς*] *μὲν ὁ δικαστὴς* **Bkk.** contra omnes libros MSS. et edd. — *οἴηται*] *οἴεται* A 2. — *ὁ μὲν γὰρ*] „Nam si petitor" **Aret.** —

δὲ δικαστὴς κρίνει δέκα μνᾶς, ἢ ὁ μὲν πλέον, ὁ δ' ἔλασσον, ἄλλος δὲ πέντε, ὁ δὲ τέτταρας· καὶ τοῦτον δὴ τὸν τρόπον δῆλον ὅτι μεριοῦσιν, οἱ δὲ πάντα καταδικάσουσιν, οἱ δ' οὐδέν. τίς οὖν ὁ τρόπος ἔσται τῆς διαλογῆς τῶν ψήφων; ἔτι δ' οὐδεὶς ἐπιορκεῖν ἀναγκάζει τὸν ἁπλῶς ἀποδικάσαντα ἢ καταδικάσαντα, εἴπερ ἁπλῶς τὸ ἔγκλημα γέγραπται δικαίως· οὐ γὰρ μηδὲν ὀφείλειν ὁ ἀποδικάσας κρίνει, ἀλλὰ τὰς εἴκοσι μνᾶς· ἀλλ' ἐκεῖνος ἤδη ἐπιορκεῖ ὁ καταδικάσας μὴ νομίζων ὀφείλειν τὰς εἴκοσι μνᾶς.

10. Περὶ δὲ τοῦ τοῖς εὑρίσκουσί τι τῇ πόλει συμφέρον ὡς δεῖ γίνεσθαί τινα τιμήν, οὐκ ἔστιν ἀσφαλὲς τὸ νομοθετεῖν, ἀλλ' εὐόφθαλμον ἀκοῦσαι μόνον· ἔχει γὰρ συκοφαντίας καὶ κινήσεις, ἂν τύχῃ, πολιτείας. ἐμπίπτει δ' εἰς ἄλλο πρόβλημα καὶ σκέψιν ἑτέραν· ἀποροῦσι γάρ τινες πότερον βλαβερὸν ἢ συμφέρον ταῖς πόλεσι τὸ κινεῖν τοὺς πατρίους νόμους, ἂν ᾖ τις ἄλλος βελτίων. διόπερ οὐ ῥᾴδιον τῷ λεχθέντι ταχὺ συγχωρεῖν, εἴπερ μὴ συμφέρει κινεῖν. ἐνδέχεται δ' εἰσηγεῖσθαί τινας νόμων λύσιν ἢ πολιτείας ὡς κοινὸν ἀγαθόν.

11. Ἐπεὶ δὲ πεποιήμεθα μνείαν, ἔτι μικρὰ περὶ αὐτοῦ διαστείλασθαι βέλτιον. ἔχει γάρ, ὥςπερ εἴπομεν, ἀπορίαν, καὶ δόξειεν ἂν βέλτιον εἶναι τὸ κινεῖν· ἐπὶ γοῦν τῶν ἄλλων ἐπιστημῶν τοῦτο συνενήνοχεν, οἷον ἰατρικὴ κινηθεῖσα παρὰ τὰ πάτρια καὶ γυμναστικὴ καὶ ὅλως αἱ τέχναι πᾶσαι καὶ αἱ δυνάμεις, ὥςτ' ἐπεὶ μίαν τούτων θετέον καὶ τὴν πολιτικήν, δῆλον ὅτι καὶ περὶ ταύτην ἀναγκαῖον ὁμοίως ἔχειν. σημεῖον δ' ἂν γεγονέναι φαίη τις ἐπ' αὐτῶν τῶν ἔργων· τοὺς γὰρ ἀρχαίους νόμους λίαν ἁπλοῦς εἶναι καὶ βαρβαρικούς. ἐσιδηροφοροῦντό τε γὰρ οἱ Ἕλληνες, καὶ τὰς γυναῖκας ἐωνοῦντο παρ' ἀλλήλων.

12. Ὅσα τε λοιπὰ τῶν ἀρχαίων ἐστί που νομίμων, εὐήθη πάμπαν ἐστίν, οἷον ἐν Κύμῃ περὶ τὰ φονικὰ νόμος ἐστίν, ἂν πλῆθός τι παράσχηται μαρτύρων ὁ διώκων τὸν φόνον τῶν αὑτοῦ συγγενῶν, ἔνοχον εἶναι τῷ φόνῳ τὸν φεύγοντα. ζητοῦσι δ' ὅλως οὐ τὸ πάτριον ἀλλὰ τἀγαθὸν πάντες· εἰκός τε τοὺς πρώτους, εἴτε γηγενεῖς ἦσαν, εἴτ' ἐκ φθορᾶς τινὸς ἐσώθησαν, ὁμοίους εἶναι καὶ τοὺς τυχόντας καὶ τοὺς ἀνοήτους, ὥςπερ καὶ λέγεται κατὰ τῶν γηγενῶν, ὥςτ' ἄτοπον τὸ μένειν ἐν τοῖς τούτων δόγμασιν. πρὸς δὲ τούτοις οὐδὲ τοὺς γεγραμμένους ἐᾶν ἀκινήτους βέλτιον. ὥςπερ γὰρ καὶ περὶ τὰς ἄλλας τέχνας, καὶ τὴν πολιτικὴν τάξιν ἀδύνατον ἀκριβῶς πάντα γραφῆναι· καθόλου γὰρ ἀναγκαῖον γραφῆναι, αἱ δὲ πράξεις περὶ τῶν καθ' ἕκαστόν εἰσιν.

behauptet? denn dieser fordert z. B. zwanzig Minen, der Richter dagegen erkennt auf zehn, oder der Eine mehr, der Andre weniger, ein Andrer fünf, dieser vier; und so werden sie offenbar weiter theilen, die Einen werden zu der ganzen Summe verdammen, die Andern zu gar nichts. Welches Verfahren soll nun bei der Abzählung der Stimmen stattfinden? Auch zwingt ja Niemand den schlechthin Lossprechenden oder Verdammenden, einen Meineid zu begehen, wenn nur die Klage schlechthin gerecht aufgestellt ist. Denn der Lossprechende entscheidet nicht, dass der Verklagte Nichts schulde, sondern nur, dass er die zwanzig Minen nicht schulde. Wohl aber begeht Der einen Meineid, welcher verdammt, obschon er nicht glaubt, dass jener die zwanzig Minen schulde.

10. Was ferner das anbelangt, dass Denen, welche etwas für den Staat Nützliches ausfindig machen, eine Ehre zu Theil werden müsse, so lässt sich da nicht mit Sicherheit ein Gesetz geben, sondern es ist mehr blendend, wenn man es nur so hört. Denn es führt zu Schikanen, und, wenn es das Unglück will, gar zu Antastung der Verfassung. Es führt dies aber auf ein anderes Problem und eine zweite Untersuchung. Es sind nämlich Einige zweifelhaft, ob es für die Staaten schädlich oder zuträglich sei, die althergebrachten Gesetze zu verändern, wenn irgend ein besseres sich darbietet. Deshalb ist es nicht leicht, jenem Vorschlage so ohne Weiteres beizustimmen, wenn es überhaupt nicht zuträglich ist, zu ändern. Es ist ja auch möglich, dass Einige Auflösung der Gesetze oder der Verfassung in Vorschlag bringen als etwas dem Gemeinwesen Gutes.

11. Und da wir der Sache überhaupt Erwähnung gethan, so ist es besser, noch einiges Wenige darüber zu verhandeln. Denn es hat, wie gesagt, sein Bedenken, und das Aendern scheint doch besser zu sein. Bei den übrigen Wissenschaften wenigstens ist dies erspriesslich gewesen, so in der Heilkunst das Abweichen von dem Hergebrachten und in der Gymnastik und überhaupt in allen Künsten und Fertigkeiten; so dass es sich, da als eine solche auch die Staatskunst anzusehen ist, offenbar auch mit dieser ebenso verhalten muss. Einen Beweis dafür könnte Einer aus der Erfahrung selbst hernehmen und sagen, die alten Gesetze seien allzu einfältig und barbarisch. Denn einst gingen die Hellenen auch bewaffnet einher und kauften ihre Weiber von einander.

12. Und was noch irgendwo von dergleichen alten Bräuchen übrig ist, ist gänzlich abgeschmackt; wie z. B. in Kuma über Todtschläge ein Gesetz ist, dass, wenn der Kläger des Mordes eine gewisse Anzahl Zeugen beibringt aus der Zahl seiner Verwandten, der Angeklagte für des Mordes schuldig gelten solle. Ueberhaupt aber streben die Menschen nicht nach dem Hergebrachten, sondern nach dem Guten. Auch ist es wahrscheinlich, dass die ersten Menschen, mögen sie nun Erdgeborne gewesen oder aus irgend einer Zerstörung gerettet worden sein, zu denken sind als gewöhnliche und unverständige, wie man das auch von den Erdgebornen sagt; so dass es thöricht wäre, bei ihren Satzungen zu verharren. Nächst diesem aber ist auch nicht einmal die geschriebenen Gesetze unangetastet zu lassen gerathener. Denn wie in allen andern Künsten ist es auch in der Staatsordnung unmöglich, dass Alles genau schriftlich abgefasst sei. Denn es ist nothwendig, die Abfassung allgemein zu halten, die Handlungen aber betreffen Einzelnheiten.

ὁ μὲν πλέον] πλέους Lips. — τοῦτον δὴ] δὲ pro δὴ Q^b. T^b. Lips. — τὸν τρόπον] τὸν om. Lips. — οἱ δ' οὐδὲν] οἱ δ' οὐ P 1. (sed in marg. est οὐδέν). — εἴπερ ἁπλῶς] ἁπλῶς om. Vet. — δικαίως] om. Aret.

§. 10. περὶ δὲ τοῦ τοῖς] τούτοις pro τοῦ τοῖς, quod est in A 1. (?) A 2. B 2., correxit prim. B 3.; pro περὶ Sylb. in A 2. πρὸς esse dicit. — τὸ κινεῖν] τὸ μὴ κινεῖν Lips. A 1. 2. B 2. 3. G. — ἂν ᾖ τις] ἂν εἴ τις Lips. A 1. 2. B 2. Verum dedit prim. B 3., κἂν εἴ τις G. ex coniectura. — ἄλλος] ἄλλως B 2.

§. 11. ἐπὶ γοῦν] ἐπεὶ γ. A 1. 2. B 2. — ἀναγκαῖον ὁμοίως] ὁμοίως ἀναγκαῖον P 1. 3. — ἐσιδηροφοροῦντό τε γὰρ] ἐσιδηροφόρουν τότε γὰρ Schn. (ex coniectura, ut dicit; sed eadem est scriptura B 3.); ἐσιδηροφόρουν τό, τε γ. B 2.; particulam τε om. Q^b. T^b., ἐσιδηροφόρουν τε γὰρ Cor.

§. 12. εἰκός τε τοὺς] εἰκότες τοὺς Q^b. T^b. — φθορᾶς] φορᾶς A 2. — ἄτοπον τὸ μένειν] Sic scripsit Bkk. ex 7 Codd., sed τὸ om. Q^b. T^b. et edd. et MSS. reliq. omnes. — μένειν ἐν τοῖς] ἐν om. A 1. 2. B 2. B 3. ἐμμένειν τοῖς marg. B 3., quam discrepantiam notavit etiam Montecat. — καὶ τὴν πολιτικὴν] καὶ περὶ τὴν πολιτικὴν B 3.

13. Ἐκ μὲν οὖν τούτων φανερόν, ὅτι κινητέοι καὶ τινὲς καὶ ποτὲ τῶν νόμων εἰσίν, ἄλλον δὲ τρόπον ἐπισκοποῦσιν εὐλαβείας ἂν δόξειεν εἶναι πολλῆς. ὅταν γὰρ ᾖ τὸ μὲν βέλτιον μικρόν, τὸ δ' ἐθίζειν εὐχερῶς λύειν τοὺς νόμους φαῦλον, φανερὸν ὡς ἐατέον ἐνίας ἁμαρτίας καὶ τῶν νομοθετῶν καὶ τῶν ἀρχόντων· οὐ γὰρ τοσοῦτον ὠφελήσεται κινήσας, ὅσον βλαβήσεται τοῖς ἄρχουσιν ἀπειθεῖν ἐθισθείς.

14. Ψεῦδος δὲ καὶ τὸ παράδειγμα τὸ περὶ τῶν τεχνῶν· οὐ γὰρ ὅμοιον τὸ κινεῖν τέχνην καὶ νόμον. ὁ γὰρ νόμος ἰσχὺν οὐδεμίαν ἔχει πρὸς τὸ πείθεσθαι πλὴν παρὰ τὸ ἔθος, τοῦτο δ' οὐ γίνεται εἰ μὴ διὰ χρόνου πλῆθος, ὥστε τὸ ῥᾳδίως μεταβάλλειν ἐκ τῶν ὑπαρχόντων νόμων εἰς ἑτέρους νόμους καινοὺς ἀσθενῆ ποιεῖν ἐστὶ τὴν τοῦ νόμου δύναμιν. ἔτι δ' εἰ καὶ κινητέοι, πότερον καὶ πάντες καὶ ἐν πάσῃ πολιτείᾳ, ἢ οὔ; καὶ πότερον τῷ τυχόντι ἢ τισίν; ταῦτα γὰρ ἔχει μεγάλην διαφοράν. διὸ νῦν μὲν ἀφῶμεν ταύτην τὴν σκέψιν· ἄλλων γάρ ἐστι καιρῶν.

CAP. VI.

Cap. 9. Bkk. Περὶ δὲ τῆς Λακεδαιμονίων πολιτείας καὶ τῆς Κρητικῆς, σχεδὸν δὲ καὶ περὶ τῶν ἄλλων πολιτειῶν, δύο εἰσὶν αἱ σκέψεις, μία μὲν εἴ τι καλῶς ἢ μὴ καλῶς πρὸς τὴν ἀρίστην νενομοθέτηται τάξιν, ἑτέρα δ' εἴ τι πρὸς τὴν ὑπόθεσιν καὶ τὸν τρόπον ὑπεναντίως τῆς προκειμένης αὐτοῖς πολιτείας.

2. Ὅτι μὲν οὖν δεῖ τῇ μελλούσῃ καλῶς πολιτεύεσθαι τὴν τῶν ἀναγκαίων ὑπάρχειν σχολήν, ὁμολογούμενόν ἐστιν· τίνα δὲ τρόπον ὑπάρχειν, οὐ ῥᾴδιον λαβεῖν. ἥ τε γὰρ Θετταλῶν πενεστεία πολλάκις ἐπέθετο τοῖς Θετταλοῖς, ὁμοίως δὲ καὶ τοῖς Λάκωσιν οἱ Εἵλωτες· ὥσπερ γὰρ ἐφεδρεύοντες τοῖς ἀτυχήμασι διατελοῦσιν.

3. Περὶ δὲ τοὺς Κρῆτας οὐδέν πω τοιοῦτον συμβέβηκεν· αἴτιον δ' ἴσως τὸ τὰς γειτνιώσας πόλεις, καίπερ πολεμούσας ἀλλήλαις, μηδεμίαν εἶναι σύμμαχον τοῖς ἀφισταμένοις, διὰ τὸ μὴ συμφέρειν καὶ αὐταῖς κεκτημέναις περιοίκους· τοῖς δὲ Λάκωσιν οἱ γειτνιῶντες ἐχθροὶ πάντες ἦσαν, Ἀργεῖοι καὶ Μεσσήνιοι καὶ Ἀρκάδες, ἐπεὶ καὶ τοῖς Θετταλοῖς κατ' ἀρχὰς ἀφίσταντο διὰ τὸ πολεμεῖν ἔτι τοῖς προσχώροις, Ἀχαιοῖς καὶ Πεῤῥαιβοῖς καὶ Μάγνησιν.

4. Ἔοικε δὲ καὶ εἰ μηδὲν ἕτερον, ἀλλὰ τό γε τῆς ἐπιμελείας ἐργῶδες εἶναι, τίνα δεῖ πρὸς αὐ-

13. Hieraus also ist klar, dass gewisse Gesetze und in gewissen Fällen veränderlich sein müssen. Betrachtet man dagegen die Sache von einer andern Seite, so möchte viel Vorsicht dabei nöthig scheinen. Sobald nämlich das Bessere gering, die Gewöhnung an leichtes Aufheben der Gesetze aber schädlich ist, so muss man offenbar lieber einige Fehler der Gesetzgeber und der Herrschenden bestehen lassen; denn man wird aus der Veränderung nicht soviel gewinnen, als man durch das Gewöhnen an Ungehorsam gegen die Herrscher Schaden haben wird.

14. Auch ist das Beispiel mit den Künsten Trug. Denn es ist nicht dasselbe, eine Kunst ändern und ein Gesetz. Denn das Gesetz hat ganz und gar keine Macht, sich Gehorsam zu verschaffen, ausser von der Gewohnheit, zu dieser aber bedarf es einer Masse von Zeit; so dass also das leichte Uebergehn von den bestehenden Gesetzen zu andern neuen Gesetzen des Gesetzes Kraft schwach machen heisst. Und dann, wenn auch Gesetze zu ändern erlaubt ist, gilt denn das nun für alle (Gesetze), und in jeder Verfassung oder nicht? und darf es Jeder oder nur Gewisse? Denn das macht einen grossen Unterschied. Deshalb wollen wir für jetzt diese Betrachtung fallen lassen; denn sie gehört für eine andere gelegnere Zeit.

Kap. VI.

1. Bei der Verfassung der Lakedaimonier und bei der Kretischen, ja eigentlich auch bei den andern Verfassungen hat man zweierlei zu untersuchen: einmal ob dieses oder jenes Gesetz, auf die beste Verfassung bezogen, gut oder nicht gut gefasst ist; sodann zweitens: ob ein solches, gegen das leitende Princip der von ihnen (den Gesetzgebern) beabsichtigten Verfassung und dessen weitere Ausführung gehalten, im Widerspruch steht.

2. Dass nun ein Staat, um gut verwaltet zu werden, von der Sorge um die nothwendigen Bedürfnisse frei sein müsse, ist allgemein zugegeben. Auf welche Art dies aber zu bewerkstelligen sei, ist nicht leicht ausfindig zu machen. Denn der thessalische Penestenstand ist den Thessalern oft aufsässig gewesen, ingleichen auch den Lakonen die Heloten; denn sie liegen gleichsam fortwährend auf der Lauer, um etwanige Unglücksfälle abzupassen.

3. Bei den Kretern dagegen hat sich noch nie so Etwas zugetragen. Das kommt aber wohl daher, dass die Nachbarstädte, wenn sie sich auch untereinander bekriegen, doch in keinem Falle den Abfallenden Beistand leisten, weil es, da sie ja selbst Periöken besitzen, ihrem Interesse zuwider ist. Den Lakonen aber waren die Nachbarn, Argiver, Messenier und Arkader, sämmtlich Feind. So fielen sie (die Penesten) denn auch von den Thessalern anfänglich deshalb ab, weil jene noch mit den benachbarten Achäern, Perrhäbern und Magneten zu kämpfen hatten.

4. Ferner scheint auch, abgesehn von allem Andern, ihre Behandlung, die Art wie man mit ihnen umzuge-

§. 13. ἂν δόξειεν] ἂν om. T^b. — καὶ τῶν ἀρχόντων] καὶ om. A 2. — ὠφελήσεται κινήσας] ὠφελήσει ὁ κινήσας Aret. („proderit qui corrigere perget quantum nocebit assuefactio superioribus non parendi"); articulum addidit Schn. — τοῖς ἄρχουσιν] (ὁ) τοῖς ἀρχ. Schn. — ἀπειθεῖν ἐθισθεὶς] ἀπειθεῖν εὐθισθεὶς T^b.

§. 14. ὅμοιον τὸ κινεῖν] τὸ om. Vict. 2. Z. Verba γὰρ ὅμοιον τὸ κινεῖν τέχνην καὶ νόμον· ὁ om. πλὴν Q^b. T^b. — πλὴν παρὰ] παρὰ I^b. — νόμων εἰς] νόμον εἰς T^b. — εἰ καὶ κινητέοι] κινητέον Q^b. T^b. A 1. 2. B 2. 3. Z. Vict. 2. Schn. Illud primum invenitur in Lut. Sylb., unde in recent. transiit. — καὶ πάντες] καὶ om. I^b. A 1. 2. B 2. B 3. Cor. — ἢ τισίν] ἢ πᾶσι Göttl. Schn. Cor. ex Lut. Sylb.; nostrum est in A 1. 2. B 2. 3. Vict. 2. (de B 3. male retulit πᾶσι Schn.). — ἄλλων — καιρῶν] ἄλλον — καιρὸν Lips.

Cap. VI. §. 1. πρὸς τὴν ἀρίστην — τάξιν] πρὸς τὴν ἀρετῆς — τάξιν („ad virtutis ordinem") Vet. — ὑπεναντίως] ἢ ὑπεναντίως Schn. ex coni. — αὐτοῖς πολιτείας] αὐτῆς πολιτ. Q^b. T^b. Lips.

§. 2. πενεστεία — ἐπέθετο] πενεστεῖαι — ἐπέθεντο Aret., „inopes" Vet. — οἱ Εἵλωτες] articulum οἱ om. P 1. Lips. — ὥσπερ γὰρ] om. Aret.

§. 3. περιοίκους] „peritos" Aret. (voluit „perichos" ut alibi), „praedia circa domos" Vet. — Μεσσήνιοι] Μεσήνιοι uno σ A 1. 2. I^b. T^b. Lips. et Codd. Göttl., qui recepit et defendit in Adnotat. p. 331. — κατ' ἀρχὰς] καταρχὰς B 2. 3. Vict. 2. G. — ἀφίσταντο] ἐφίσταντο marg. B 3. — Πεῤῥαιβοῖς] Περαιβοῖς P 1. „quae est antiquior scriptura vid. Var. Lectt. in Thucyd. IV. 78. p. 110. Bkk." Goettl.

τοὺς ὁμιλῆσαι τρόπον· ἀνιέμενοί τε γὰρ ὑβρίζουσι καὶ τῶν ἴσων ἀξιοῦσιν ἑαυτοὺς τοῖς κυρίοις, καὶ κακοπαθῶς ζῶντες ἐπιβουλεύουσι καὶ μισοῦσιν· δῆλον οὖν ὡς οὐκ ἐξευρίσκουσι τὸν βέλτιστον τρόπον, οἷς τοῦτο συμβαίνει περὶ τὴν εἱλωτείαν.

5. Ἔτι δ' ἡ περὶ τὰς γυναῖκας ἄνεσις καὶ πρὸς τὴν προαίρεσιν τῆς πολιτείας βλαβερὰ καὶ πρὸς εὐνομίαν πόλεως. ὥσπερ γὰρ οἰκίας μέρος ἀνὴρ καὶ γυνή, δῆλον ὅτι καὶ πόλιν ἐγγὺς τοῦ δίχα διῃρῆσθαι δεῖ νομίζειν εἴς τε τὸ τῶν ἀνδρῶν πλῆθος καὶ τὸ τῶν γυναικῶν, ὥςτ' ἐν ὅσαις πολιτείαις φαύλως ἔχει τὸ περὶ τὰς γυναῖκας, τὸ ἥμισυ τῆς πόλεως εἶναι δεῖ νομίζειν ἀνομοθέτητον. ὅπερ ἐκεῖ συμβέβηκεν· ὅλην γὰρ τὴν πόλιν ὁ νομοθέτης εἶναι βουλόμενος καρτερικήν, κατὰ μὲν τοὺς ἄνδρας φανερός ἐστι τοιοῦτος ὤν, ἐπὶ δὲ τῶν γυναικῶν ἐξημέληκεν· ζῶσι γὰρ ἀκολάστως πρὸς ἅπασαν ἀκολασίαν καὶ τρυφερῶς.

6. Ὥςτ' ἀναγκαῖον ἐν τῇ τοιαύτῃ πολιτείᾳ τιμᾶσθαι τὸν πλοῦτον, ἄλλως τε κἂν τύχωσι γυναικοκρατούμενοι, καθάπερ τὰ πολλὰ τῶν στρατιωτικῶν καὶ πολεμικῶν γενῶν, ἔξω Κελτῶν ἢ κἂν εἴ τινες ἕτεροι φανερῶς τετιμήκασι τὴν πρὸς τοὺς ἄῤῥενας συνουσίαν. ἔοικε γὰρ ὁ μυθολογήσας πρῶτος οὐκ ἀλόγως συζεῦξαι τὸν Ἄρη πρὸς τὴν Ἀφροδίτην· ἢ γὰρ πρὸς τὴν τῶν ἀῤῥένων ὁμιλίαν ἢ πρὸς τὴν τῶν γυναικῶν φαίνονται κατακώχιμοι πάντες οἱ τοιοῦτοι.

7. Διὸ παρὰ τοῖς Λάκωσι τοῦθ' ὑπῆρχεν, καὶ πολλὰ διῳκεῖτο ὑπὸ τῶν γυναικῶν ἐπὶ τῆς ἀρχῆς αὐτῶν. καίτοι τί διαφέρει γυναῖκας ἄρχειν ἢ τοὺς ἄρχοντας ὑπὸ τῶν γυναικῶν ἄρχεσθαι; ταὐτὸ γὰρ συμβαίνει. χρησίμου δ' οὔσης τῆς θρασύτητος πρὸς οὐδὲν τῶν ἐγκυκλίων, ἀλλ' εἴπερ, πρὸς τὸν πόλεμον, βλαβερώταται καὶ πρὸς ταῦθ' αἱ τῶν Λακώνων ἦσαν. ἐδήλωσαν δ' ἐπὶ τῆς Θηβαίων ἐμβολῆς· χρήσιμοι μὲν γὰρ οὐδὲν ἦσαν, ὥσπερ ἐν ἑτέραις πόλεσιν, θόρυβον δὲ παρεῖχον πλείω τῶν πολεμίων.

8. Ἐξ ἀρχῆς μὲν οὖν ἔοικε συμβεβηκέναι τοῖς Λάκωσιν εὐλόγως ἡ τῶν γυναικῶν ἄνεσις. ἔξω γὰρ τῆς οἰκείας διὰ τὰς στρατείας ἀπεξενοῦντο πολὺν χρόνον, πολεμοῦντες τόν τε πρὸς Ἀργείους πόλεμον καὶ πάλιν τὸν πρὸς Ἀρκάδας καὶ Μεσσηνίους· σχολάσαντες δὲ αὐτοὺς μὲν παρεῖχον τῷ νομοθέτῃ προωδοπεποιημένους διὰ τὸν στρατιωτικὸν βίον (πολλὰ γὰρ ἔχει μέρη τῆς ἀρετῆς), τὰς δὲ γυναῖκας φασὶ μὲν ἄγειν ἐπιχειρῆσαι τὸν Λυκοῦργον ἐπὶ τοὺς νόμους, ὡς δ' ἀντέκρουον, ἀποστῆναι πάλιν.

9. Αἰτίαι μὲν οὖν εἰσὶν αὗται τῶν γενομένων, ὥςτε δῆλον ὅτι καὶ ταύτης τῆς ἁμαρτίας. ἀλλ'

hen hat, eine schwierige Sache zu sein. Denn durch schlaffe Zucht einerseits werden sie übermüthig und machen für sich gleiche Ansprüche wie ihre Herren; eine gedrückte Lage andrerseits erzeugt Meuterei und Hass. Es ist also offenbar, dass Die nicht den besten Weg einschlagen, denen dies mit ihrem Helotenstande begegnet.

5. Ferner ist auch in Betreff der Weiber schlaffe Zucht sowohl für die Tendenz der Verfassung verderblich, als für die gesetzliche Ordnung des Staats. Wie nämlich Mann und Weib die Bestandtheile der Familie sind, eben so ist auch der Staat als in zwei gleiche Theile zerfallend anzusehen, in die männliche und weibliche Bevölkerung, so dass in allen Staatsverfassungen, wo die Verhältnisse der Weiber übel geordnet sind, die Hälfte des Staats als gesetzlos anzusehen ist. Und so hat es sich dort gestaltet. Denn indem der Gesetzgeber den ganzen Staat zur Ausdauer und Enthaltsamkeit hinzuleiten beabsichtigt, tritt dies Streben zwar bei den Männern deutlich hervor, im Betreff der Weiber aber ist er nachlässig verfahren; denn sie leben ungezügelt in aller Zügellosigkeit und üppig.

6. Somit muss in solcher Verfassung nothwendig der Reichthum geschätzt werden, zumal wenn sie gar unter Weiberherrschaft stehen, wie die meisten der kriegerischen und streitbaren Völkerstämme; mit Ausnahme der Kelten, und sonst noch einiger andern, welche offenbar den Umgang mit dem männlichen Geschlechte in Ehren halten. Denn es scheint Der, welcher zuerst Mythen verfasste, nicht grundlos den Ares mit der Aphrodite zusammengefesselt zu haben. Denn entweder zu Männer- oder zu Frauenumgang haben alle Solche augenscheinlich einen grossen Hang.

7. Daher fand dies bei den Lakonen statt, und zur Zeit ihrer Hegemonie ward Vieles durch die Weiber zu Stande gebracht. Und doch was ist es für ein Unterschied, ob die Weiber herrschen oder die Herrschenden von den Weibern beherrscht werden? Die Folgen sind ja doch dieselben. Während nun diese unweibliche Dreistigkeit im geregelten Laufe des Lebens zu nichts nütze ist, sondern höchstens noch etwa im Kriege, so zeigten sich auch hierin die lakonischen Weiber von einer höchst verderblichen Seite; wie sie es denn bei dem Einfalle der Thebaner gezeigt haben; denn hülfreich waren sie in gar nichts, wie in andern Staaten, Verwirrung dagegen verursachten sie mehr als die Feinde.

8. In den ältesten Zeiten mag freilich die Ungebundenheit der Weiber als nothwendige Folge eingetreten sein. Denn fern von der Heimath wegen ihrer Feldzüge waren sie (die Lakonen) lange Zeit Fremde im eignen Hause, während sie bald gegen die Argiver, dann wieder gegen die Arkader und Messenier Krieg führten. Allein als sie Ruhe erlangt hatten, erwiesen sie selbst zwar sich dem Gesetzgeber als vorbereitet durch ihr kriegerisches Leben (denn dies umfasst gar manche Theile der Tugend), die Weiber hingegen, heisst es, habe zwar Lykurgos den Gesetzen zu unterwerfen versucht, es aber, als sie sich widerspänstig zeigten, wieder aufgegeben.

9. Sie sind also an Dem, was damals geschah, Schuld, somit offenbar auch an diesem Fehler. Indess wir ha-

§. 4. κακοπαθῶς ζῶντες] κακοπαθοῦντες P 1. (sed nostra scriptura in margine posita) prob. Göttl.

§. 5. πρὸς εὐνομίαν] Sic edid. cum T^b. et rc. I^b. Lips. Aret. A 1. 2. B 2. 3. G. prob. Schn.; πρὸς εὐδαιμονίαν Bkk. c. 7 Codd. Vet. P 1. 2. 3. (sed in omnibus Parisinis suprascript. est εὐνομίαν) Vict. 2. Lut. Sylb. Schn. Cor. — δῆλον ὅτι] δηλονότι P 1. 3. — τρυφερῶς] τρυφῶσι Schn. Cor. sine auctoritate.

§. 6. κἂν τύχωσι] Sic P 1. 2. 3. et Bkk. ex omnibus MSS.; nisi quod in I^b. rc. τυγχάνωσι. Sed idem est suprascript. in P 2. 3. et habent edd. omnes. — στρατιωτικῶν] στρατιωτῶν Q^b. T^b. — ἔξω Κελτῶν] om. Vet. — φανερῶς] om. Vet. — ἢ κἂν εἴ] [ἢ] Schn. del. Cor. qui scripsit καὶ εἴ, „aut si qui" Aret. — Ἄρη] Ἄρην T^b. — κατακώχιμοι] „inhiantes" Vet.

§. 7. διῳκεῖτο] διῴκητο P 1. — ἀλλ' εἴπερ] G. etiam post ἀλλ' comma posuit. ἤπερ scribi voluit Sylb.; „circularium nisi ad bellum" Vet. — χρήσιμοι μὲν γὰρ κ. τ. λ.] „Non enim magis utiles praestiterunt se quam aliarum civitatum mulieres" Aret.; χρήσιμον in aliquot Cdd. vidit Montecat.

§. 8. τῆς οἰκείας] τῆς οἰκίας Lut. Sylb. (et P 1. ut videtur) Aret. Vet. et sic recent. ante Schn. — φασὶ μὲν] μὲν om. P 1.

ἡμεῖς οὐ τοῦτο σκοποῦμεν, τίνι δεῖ συγγνώμην ἔχειν ἢ μὴ ἔχειν, ἀλλὰ περὶ τοῦ ὀρθῶς καὶ μὴ ὀρθῶς. τὰ δὲ περὶ τὰς γυναῖκας ἔχοντα μὴ καλῶς ἔοικεν, ὥσπερ ἐλέχθη καὶ πρότερον, οὐ μόνον ἀπρέπειάν τινα ποιεῖν τῆς πολιτείας αὐτὴν καθ' αὑτήν, ἀλλὰ συμβάλλεσθαί τι πρὸς τὴν φιλοχρηματίαν.

10. Μετὰ γὰρ τὰ νῦν ῥηθέντα τοῖς περὶ τὴν ἀνωμαλίαν τῆς κτήσεως ἐπιτιμήσειεν ἄν τις. τοῖς μὲν γὰρ αὐτῶν συμβέβηκε κεκτῆσθαι πολλὴν λίαν οὐσίαν, τοῖς δὲ πάμπαν μικράν· διόπερ εἰς ὀλίγους ἧκεν ἡ χώρα. τοῦτο δὲ καὶ διὰ τῶν νόμων τέτακται φαύλως· ὠνεῖσθαι μὲν γὰρ ἢ πωλεῖν τὴν ὑπάρχουσαν ἐποίησεν οὐ καλόν, ὀρθῶς ποιήσας, διδόναι δὲ καὶ καταλείπειν ἐξουσίαν ἔδωκε τοῖς βουλομένοις· καίτοι ταὐτὸ συμβαίνειν ἀναγκαῖον ἐκείνως τε καὶ οὕτως.

11. Ἔστι δὲ καὶ τῶν γυναικῶν σχεδὸν τῆς πάσης χώρας τῶν πέντε μερῶν τὰ δύο, τῶν τ' ἐπικλήρων πολλῶν γινομένων, καὶ διὰ τὸ προῖκας διδόναι μεγάλας. καίτοι βέλτιον ἦν μηδεμίαν, ἢ ὀλίγην, ἢ καὶ μετρίαν τετάχθαι. νῦν δ' ἔξεστι δοῦναί τε τὴν ἐπίκληρον ὅτῳ ἂν βούληται· κἂν ἀποθάνῃ μὴ διαθέμενος, ὃν ἂν καταλίπῃ κληρονόμον, οὗτος ᾧ ἂν θέλῃ δίδωσιν. τοιγαροῦν δυναμένης τῆς χώρας χιλίους ἱππεῖς τρέφειν καὶ πεντακοσίους καὶ ὁπλίτας τρισμυρίους, οὐδὲ χίλιοι τὸ πλῆθος ἦσαν.

12. Γέγονε δὲ διὰ τῶν ἔργων αὐτῶν δῆλον ὅτι φαύλως αὐτοῖς εἶχε τὰ περὶ τὴν τάξιν ταύτην· μίαν γὰρ πληγὴν οὐχ ὑπήνεγκεν ἡ πόλις, ἀλλ' ἀπώλετο διὰ τὴν ὀλιγανθρωπίαν. λέγουσι δ' ὡς ἐπὶ μὲν τῶν προτέρων βασιλέων μετεδίδοσαν τῆς πολιτείας, ὥστ' οὐ γίνεσθαι τότε ὀλιγανθρωπίαν πολεμούντων πολὺν χρόνον· καί φασιν εἶναί ποτε τοῖς Σπαρτιάταις καὶ μυρίους. οὐ μὴν ἀλλ' εἴτ' ἐστὶν ἀληθῆ ταῦτα εἴτε μή, βέλτιον τὸ διὰ τῆς κτήσεως ὡμαλισμένης πληθύειν ἀνδρῶν τὴν πόλιν.

13. Ὑπεναντίος δὲ καὶ ὁ περὶ τὴν τεκνοποιίαν νόμος πρὸς ταύτην τὴν διόρθωσιν. βουλόμενος γὰρ ὁ νομοθέτης ὡς πλείστους εἶναι τοὺς Σπαρτιάτας, προάγεται τοὺς πολίτας ὅτι πλείστους ποιεῖσθαι παῖδας· ἔστι γὰρ αὐτοῖς νόμος τὸν μὲν γεννήσαντα τρεῖς υἱοὺς ἄφρουρον εἶναι, τὸν δὲ τέτταρας ἀτελῆ πάντων. καίτοι φανερὸν ὅτι πολλῶν γινομένων, τῆς δὲ χώρας οὕτω διῃρημένης, ἀναγκαῖον πολλοὺς γίνεσθαι πένητας.

14. Ἀλλὰ μὴν καὶ τὰ περὶ τὴν ἐφορείαν ἔχει φαύλως· ἡ γὰρ ἀρχὴ κυρία μὲν αὐτὴ τῶν μεγίστων αὐτοῖς ἐστίν, γίνονται δ' ἐκ τοῦ δήμου πάντες, ὥστε πολλάκις ἐμπίπτουσιν ἄνθρωποι

ben es hier nicht damit zu thun, wer Verzeihung verdiene und wer sie nicht verdiene, sondern mit Dem, was richtig und nicht richtig (angeordnet ist). Diese Mangelhaftigkeit in der Anordnung der Verhältnisse der Weiber scheint aber, wie auch schon früher gesagt wurde, nicht nur der Staatsverfassung an und für sich einen Makel zu verursachen, sondern auch bedeutend die Geldgier zu fördern.

10. Nächst dem so eben Gesagten nämlich könnte Einer mit Fug und Recht das Missverhältniss des Besitzes tadeln. Denn die Einen von ihnen haben mit der Zeit ein sehr grosses Vermögen in Besitz bekommen, die Andern dagegen ein ganz geringes. Deshalb ist denn auch der Grundbesitz an Wenige gekommen. Hierüber sind aber auch die gesetzlichen Bestimmungen schlecht. Denn während er (Lykurgos) es, und zwar mit Recht, zu einem Schimpf machte, den Erbgrundbesitz zu verkaufen oder zu kaufen, verstattete er Jedem, ihn zu verschenken oder zu vermachen, an wen er will. Und doch ist auf diese wie auf jene Weise die Folge dieselbe.

11. So besitzen denn auch die Weiber von dem gesammten Grundbesitz beinahe zwei Fünftel, einmal wegen der vermehrten Anzahl von Erbtöchtern, sodann wegen der Sitte grosse Aussteuern zu geben. Und doch wäre es besser gewesen, wenn bestimmt worden wäre, entweder gar keine, oder eine geringe, oder eine mässige zu geben. Jetzt aber steht es frei, (sogar) die Erbtochter zu geben, wem er (der Vater) will, und stirbt er, ohne darüber verfügt zu haben, so giebt sie Der, welchen er als nächsten Verwandten hinterlässt, wem er will. Während also der Grund und Boden funfzehnhundert Reiter und dreissigtausend Schwerbewaffnete ernähren kann, belief sich ihre Anzahl nicht einmal auf tausend.

12. Es ist aber durch die Thatsachen selbst klar geworden, dass ihre hierauf bezüglichen Einrichtungen fehlerhaft sind; denn einen einzigen Schlag hielt ihr Staat nicht aus, sondern ging zu Grunde wegen seiner geringen Bevölkerung. Nun heisst es zwar, dass sie unter den früheren Königen das Bürgerrecht (auch Andern) verliehen hätten, so dass damals nie Mangel an Menschen eintrat trotz ihrer langwierigen Kriege, und so sollen denn einmal an zehntausend solche Spartiaten gewesen sein. Doch mag dies wahr sein oder nicht, jedenfalls ist es besser, dass die hinreichende Bevölkerung des Staats herrührt von der Gleichheit des Besitzes.

13. Entgegen steht dieser Verbesserung aber auch das Gesetz über die Kindererzeugung. Denn in der Absicht, so viel Spartiaten als möglich zu gewinnen, führt der Gesetzgeber die Bürger dazu an, so viel Kinder als möglich zu erzeugen. Es giebt dort nämlich ein Gesetz, dass, wer drei Söhne erzeugt hat, vom Kriegsdienst frei, wer vier, von allen Leistungen frei sein solle. Und doch springt es in die Augen, dass bei wachsender Bevölkerung und bei solcher Vertheilung des Grundbesitzes nothwendig viele Arme entstehen müssen.

14. Aber auch mit der Ephorie steht es schlecht. Gerade diese Magistratur nämlich hat bei ihnen Gewalt über die wichtigsten Angelegenheiten, und doch werden alle aus dem Volke gewählt; daher gerathen denn je zuweilen ganz arme Menschen in das Collegium, die aus

§. 9. *περὶ τοῦ ὀρθῶς*] τὰ pro τοῦ P 4. Q^b. T^b. — *καὶ μὴ ὀρθῶς*] om. A 1. 2. B 2. 3. — *αὐτὴν καθ' αὑτήν*] αὐτὰ καθ' αὑτὰ („non solum ipsa per se indecentiam quandam facere") Aret. Lamb., αὐτὰ καθ' αὑτὴν Montec. ex Vet., αὐτῆς καθ' αὑτὴν P 1. Vict. 2. Sylb. Schn. Cor. „Nostrum unice verum; construe αὐτήν τινα οὖσαν ἀπρέπειαν" Goettl. — *ἀλλὰ συμβάλλεσθαι*] ἀλλὰ καὶ σ. Cor., sed vid. Herm. ad Vig. p. 837.

§. 10. *πολλὴν λίαν*] λίαν om. P 1. — *τοῖς δὲ πάμπαν*] τῶν δὲ π. P 1. 3. — *καὶ καταλείπειν*] καὶ om. Q^b. καταλιπεῖν P 1. — *ταὐτὸ συμβαίνειν*] τοῦτο συμβαίνειν Bekk. cum Codd. suis omnibus quibus accedunt P 3. A 1. 2. B 2. Lut. Cas. G. Nostram scripturam tuentur Codd. et edd. reliq., et commendatur ea §. 7. extrem.; συμβαίνει pro συμβαίνειν T^b.

§. 11. *πέντε*] πάντων T^b. — *μηδεμίαν*] Sic Sylb. et Bkk. μηδὲ μίαν vulgo. — *ᾧ ἂν θέλῃ*] ἐθέλῃ P 1., quod probat Göttling. — *τρισμυρίους*] τρισχιλίους margo P 1., quod verum putat Göttling.

§. 12. *καὶ μυρίους*] καὶ κυρίως T^b. — *τὸ διὰ τῆς*] τὸ τῆς διὰ T^b.

§. 13. *τοὺς πολίτας*] om. P 1. — *ἄφρουρον*] „immunem a custodia" Aret., sed Vet. prudenter vocabulum graecum posuit.

§. 14. *ἐφορείαν*] ἐφορίαν Vict. 2. et sic perpetuo. — *αὐτὴ — αὐτοῖς*] Vet. omisso αὐτὴ vertit „ipsius". — *τῶν μεγίστων*] τῶν om. P 1., sequens ἐστὶν

σφόδρα πένητες εἰς τὸ ἀρχεῖον, οἳ διὰ τὴν ἀπορίαν ὤνιοι ἦσαν. ἐδήλωσαν δὲ πολλάκις μὲν καὶ πρότερον, καὶ νῦν δὲ ἐν τοῖς Ἀνδρίοις· διαφθαρέντες γὰρ ἀργυρίῳ τινές, ὅσον ἐφ' ἑαυτοῖς, ὅλην τὴν πόλιν ἀπώλεσαν. καὶ διὰ τὸ τὴν ἀρχὴν εἶναι λίαν μεγάλην καὶ ἰσοτύραννον δημαγωγεῖν αὐτοὺς ἠναγκάζοντο καὶ οἱ βασιλεῖς, ὥστε καὶ ταύτῃ συνεπιβλάπτεσθαι τὴν πολιτείαν· δημοκρατία γὰρ ἐξ ἀριστοκρατίας συνέβαινεν.

15. Συνέχει μὲν οὖν τὴν πολιτείαν τὸ ἀρχεῖον τοῦτο· ἡσυχάζει γὰρ ὁ δῆμος διὰ τὸ μετέχειν τῆς μεγίστης ἀρχῆς, ὥστ' εἴτε διὰ τὸν νομοθέτην εἴτε διὰ τύχην τοῦτο συμπέπτωκεν, συμφερόντως ἔχει τοῖς πράγμασιν. δεῖ γὰρ τὴν πολιτείαν τὴν μέλλουσαν σώζεσθαι πάντα βούλεσθαι τὰ μέρη τῆς πόλεως εἶναι καὶ διαμένειν ταὐτά· οἱ μὲν οὖν βασιλεῖς διὰ τὴν αὑτῶν τιμὴν οὕτως ἔχουσιν, οἱ δὲ καλοὶ κἀγαθοὶ διὰ τὴν γερουσίαν (ἆθλον γὰρ ἡ ἀρχὴ αὕτη τῆς ἀρετῆς ἐστίν), ὁ δὲ δῆμος διὰ τὴν ἐφορείαν· καθίσταται γὰρ ἐξ ἁπάντων.

16. Ἀλλ' αἱρετὴν ἔδει τὴν ἀρχὴν εἶναι ταύτην ἐξ ἁπάντων μέν, μὴ τὸν τρόπον δὲ τοῦτον ὃν νῦν· παιδαριώδης γάρ ἐστι λίαν. ἔτι δὲ καὶ κρίσεών εἰσι μεγάλων κύριοι, ὄντες οἱ τυχόντες, διόπερ οὐκ αὐτογνώμονας βέλτιον κρίνειν ἀλλὰ κατὰ τὰ γράμματα καὶ τοὺς νόμους. ἔστι δὲ καὶ ἡ δίαιτα τῶν ἐφόρων οὐχ ὁμολογουμένη τῷ βουλήματι τῆς πόλεως· αὐτὴ μὲν γὰρ ἀνειμένη λίαν ἐστίν, ἐν δὲ τοῖς ἄλλοις μᾶλλον ὑπερβάλλει ἐπὶ τὸ σκληρόν, ὥστε μὴ δύνασθαι καρτερεῖν ἀλλὰ λάθρᾳ τὸν νόμον ἀποδιδράσκοντας ἀπολαύειν τῶν σωματικῶν ἡδονῶν.

17. Ἔχει δὲ καὶ τὰ περὶ τὴν τῶν γερόντων ἀρχὴν οὐ καλῶς αὐτοῖς. ἐπιεικῶν μὲν γὰρ ὄντων καὶ πεπαιδευμένων ἱκανῶς πρὸς ἀνδραγαθίαν τάχ' ἂν εἴπειέ τις συμφέρειν τῇ πόλει. καίτοι τό γε διὰ βίου κυρίους εἶναι κρίσεων μεγάλων ἀμφισβητήσιμον· ἔστι γάρ, ὥσπερ καὶ σώματος, καὶ διανοίας γῆρας. τὸν τρόπον δὲ τοῦτον πεπαιδευμένων ὥστε καὶ τὸν νομοθέτην αὐτὸν ἀπιστεῖν ὡς οὐκ ἀγαθοῖς ἀνδράσιν, οὐκ ἀσφαλές.

18. Φαίνονται δὲ καὶ καταδωροδοκούμενοι καὶ καταχαριζόμενοι πολλὰ τῶν κοινῶν οἱ κεκοινωνηκότες τῆς ἀρχῆς ταύτης. διόπερ βέλτιον αὐτοὺς μὴ ἀνευθύνους εἶναι· νῦν δ' εἰσίν. δόξειε δ' ἂν ἡ τῶν ἐφόρων ἀρχὴ πάσας εὐθύνειν τὰς ἀρχάς· τοῦτο δὲ τῇ ἐφορείᾳ μέγα λίαν τὸ δῶρον, καὶ τὸν τρόπον οὐ τοῦτον λέγομεν διδόναι δεῖν τὰς εὐθύ-

Armuth käuflich waren. Dies haben sie sowohl früher oft bewiesen, als noch neulich erst bei den Andriern; denn Einige, die sich durch Geld bestechen liessen, richteten, wenn es nach ihnen ging, den ganzen Staat zu Grunde. Und weil diese Magistratur gar zu gewaltig und tyrannengleich war, sehen sich selbst die Könige gezwungen, ihnen zu schmeicheln; so dass auch hierdurch der Verfassung ein Schade erwuchs; denn Demokratie entstand aus Aristokratie.

15. Zusammen hält freilich diese Magistratur die Staatsverfassung; denn das Volk verhält sich ruhig, weil es an der höchsten Magistratur Theil hat, so dass dies, sei es nun des Gesetzgebers oder des Zufalls Werk, in alle Wege dem Staate und seinen Verhältnissen zum Nutzen gereicht. Denn es muss die Verfassung, die es auf langen Bestand absicht, darauf ausgehen, dass alle Theile des Staats dieselben seien und bleiben. Die Könige nun entsprechen dieser Forderung wegen der Ehre, welche sie geniessen; die Optimaten wegen der Gerusia (denn dieses Amt ist Preis der Tugend); das Volk endlich wegen der Ephorie, denn zu ihr gelangen Alle.

16. Indess gewählt müsste zu dieser Magistratur zwar aus Allen werden, nur aber nicht auf die Art wie jetzt, denn sie ist gar zu kindisch. Ferner liegen auch die wichtigsten richterlichen Entscheidungen in ihrer Hand, während Sie doch auf's Gerathewohl aus dem grossen Haufen gezogen sind. Daher wäre es besser, wenn sie nicht nach eignem Urtheile entschieden, sondern nach den Vorschriften und den Gesetzen. Auch stimmt die Lebensweise der Ephoren nicht zu dem Geiste und der Absicht der Verfassung. Denn sie ist sehr zwanglos, während sie bei den übrigen zu übermässiger Härte hinneigt, so dass sie es nicht auszuhalten vermögen, sondern heimlich dem Gesetze entschlüpfend die sinnlichen Vergnügungen geniessen.

17. Auch die Verhältnisse der Magistratur der Geronten sind bei ihnen nicht wohl bestellt. Denn wenn es rechtschaffene und hinlänglich zur Männertugend gebildete Leute sind, dann könnte man wohl sagen, sie nützten dem Staate; und doch bleibt immer noch die lebenslängliche Gewalt in wichtigen Entscheidungen bedenklich; denn es giebt so gut wie eine körperliche so auch eine Altersschwäche der Einsicht. Wenn aber die wirkliche Beschaffenheit ihrer Bildung eine solche ist, dass der Gesetzgeber selbst ihnen misstrauen würde, als nicht tüchtigen Männern, da ist's nicht ohne Gefahr.

18. So erscheinen denn auch zum öftern die Inhaber dieser Magistratur als bestochen und über viele Staatsangelegenheiten nach Gunst verfügend. Daher wäre es besser, dass sie nicht unverantwortlich sind; gegenwärtig aber sind sie es. Man kann indess sagen, dass die Magistratur der Ephoren alle andere Magistraturen verantwortlich mache. Hiermit ist aber der Ephorie ein allzugrosser Vorzug gegeben, und die dort gebräuchliche Art und Weise nicht diejenige, in welcher nach

om. P 1. — ὤνιοι ἦσαν] „venales sint" Aret., unde coniecit ὤνιοι ἂν εἴησαν Schn. — Ἀνδρίοις] ἀνδρ. (litera min.) Bkk. in edit. maiori, literam maiusculam primus posuit Victor. eandemque retinuit Bkk. in exemplari minori. ἀνδρείοις P 1., sed in marg. ἀνδρίοις. — δημαγωγεῖν αὐτοὺς ἠναγκάζοντο] αὐτοὺς ἠνάγκαζον Vet., qui utrum in seqq. τοὺς βασιλεῖς an οἱ βασιλ. legerit incertum est. — ἐξ ἀριστοκρατίας] ἀριστοκρατείας I^b. Q^b. T^b. P 2.

§. 15. τὸ ἀρχεῖον] τὸ ἀρχαῖον Q^b. T^b. — διαμένειν ταὐτά] ταὐτά ut ab aliena manu adiectum aut delendum aut in τὴν αὐτὴν mutandum censet Schn. δ' αὐτὴν vel τὴν αὐτὴν malit Cor. — οἱ μὲν οὖν βασ.] οἱ μὲν οὖν οἱ β. Vict. 2. — ἐφορείαν] ἐφορίαν T^b.

§. 16. ἔδει τὴν] ἤδη τὴν P 1. — παιδαριώδης γάρ ἐστι λίαν] om. Aret. — ἔτι δὲ καὶ — καὶ τοὺς νόμους] hoc integrum commation om. Vict. 2. — τὰ γράμματα] τὰ om. I^b. P 1. 2. 3. — καὶ τοὺς νόμους] καὶ κατὰ τοὺς νόμους Vet. — ἔστι δὲ καὶ] καὶ om. pr. I^b. — αὐτὴ μὲν γὰρ] αὕτη Schn. G. e coniectura Sylburgii.

§. 17. ἂν εἴπειέ τις] εἴποιέ Q^b. T^b. A 1. 2. B 2. 3. Vict. 2. Schn. Cor. εἴπειε primus Sylb. εἴποι G. ex P 1. — ἀμφισβητήσιμον] „periculosum est" Aret., „formidabile" Vet. — διανοίας] „civitatis" Aret.

§. 18. φαίνονται — καταχαριζόμενοι] „Videntur autem et velle videri dativi et inutiliter largientes" Vet., qui legisse videtur: φαίνονται δὲ καὶ ἐθέλειν φαίνεσθαι κτλ. — ἀνευθύνους] ἀνευθούνους Bkk.; ἀνυπευθύνους Schn. et Cor. cum Sylb. ut infra cp. VII. §. 6. Sed ipse vidit Schneid. Thucydidem III, 43. habere ἀνεύθυνος. — λέγομεν] λέγωμεν A 2. —

νας. ἔτι δὲ καὶ τὴν αἵρεσιν ἣν ποιοῦνται τῶν γερόντων, κατά τε τὴν κρίσιν ἐστὶ παιδαριώδης, καὶ τὸ αὐτὸν αἰτεῖσθαι τὸν ἀξιωθησόμενον τῆς ἀρχῆς οὐκ ὀρθῶς ἔχει· δεῖ γὰρ καὶ βουλόμενον καὶ μὴ βουλόμενον ἄρχειν τὸν ἄξιον τῆς ἀρχῆς.

unserem Dafürhalten die Rechenschaft gegeben werden muss. — Was ferner die Wahl, welche sie bei den Geronten vornehmen, betrifft, so ist diese einmal hinsichtlich der Beurtheilung kindisch, und dann ist es unschicklich, dass Der, welcher als der Magistratur würdig geachtet werden soll, selbst darum anhalte; denn es muss, er mag wollen oder nicht, herrschen wer der Herrschaft würdig ist.

19. Νῦν δ' ὅπερ καὶ περὶ τὴν ἄλλην πολιτείαν ὁ νομοθέτης φαίνεται ποιῶν· φιλοτίμους γὰρ κατασκευάζων τοὺς πολίτας τούτοις κέχρηται πρὸς τὴν αἵρεσιν τῶν γερόντων. οὐδεὶς γὰρ ἂν ἄρχειν αἰτήσαιτο μὴ φιλότιμος ὤν. καίτοι τῶν γ' ἀδικημάτων ἑκουσίων τὰ πλεῖστα συμβαίνει σχεδὸν διὰ φιλοτιμίαν καὶ διὰ φιλοχρηματίαν τοῖς ἀνθρώποις.

19. So aber sehen wir den Gesetzgeber hier ebenso verfahren, wie auch sonst in andern Theilen der Verfassung: erst macht er nämlich die Bürger ehrgeizig, und dann braucht er sie zur Wahl der Geronten; denn Keiner möchte doch wohl zu herrschen begehren, wenn er nicht ehrgeizig ist. Und doch geschehen von den vorsätzlichen Vergehungen der Menschen die meisten aus Ehrgeiz und Habsucht.

20. Περὶ δὲ βασιλείας, εἰ μὲν μὴ βέλτιόν ἐστιν ὑπάρχειν ταῖς πόλεσιν ἢ βέλτιον, ἄλλος ἔστω λόγος. ἀλλὰ μὴν βέλτιόν γε μὴ καθάπερ νῦν, ἀλλὰ κατὰ τὸν αὐτοῦ βίον ἕκαστον κρίνεσθαι τῶν βασιλέων. ὅτι δ' ὁ νομοθέτης οὐδ' αὐτὸς οἴεται δύνασθαι ποιεῖν καλοὺς κἀγαθούς, δῆλον· ἀπιστεῖ γοῦν ὡς οὐκ οὖσιν ἱκανῶς ἀγαθοῖς ἀνδράσιν· διόπερ ἐξέπεμπον συμπρεσβευτὰς τοὺς ἐχθρούς, καὶ σωτηρίαν ἐνόμιζον τῇ πόλει εἶναι τὸ στασιάζειν τοὺς βασιλεῖς.

20. Von dem Königthume, ob dessen Dasein für die Staaten unvortheilhaft oder vortheilhaft sei, ein andermal. Jedenfalls aber ist es sicherlich besser, nicht wie es jetzt geschieht, sondern dass bei der Wahl eines jeden Königs auf sein eignes Leben gesehen werde. Auch ist es offenbar, dass der Gesetzgeber selbst nicht geglaubt hat, sie zu guten und tüchtigen Männern machen zu können. Wenigstens misstraut er ihnen als nicht vollkommen tugendhaften Männern. Daher gesellte man ihnen als Mitgesandte wohl ihre Feinde zu, und hielt es für ein Heil des Staats, wenn die Könige zwieträchtig wären.

21. Οὐ καλῶς δ' οὐδὲ περὶ τὰ συσσίτια τὰ καλούμενα φιδίτια νενομοθέτηται τῷ καταστήσαντι πρῶτον. ἔδει γὰρ ἀπὸ κοινοῦ μᾶλλον εἶναι τὴν σύνοδον, καθάπερ ἐν Κρήτῃ· παρὰ δὲ τοῖς Λάκωσιν ἕκαστον δεῖ φέρειν, καὶ σφόδρα πενήτων ἐνίων ὄντων καὶ τοῦτο τὸ ἀνάλωμα οὐ δυναμένων δαπανᾶν, ὥστε συμβαίνειν τοὐναντίον τῷ νομοθέτῃ τῆς προαιρέσεως. βούλεται μὲν γὰρ δημοκρατικὸν εἶναι τὸ κατασκεύασμα τῶν συσσιτίων, γίνεται δ' ἥκιστα δημοκρατικὸν οὕτω νενομοθετημένον· μετέχειν μὲν γὰρ οὐ ῥᾴδιον τοῖς λίαν πένησιν, ὅρος δὲ τῆς πολιτείας οὗτός ἐστιν αὐτοῖς ὁ πάτριος, τὸν μὴ δυνάμενον τοῦτο τὸ τέλος φέρειν μὴ μετέχειν αὐτῆς.

21. Auch hinsichtlich der Syssitien oder der sogenannten Phiditien hat Der, welcher sie zuerst einsetzte, nicht die richtigen Bestimmungen getroffen. Denn es hätte vielmehr diese Einrichtung auf Staatskosten sein müssen, wie in Kreta. Bei den Lakonen aber muss Jeder beitragen, obgleich Einige sehr arm sind und diesen Aufwand nicht bestreiten können; so dass das Gegentheil von der Absicht des Gesetzgebers die Folge ist. Nach seiner Absicht nämlich soll die Einrichtung der Syssitien eine demokratische sein. In ihrer gegenwärtigen Form aber ist sie nichts weniger als demokratisch; denn für die sehr Armen ist es nicht leicht, daran Theil zu nehmen, und doch ist dies bei ihnen die herkömmliche Bestimmung des Bürgerrechts, dass wer nicht vermögend sei, diesen Beitrag zu leisten, keinen Theil daran habe.

22. Τῷ δὲ περὶ τοὺς ναυάρχους νόμῳ καὶ ἕτεροί τινες ἐπιτετιμήκασιν, ὀρθῶς ἐπιτιμῶντες· στάσεως γὰρ γίνεται αἴτιος. ἐπὶ γὰρ τοῖς βασιλεῦσιν, οὖσι στρατηγοῖς ἀϊδίοις, ἡ ναυαρχία σχεδὸν ἑτέρα βασιλεία καθέστηκεν. καὶ ὡδὶ δὲ τῇ ὑποθέσει τοῦ νομοθέτου ἐπιτιμήσειεν ἄν τις, ὅπερ καὶ Πλάτων ἐν τοῖς Νόμοις ἐπιτετίμηκεν· πρὸς γὰρ μέρος ἀρετῆς ἡ πᾶσα σύνταξις τῶν νόμων ἐστί, τὴν πολεμικήν· αὕτη γὰρ χρησίμη πρὸς τὸ κρατεῖν. τοιγαροῦν ἐσώζοντο μὲν πολεμοῦντες,

22. Die Gesetzesbestimmung über die Nauarchen haben schon Andere getadelt, und das mit Recht; denn sie ist Anlass zur Uneinigkeit. Neben den Königen nämlich, welche zugleich lebenslänglich Strategen sind, ist in der Nauarchie ein zweites Königthum errichtet. Auch Folgendes kann man endlich der Absicht des Gesetzgebers vorwerfen, wie es ihr denn auch Platon in den Gesetzen vorgeworfen hat. Nur auf einen Theil der Tugend ist nämlich die ganze Verfassung gerichtet, auf die kriegerische; denn diese ist förderlich zum Siege. Also blieben sie denn auch aufrecht, so lange sie kriegten, gingen aber zu Grunde, als sie zur Herrschaft gelangt wa-

---

ἔτι δὲ καὶ] καὶ om. Schn. Cor. — κατά τε] καὶ ante κατά τε add. I[b].

§. 19. τούτοις κέχρηται] τούτῳ (suprascr. τούτοις) P 1. — ἀδικημάτων ἑκουσίων] τῶν, quod ante ἑκουσίων inseruit G., iam est in Vict. 2.; ἑκουσίων om. Vet. Thom. Aret. [ ] cum Montecat. Schn.

§. 20. ἄλλος ἔστω] „alius forsan" Aret., ἔσται coni. Schn. — ἀλλὰ μὴν βέλτιόν γε μὴ καθάπερ νῦν] ἀλλὰ καὶ εἰ βέλτιον, μὴ μέντοι καθάπερ νῦν („sed etsi melius, non sicut nunc") Vet. prob. Schn.; γε om. Q[b]. — τοὺς ἐχθρούς] „Fort. ἐφόρους" Goettl.; non opus est mutatione. — τὸ στασιάζειν] τὸ om. Q[b].

§. 21. οὐδὲ περὶ] οὐδὲ τὰ περὶ P 1. — φιδίτια] Sic Bkk. c. Codd. suis omn., quibus accedunt P 2. 3. A 1. 2. B 2. 3. Lut. Vict. 2. Schn. G. φιλίτια suprascripto φιδίτια P 1. Male Göttl. φειδίτια in edd. omnibus praeter A 1. 2. esse affirmat. — ἀπὸ κοινοῦ] ἀπὸ τοῦ κ. Schn. G. tacite. — ὥςτε συμβαίνειν] συμβαίνει I[b]. P 2. 3. A 1. 2. B 2. 3. G. — μετέχειν αὐτῆς] αὐτοῖς Q[b]. T[b]. A 1. 2. B 2. Lat. G. αὐτῶν I[b]. P 2. Nostram scripturam (quam unice veram esse patet ex cp. VII, §. 4.) prima praebuit B 3. eamque recep. Vict. 2. Sylb. et reliqui.

§. 22. ἐπὶ γὰρ] ἐπεὶ γὰρ A 1. 2. B 2. 3. — ἀϊδίοις] ἀΐδιος Bkk. cum Codd. omnibus. Sed ἀϊδίοις, quod coniectura assecuti erant Vict. et Giph., receperunt Montecat. Schn. Cor. et sic est etiam in P 1. (cuius tamen in margine notata est vulgata ἀΐδιος) et Vet. „sub regibus enim existentibus militaribus sempiternis". Göttl., qui ἀΐδιος praefert, id non ad ναυαρχία sed ad ἑτέρα βασιλεία pertinere arbitratur. — καθέστηκεν] deest in Vet. — τῶν νόμων] τῶν om. B 2. 3. A 1. 2.

ἀπώλλυντο δὲ ἄρξαντες διὰ τὸ μὴ ἐπίστασθαι σχολάζειν μηδὲ ἠσκηκέναι μηδεμίαν ἄσκησιν ἑτέραν κυριωτέραν τῆς πολεμικῆς.

23. Τούτου δὲ ἁμάρτημα οὐκ ἔλαττον· νομίζουσι μὲν γὰρ γίνεσθαι τἀγαθὰ τὰ περιμάχητα δι' ἀρετῆς μᾶλλον ἢ κακίας· καὶ τοῦτο μὲν καλῶς, ὅτι μέντοι ταῦτα κρείττω τῆς ἀρετῆς ὑπολαμβάνουσιν, οὐ καλῶς. φαύλως δ' ἔχει καὶ περὶ τὰ κοινὰ χρήματα τοῖς Σπαρτιάταις. οὔτε γὰρ ἐν τῷ κοινῷ τῆς πόλεώς ἐστιν οὐδὲν πολέμους μεγάλους ἀναγκαζομένοις πολεμεῖν, εἰσφέρουσί τε κακῶς· διὰ γὰρ τὸ τῶν Σπαρτιατῶν εἶναι τὴν πλείστην γῆν οὐκ ἐξετάζουσιν ἀλλήλων τὰς εἰσφοράς. ἀποβέβηκέ τε τοὐναντίον τῷ νομοθέτῃ τοῦ συμφέροντος· τὴν μὲν γὰρ πόλιν πεποίηκεν ἀχρήματον, τοὺς δ' ἰδιώτας φιλοχρημάτους. περὶ μὲν οὖν τῆς Λακεδαιμονίων πολιτείας ἐπὶ τοσοῦτον εἰρήσθω· ταῦτα γάρ ἐστιν, ἃ μάλιστ' ἄν τις ἐπιτιμήσειεν.

ren, weil sie nicht verstanden in Musse zu leben und auch keine andere höhere Kunst als die Kriegskunst geübt hatten.

23. Ein nicht geringerer Fehler ist ferner dieser: sie glauben nämlich, dass die sehr erstrebten Güter vielmehr durch Tugend als durch Schlechtigkeit erworben würden, und soweit ist dies ganz schön; dass sie jedoch diese höher als die Tugend achten, ist nicht schön. Auch mit dem öffentlichen Schatze steht es schlecht bei den Spartiaten. Denn wenn sie in die Nothwendigkeit gerathen, schwere Kriege zu führen, so haben sie nichts in der Staatskasse, und dazu liefern sie die Beiträge noch unordentlich. Denn weil der meiste Acker in den Händen der Spartiaten ist, so sehen sie sich bei Bestimmung der Beiträge einander durch die Finger, und die Folge davon war das Gegentheil des vom Gesetzgeber beabsichtigten Nutzens; denn so hat er den Staat arm, die Einzelnen aber geldgierig gemacht. Soviel nun also über die Lakedaimonische Verfassung, denn dies ist es, was an ihr zumeist Jemand aussetzen konnte.

CAP. VII.

Cap. 10. Bkk. Ἡ δὲ Κρητικὴ πολιτεία πάρεγγυς μέν ἐστι ταύτης, ἔχει δὲ μικρὰ μὲν οὐ χεῖρον, τὸ δὲ πλεῖον ἧττον γλαφυρῶς. καὶ γὰρ ἔοικε καὶ λέγεται δὲ τὰ πλεῖστα μεμιμῆσθαι τὴν Κρητικὴν πολιτείαν ἡ τῶν Λακώνων, τὰ δὲ πλεῖστα τῶν ἀρχαίων ἧττον διήρθρωται τῶν νεωτέρων. φασὶ γὰρ τὸν Λυκοῦργον, ὅτε τὴν ἐπιτροπείαν τὴν Χαρίλλου τοῦ βασιλέως καταλιπὼν ἀπεδήμησεν, τότε τὸν πλεῖστον διατρῖψαι χρόνον περὶ τὴν Κρήτην διὰ τὴν συγγένειαν· ἄποικοι γὰρ οἱ Λύκτιοι τῶν Λακώνων ἦσαν· κατέλαβον δ' οἱ πρὸς τὴν ἀποικίαν ἐλθόντες τὴν τάξιν τῶν νόμων ὑπάρχουσαν ἐν τοῖς τότε κατοικοῦσιν. διὸ καὶ νῦν οἱ περίοικοι τὸν αὐτὸν τρόπον χρῶνται αὐτοῖς, ὡς κατασκευάσαντος Μίνω πρώτου τὴν τάξιν τῶν νόμων.

2. Δοκεῖ δ' ἡ νῆσος καὶ πρὸς τὴν ἀρχὴν τὴν Ἑλληνικὴν πεφυκέναι καὶ κεῖσθαι καλῶς· πάσῃ γὰρ ἐπίκειται τῇ θαλάσσῃ, σχεδὸν τῶν Ἑλλήνων ἱδρυμένων περὶ τὴν θάλασσαν πάντων· ἀπέχει γὰρ τῇ μὲν τῆς Πελλοποννήσου μικρόν, τῇ δὲ τῆς Ἀσίας τοῦ περὶ Τριόπιον τόπου καὶ Ῥόδον. διὸ καὶ τὴν τῆς θαλάσσης ἀρχὴν κατέσχεν ὁ Μίνως, καὶ τὰς νήσους τὰς μὲν ἐχειρώσατο τὰς δ' ᾤκισεν, τέλος δὲ ἐπιθέμενος τῇ Σικελίᾳ τὸν βίον ἐτελεύτησεν ἐκεῖ περὶ Κάμικον.

Kap. VII.

1. Die Kretische Verfassung aber steht der obigen zwar nahe, indess ist in ihr doch, während einiges Wenige nicht schlechter bestellt ist, bei weitem Mehreres weniger ausgebildet. Es ist nämlich sowohl der Wahrscheinlichkeit als der Sage nach die Verfassung der Lakonen in den meisten Stücken eine Nachahmung der Kretischen; die meisten alten Einrichtungen aber sind weniger organisch ausgebildet als die neueren. Es heisst nämlich, dass Lykurgos, als er nach Niederlegung der Vormundschaft über den König Charilaos sich auf Reisen begeben, damals den grössten Theil der Zeit sich in Kreta aufgehalten habe wegen der Verwandtschaft; denn die Lyktier waren Kolonisten der Lakonen. Es nahmen aber die dorthingelangten Kolonisten die bei den damaligen Einwohnern schon vorhandene Ordnung der Gesetze an. Daher denn auch jetzt noch die Periöken in derselben Weise darnach leben, wie zu der Zeit, da Minos zuerst die Ordnung der Gesetze einrichtete.

2. Es scheint aber die Insel für die Hellenische Herrschaft von Natur bestimmt und schön gelegen zu sein. Denn sie liegt im Mittelpunkt aller Meere, und am Meere haben die Hellenen fast alle ihre Wohnsitze aufgeschlagen. Auf der einen Seite nämlich ist sie nur wenig vom Peloponnes, auf der andern von Asien, der Gegend um Triopion and Rhodos entfernt. Daher behauptete Minos auch die Herrschaft des Meeres und eroberte oder kolonisirte die Inseln; zuletzt aber bei der Unternehmung gegen Sicilien endete er dort sein Leben bei Kamikos.

---

primus restituit Lut. Vict. reliq. — *μηδὲ ἠσκηκέναι*] „neque ad virtutem exercitari nulla exercitatione" Vet. addito *πρὸς ἀρετὴν* quod prob. Schn.

§. 23. *τούτου δὲ*] *τοῦτο δ'* Q[b]. et pr. I[b]. Vet. Aret. Lut. Sylb. et recent. ante Schn. perverse! — *γίνεσθαι τἀγαθὰ*] *τἀγαθὰ γίνεσθαι* P 1. — *ἀναγκαζομένοις πολεμεῖν*] Sic Bkk. tacite, sed A 1. 2. Vict. 2. Lut. et Vet. habent *ἀναγκαζομένους*, quod etiam in Codd. Göttl. et in MSS. ante Bkk. excussis omnibus repertum videtur. Correctionis laus non debetur Sylb. (ut dicit G.), qui tacens recepit nostram scripturam, sed accuratissimis B 3. editoribus. Aret. „et magna bella gerere coacti pecunias aegre conferunt", unde Schn. et Cor. scripserunt *πολέμους τε μεγάλους ἀναγκαζόμενοι πολεμεῖν εἰσφέρουσι κακῶς*. — *ἀποβέβηκε τέ*] *συμβέβηκε δὲ* Vet. et in translatione Vict. — *ταῦτα γάρ*] *γὰρ* om. Q[b]. T[b].

Cap. VII. §. 1. *τὸ δὲ πλεῖον*] *τὸ δὲ πλεῖστον* marg. B 3., *τὰ δὲ πλείω* Cor. coni. — *γλαφυρῶς*] „plane" Vet. — *τὴν ἐπιτροπείαν τὴν Χαρίλλου*] *τὴν ἐπιτροπίαν τοῦ* P 1. *Χαρίλλου* Vet. P 1. Aret. A 1. 2. Lut. Sylb. *Χαριλάου* Bas. 1. 2. 3. (B 3. falso Schneiderus *Χαρίλλου* habere dicit) Vict. 2. Schn. Cor. et Bkk. cum omnibus codd. Sic etiam infra lib. V. cp. 10. §. 3. idem Bekk. tacite *Χαριλάου*, in quo etiam Codd. Göttlingiani consentiunt. — *τότε*] om. Vet. — *περὶ τὴν Κρήτην*] *τὴν* om. I[b]. P 2. P 1. — *Λύκτιοι*] *Κρῆτες* Vet. et P 1. (sed in marg. P 1. positum *λύκτιοι*). — *οἱ περίοικοι*] *οἱ* om. Q[b]. — *ὡς κατασκευάσαντος Μίνω πρώτου*] „ut instituit Minos primus" Vet. — *τὴν τάξιν τῶν νόμων*] haec fortasse ab interprete quodam addita sunt.

§. 2. *τῇ θαλάσσῃ*] „scribe *θαλάττῃ* ut solet Aristoteles" Goettling. — *τῆς Πελοποννήσου μικρόν, τῇ δὲ*] om. Q[b]. T[b]. P 3. — *ἐπίκειται*] „supponitur" Vet. — *τῇ μὲν τῆς Πελοποννήσου μικρόν, τῇ δὲ*] Sic Bkk. tacite et P 1. Sed *τῇ μὲν ὀλίγον τῆς Πελοποννήσου, τῇ δὲ* editt. reliquae omnes. — *περὶ Τριόπιον*] „circa Peritropium" Ar. *ἀπὸ τοῦ περὶ Τριόπιον τόπου καὶ Ῥόδου* Vet. — *Ῥόδον*] *Ῥόδου* Vet. P 1. Lut. Lamb. Cas. et „quid cod." ap. Sylburg. — *τὸν βίον*] om. Q[b]. — *περὶ Κάμικον*] *κάμεινον* Q[b]. T[b]. *κάμινον* I[b]. A 1. 2. B 2. 3. (sed in utrinsque margine recta scriptura est notata); *Καμῖνον*

3. Ἔχει δ' ἀνάλογον ἡ Κρητικὴ τάξις πρὸς τὴν Λακωνικήν. γεωργοῦσί τε γὰρ τοῖς μὲν εἵλωτες τοῖς δὲ Κρησὶν οἱ περίοικοι, καὶ συσσίτια παρ' ἀμφοτέροις ἐστίν· καὶ τό γε ἀρχαῖον ἐκάλουν οἱ Λάκωνες οὐ φιδίτια ἀλλ' ἄνδρια, καθάπερ οἱ Κρῆτες, ᾗ καὶ δῆλον ὅτι ἐκεῖθεν ἐλήλυθεν. ἔτι δὲ τῆς πολιτείας ἡ τάξις. οἱ μὲν γὰρ ἔφοροι τὴν αὐτὴν ἔχουσι δύναμιν τοῖς ἐν τῇ Κρήτῃ καλουμένοις κόσμοις, πλὴν οἱ μὲν ἔφοροι πέντε τὸν ἀριθμὸν οἱ δὲ κόσμοι δέκα εἰσίν· οἱ δὲ γέροντες τοῖς γέρουσιν, οὓς καλοῦσιν οἱ Κρῆτες βουλήν, ἴσοι. βασιλεία δὲ πρότερον μὲν ἦν, εἶτα κατέλυσαν οἱ Κρῆτες, καὶ τὴν ἡγεμονίαν οἱ κόσμοι τὴν κατὰ πόλεμον ἔχουσιν.

4. Ἐκκλησίας δὲ μετέχουσι πάντες· κυρία δ' οὐδενός ἐστιν ἀλλ' ἢ συνεπιψηφίσαι τὰ δόξαντα τοῖς γέρουσι καὶ τοῖς κόσμοις. τὰ μὲν οὖν τῶν συσσιτίων ἔχει βέλτιον τοῖς Κρησὶν ἢ τοῖς Λάκωσιν. ἐν μὲν γὰρ Λακεδαίμονι κατὰ κεφαλὴν ἕκαστος εἰςφέρει τὸ τεταγμένον· εἰ δὲ μή, μετέχειν νόμος κωλύει τῆς πολιτείας, καθάπερ εἴρηται καὶ πρότερον. ἐν δὲ Κρήτῃ κοινοτέρως· ἀπὸ πάντων γὰρ τῶν γινομένων καρπῶν τε καὶ βοσκημάτων καὶ ἐκ τῶν δημοσίων καὶ φόρων, οὓς φέρουσιν οἱ περίοικοι, τέτακται μέρος τὸ μὲν πρὸς τοὺς θεοὺς καὶ τὰς κοινὰς λειτουργίας, τὸ δὲ τοῖς συσσιτίοις, ὥστ' ἐκ κοινοῦ τρέφεσθαι πάντας, καὶ γυναῖκας καὶ παῖδας καὶ ἄνδρας.

5. Πρὸς δὲ τὴν ὀλιγοσιτίαν ὡς ὠφέλιμον πολλὰ πεφιλοσόφηκεν ὁ νομοθέτης, καὶ πρὸς τὴν διάζευξιν τῶν γυναικῶν, ἵνα μὴ πολυτεκνῶσι, τὴν πρὸς τοὺς ἄῤῥενας ποιήσας ὁμιλίαν, περὶ ἧς, εἰ φαύλως ἢ μὴ φαύλως, ἕτερος ἔσται τοῦ διασκέψασθαι καιρός. ὅτι δὲ τὰ περὶ τὰ συσσίτια βέλτιον τέτακται τοῖς Κρησὶν ἢ τοῖς Λάκωσι, φανερόν. τὰ δὲ περὶ τοὺς κόσμους ἔτι χεῖρον τῶν ἐφόρων. ὃ μὲν γὰρ ἔχει κακὸν τὸ τῶν ἐφόρων ἀρχεῖον, ὑπάρχει καὶ τούτων· γίνονται γὰρ οἱ τυχόντες· ὃ δ' ἐκεῖ συμφέρει πρὸς τὴν πολιτείαν, ἐνταῦθ' οὐκ ἔστιν. ἐκεῖ μὲν γάρ, διὰ τὸ τὴν αἵρεσιν ἐκ πάντων εἶναι, μετέχων ὁ δῆμος τῆς μεγίστης ἀρχῆς βούλεται μένειν τὴν πολιτείαν· ἐνταῦθα δ' οὐκ ἐξ ἁπάντων αἱροῦνται τοὺς κόσμους ἀλλ' ἐκ τινῶν γενῶν, καὶ τοὺς γέροντας ἐκ τῶν κεκοσμηκότων.

6. Περὶ ὧν τοὺς αὐτοὺς ἄν τις εἴπειε λόγους καὶ περὶ τῶν ἐν Λακεδαίμονι γινομένων· τὸ γὰρ ἀνυπεύθυνον καὶ τὸ διὰ βίου μεῖζόν ἐστι γέρας τῆς ἀξίας αὐτοῖς, καὶ τὸ μὴ κατὰ γράμματα ἄρχειν ἀλλ' αὐτογνώμονας ἐπισφαλές. τὸ δ' ἡσυχάζειν μὴ μετέχοντα τὸν δῆμον οὐδὲν σημεῖον τοῦ τετάχθαι καλῶς· οὐδὲ γὰρ λήμματός

3. Die Kretische Einrichtung nun ist der Lakonischen entsprechend. Denn für jene treiben den Landbau die Heloten, für die Kreter die Periöken, und Syssitien sind bei beiden; und in alter Zeit wenigstens nannten die Lakonen sie nicht Phiditia sondern Andria, wie die Kreter, woraus denn offenbar ist, dass sie von dort herstammen. Ferner auch die Gliederung der Verfassung. Denn die Ephoren haben dieselbe Gewalt wie in Kreta die sogenannten Kosmen; nur dass die Ephoren fünf an der Zahl, die Kosmen aber zehn sind. Die Geronten aber sind den Geronten, welche die Kreter den Rath nennen, gleich. Auch das Königthum bestand wenigstens früher, später aber hoben es die Kreter auf, und die Anführung im Kriege haben die Kosmen.

4. An der Volksversammlung aber haben Alle Theil. Doch entscheidet sie über nichts, sondern bestätigt nur, was die Geronten und die Kosmen beschlossen haben. Die Syssitien jedoch sind bei den Kretern besser eingerichtet, als bei den Lakonen. In Lakedämon nämlich trägt Jeder, Kopf für Kopf, das Festgesetzte bei, wo nicht, so schliesst ihn das Gesetz von der Theilnahme am Staatsbürgerrechte aus, wie das schon früher gesagt ist. In Kreta ist die Einrichtung mehr republikanisch. Nämlich von allen Erzeugnissen an Früchten und Viehheerden, und von den Staatseinkünften und den Steuern, welche die Periöken geben, ist ein Theil bestimmt für die Götter und die gemeinsamen Staatsleistungen, der andere für die Syssitien, so dass auf gemeinschaftliche Kosten Alle ernährt werden, sowohl Frauen als Kinder und Männer.

5. Ferner hat in Bezug auf Mässigkeit im Essen und Trinken, die er für sehr nützlich hält, ihr Gesetzgeber mancherlei weise Einrichtungen ersonnen, sowie auch was die Entfernung der Männer von den Frauen betrifft, um zu grosse Fruchtbarkeit zu verhüten, durch Einführung des Umgangs mit dem männlichen Geschlecht, über dessen Zulässigkeit oder Verwerflichkeit zu einer andern gelegneren Zeit ausführlich gehandelt werden soll. Dass aber die Syssitien bei den Kretern besser eingerichtet sind als bei den Lakonen, ist augenscheinlich. Mit dem Institute der Kosmen aber ist's noch schlechter als mit den Ephoren. Was nämlich die Magistratur der Ephoren Uebles hat, ist auch bei jenen vorhanden. Ihre Wahl hängt nämlich vom Zufall ab. Was aber dort dem gemeinen Wesen nützt, ist hier nicht vorhanden. Denn dort ist, weil die Wahl aus Allen geschieht, das Volk, indem es an der höchsten Magistratur Theil hat, dabei interessirt, dass die Verfassung unverändert bleibe. Dort aber werden nicht aus Allen die Kosmen gewählt, sondern aus gewissen Geschlechtern, und die Geronten aus den gewesenen Kosmen.

6. Hierüber liesse sich dasselbe sagen wie über die Einrichtungen zu Lakedaimon. Die Unverantwortlichkeit nämlich und die Lebenslänglichkeit ist eine Ehre, die ihr Verdienst übersteigt, und das Schalten und Walten nicht nach geschriebenen Bestimmungen sondern nach eigner Einsicht gefährlich. Dass aber das so ausgeschlossene Volk sich ruhig verhält, ist kein Kennzeichen, dass die Einrichtung gut sei; denn von Gelegen-

P 1. 3. *Καμίνου* P 2. Correxit Vict. Var. lect. XVI, 18. „Camerinam" Thom. Aret.

§. 3. *εἵλωτες*] *εἴλωτες* Vict. 2. Lut. Sylb. Vide supra. — *περίοικοι*] „peryci" Aret. — *Λάκωνες*] δ *Λάκωνιες* A 1. 2. B 2. — *φιδίτια*] *φιλίτια* P 1. — *ἄνδρια*] *ἀνδρεῖα* P 1. (sed in marg. *ἄνδρια*) *ἄνδρεια* Vict. 2. Schn. — *καὶ τὴν ἡγεμονίαν*] *καὶ* om. T^b.

§. 4. *ἀλλ' ἢ συνεπιψηφίσαι*] *ἄλλῃ· συνεπιψηφίσαι* P 3. — *τῶν συσσιτίων*] *τῶν* om. Vict. 2. Z. — *ἕκαστος*] *ἕκαστον* I^b. — *ἀπὸ πάντων*] *ὑπὸ πάντων* A 1. 2. B 2. Lut.; *ἀπὸ* omnium prima habet B 3. — *καὶ ἐκ τῶν δημοσίων*] *καὶ* om. G. cum A 1. 2. B 1. 2. 3. Lut. P 1. 2. 3. I^b. „ex publicis et ex iis, quae afferunt periti" Aret.; particulam addidit prim. Vict., eandem del. Hoeck. Cretae III, p. 33. — *καὶ φόρων*] *καὶ* cum Lambino deletum voluit Sylb.

§. 5. *ὅτι δὲ*] *ἔτι δὲ* I^b. — *ὑπάρχει καὶ τούτων*] „in illis" Aret., *ὑπάρχ. καὶ τούτοις* Vet. Schn. Cor.; *τούτῳ* coniecit Sylb. — *ἐνταῦθ' οὐκ*] *ἐνταῦθα οὐκ* P 1. — *διὰ τὸ τὴν*] articulum *τὸ* omitt. Q^b. T^b. — *ἐκ τινῶν γενῶν*] *ἐκ τινῶν γερόντων*, quod in „quibusdam codd." esse dicit Sylburg., est in Vet. et Lut.

§. 6. *εἴπειε*] Sic Bkk. ex septem Codd. cum Vict. 2. Lut. Sylb. Schn. Cor., *εἴποι* P 2. B 3. G., *εἴποις* Q^b. T^b. A 1. A 2. B 2. — *καὶ περὶ τῶν*] *ὧν* pro *τῶν* habent A 1. 2. B 2. — *ἀνυπεύθυνον*] *ἀνυπεύχυνον* Q^b. T^b. — *οὐδὲ γὰρ*] *οὐδὲν* pro *οὐδὲ* I^b. Q^b. T^b. A 1. 2. B 2. Cor. Göttl., qui de *οὐδέν τι* laudat Jacobs. ad Achill. Tat. p. 728; *οὐδὲ* prim. habet B 3. —

τι τοῖς κόσμοις ὥςπερ τοῖς ἐφόροις, πόῤῥω γ' ἀποικοῦσιν ἐν νήσῳ τῶν διαφθερούντων. ἣν δὲ ποιοῦνται τῆς ἁμαρτίας ταύτης ἰατρείαν, ἄτοπος καὶ οὐ πολιτικὴ ἀλλὰ δυναστευτική.

7. Πολλάκις γὰρ ἐκβάλλουσι συστάντες τινὲς τοὺς κόσμους ἢ τῶν συναρχόντων αὐτῶν ἢ τῶν ἰδιωτῶν· ἔξεστι δὲ καὶ μεταξὺ τοῖς κόσμοις ἀπειπεῖν τὴν ἀρχήν. ταῦτα δὴ πάντα βέλτιον γίνεσθαι κατὰ νόμον ἢ κατ' ἀνθρώπων βούλησιν· οὐ γὰρ ἀσφαλὴς ὁ κανών. πάντων δὲ φαυλότατον τὸ τῆς ἀκοσμίας τῶν δυνατῶν, ἣν καθιστᾶσι πολλάκις, ὅταν μὴ δίκας βούλωνται δοῦναι· ᾗ καὶ δῆλον, ὡς ἔχει τι πολιτείας ἡ τάξις, ἀλλ' οὐ πολιτεία ἐστίν, ἀλλὰ δυναστεία μᾶλλον. εἰώθασι δὲ διαλαμβάνοντες τὸν δῆμον καὶ τοὺς φίλους μοναρχίαν ποιεῖν καὶ στασιάζειν καὶ μάχεσθαι πρὸς ἀλλήλους.

8. Καίτοι τί διαφέρει τὸ τοιοῦτον ἢ διά τινος χρόνου μηκέτι πόλιν εἶναι τὴν τοιαύτην, ἀλλὰ λύεσθαι τὴν πολιτικὴν κοινωνίαν; ἔστι δ' ἐπικίνδυνος οὕτως ἔχουσα πόλις τῶν βουλομένων ἐπιτίθεσθαι καὶ δυναμένων. ἀλλά, καθάπερ εἴρηται, σώζεται διὰ τὸν τόπον· ξενηλασίας γὰρ τὸ πόῤῥω πεποίηκεν. διὸ καὶ τὸ τῶν περιοίκων μένει τοῖς Κρησίν, οἱ δ' εἵλωτες ἀφίστανται πολλάκις· οὔτε γὰρ ἐξωτερικῆς ἀρχῆς κοινωνοῦσιν οἱ Κρῆτες, νεωστί τε πόλεμος ξενικὸς διαβέβηκεν εἰς τὴν νῆσον, ὃς πεποίηκε φανερὰν τὴν ἀσθένειαν τῶν ἐκεῖ νόμων. περὶ μὲν οὖν ταύτης εἰρήσθω τοσαῦθ' ἡμῖν τῆς πολιτείας.

CAP. VIII.

Cap. 11. Bkk. 1. Πολιτεύεσθαι δὲ δοκοῦσι καὶ Καρχηδόνιοι καλῶς καὶ πολλὰ περιττῶς πρὸς τοὺς ἄλλους, μάλιστα δ' ἔνια παραπλησίως τοῖς Λάκωσιν. αὗται γὰρ αἱ πολιτεῖαι τρεῖς ἀλλήλαις τε σύνεγγύς πώς εἰσι καὶ τῶν ἄλλων πολὺ διαφέρουσιν, ἥ τε Κρητικὴ καὶ ἡ Λακωνικὴ καὶ τρίτη τούτων ἡ Καρχηδονίων. καὶ πολλὰ τῶν τεταγμένων ἔχει παρ' αὐτοῖς καλῶς. σημεῖον δὲ πολιτείας συντεταγμένης τὸ τὸν δῆμον ἔχουσαν διαμένειν ἐν τῇ τάξει τῆς πολιτείας, καὶ μήτε στάσιν, ὅ τι καὶ ἄξιον εἰπεῖν, γεγενῆσθαι μήτε τύραννον.

2. Ἔχει δὲ παραπλήσια τῇ Λακωνικῇ πολιτείᾳ τὰ μὲν συσσίτια τῶν ἑταιριῶν τοῖς φιδιτίοις, τὴν

heit zur Bereicherung, wie bei den Ephoren, ist für die Kosmen nicht die Rede, da sie auf einer Insel zu entlegen wohnen von Denen, durch die sie bestochen werden könnten. Das Heilmittel aber, welches sie gegen diesen Verfassungsfehler anwenden, ist unzweckmässig und nicht ein republikanisches, sondern für eine Gewaltherrschaft passendes.

7. Jezuweilen nämlich thun sich einige von ihren Collegen oder auch Privatpersonen zusammen und vertreiben die Kosmen. Auch steht es mitten in ihrer Amtsführung den Kosmen frei sie niederzulegen. Besser aber geschähe offenbar dieses Alles nach gesetzlicher Bestimmung als nach Willkühr der Menschen; denn die Richtschnur ist nicht zuverlässig. Das Allerschlimmste aber ist die Suspension des Kosmats durch die Mächtigen, welche sie oft veranstalten, wenn sie sich nicht den richterlichen Entscheidungen fügen wollen. Woraus denn auch offenbar ist, dass die dortige Ordnung der Dinge etwas Verfassungsähnliches hat, aber doch keine Verfassung ist, sondern vielmehr Gewaltherrschaft (der Mächtigen). Es kommt auch wohl vor, dass sie ihre Freunde und ihre Parthei im Volke um sich sammelnd eine Alleinherrschaft gründen und sich im bürgerlichen Aufruhr einander befehden.

8. Und was ist dies dann anders, als dass für eine gewisse Zeit ein solcher Staat gar keiner, sondern die bürgerliche Vereinigung im Zustande der Auflösung befindlich ist? Ein Staat aber, mit dem es so steht, ist leicht Beute Derer, welche ihn angreifen wollen und können; indess, wie schon gesagt, er wird geschützt durch seine Lage. Denn die Fremdenvertreibung wird bei ihnen durch ihre örtliche Abgesondertheit ersetzt. Daher bleiben auch die Periökenverhältnisse bei den Kretern ungestört, während die Heloten oft abfallen. Denn erstlich kommen die Kreter mit keiner auswärtigen Macht in Berührung, und dann hat der neulich auf die Insel herübergezogene Fremdenkrieg die Schwäche der dortigen Gesetze an den Tag gebracht. Und hiermit genug von dieser Verfassung.

Kap. VIII.

1. Es gelten aber auch die Karthager dafür, eine gute Verfassung und Vieles vor den Andern vorauszuhaben, besonders aber einige Institute, ähnlich wie die Lakonen. Diese drei Verfassungen nämlich stehen sich gewissermassen eben so nahe untereinander, als sie von den andern sehr verschieden sind, die Kretische, die Lakonische, und als dritte dazu die der Karthager. Und allerdings sind manche Einrichtungen bei ihnen wohlbestellt. Beweis aber für die wohlorganisirte Verfassung ist, dass, während ein demokratisches Element in ihr vorhanden ist, die Einrichtung der Verfassung sich doch einer fortwährenden Dauer erfreut, und weder ein nur irgend der Rede werther Aufstand sich erhoben hat, noch ein Tyrann.

2. Aehnlich der Lakonischen Verfassung sind in ihr zunächst die Syssitien der Genossenschaften den Phidi-

---

λήμματός τι] λήμματος μέτεστι Cor. — διαφθερούντων] διαφερόντων, quod in „quibusdam codd." esse dicit Sylburg., praebent Vet. Aret. Lut.; in B 2. est διαφθερόντων.

§. 7. ταῦτα δὴ πάντα] ταῦτα δὴ παρέστι (sic) P 1. — κατ' ἀνθρώπων] Sic Bkk. tacite, eademque scriptura est in P 1. Vulgo κατὰ ἀνθρώπων. — τῶν δυνατῶν] haec verba post δοῦναι posita sunt in P 1. Vet. Lut. Sylb. Lamb. Heins. Schn. Cor., τῶν δυνατῶν ibi habet P 1. „An voluit τῶν δυναστειῶν?" Goettling. — καθιστᾶσι] συνιστᾶσι scripsit Goettl. de coniectura. συστᾶσι A 1. 2. B 2. B 3. Aret. Nostra scriptura est in Vict. Lut. Sylb. rell. Sed Vet. totum locum convertit hunc in modum: „id quod akosmeae, quam constituunt frequenter cum non sententias velint dare potentum". — οὐ πολιτεία ἐστὶν] ἐστι B 2. B 3.

§. 8. καίτοι τί] τί omiss. in A 1. 2. B 2. — πόλις τῶν βουλομένων] πόλις ὄντων τῶν β. B 3. πόλις τοῖς βουλομένοις — δυναμένοις P 1. — ξενηλασίας] ξενιλασίας B 3. — τὸ πόῤῥω] τὸ om. Q[b]. T[b]. — ὃς πεποίηκε] ὃ πεποίηκε, quod ex Sylb. transiit in recent. ante Schn. omnes, petitum est ex sola Lut. (nam B 3. habet ὅς, non ὅ, ut dicit Schn.).

Cap. VIII. §. 1. ἡ Καρχηδονίων] sic Bkk. c. 7 Codd. Vict. 2. Z.; ἡ τῶν Καρχηδονίων I[b]. T[b]. P 1. 2. A 1. 2. B 2. 3. Lut. Sylb. (qui uncis inclusit articulum) Schn. Cor. G.; post Καρχηδονίων male comma restituit Bkk., quod in punctum mutav. Schn. Cor. G. — πολιτείας συντεταγμένης] πολιτείας εὖ συντεταγμένης Schn. ex Aret. Cor. Kluge (de rep. Carth. p. 24.). Idemque expresserunt interpretes latini omnes. cf. cp. 7. §. 6. — δῆμον ἔχουσαν] ἔχουσαν om. P 1., quod non male omissum esse dicit Göttl. in Adnotat. et „delendum esse" censet in Excursu de Republica Carthagin. p. 482.; Aretin.: „quod populus permaneat in constitutione reipublicae". — ἐν τῇ] ἐν in litura est in P 1. 2. — γεγενῆσθαι] γενέσθαι B 2. 3.

§. 2. φιδιτίοις] συσσιτίοις Schn. Cor. sine ulla auctoritate, quod temere a se receptum dicit G.; φιλιτίοις;

δὲ τῶν ἑκατὸν καὶ τεττάρων ἀρχὴν τοῖς ἐφόροις (πλὴν οὐ χεῖρον οἱ μὲν ἐκ τῶν τυχόντων εἰσί, ταύτην δ' αἱροῦνται τὴν ἀρχὴν ἀριστίνδην), τοὺς δὲ βασιλεῖς καὶ τὴν γερουσίαν ἀνάλογον τοῖς ἐκεῖ βασιλεῦσι καὶ γέρουσιν. καὶ βέλτιον δὲ τοὺς βασιλεῖς μήτε κατὰ τὸ αὐτὸ εἶναι γένος, μηδὲ τοῦτο τὸ τυχόν, εἴτε διαφέρον ἐκ τούτων αἱρετοὺς μᾶλλον ἢ καθ' ἡλικίαν· μεγάλων γὰρ κύριοι καθεστῶτες, ἂν εὐτελεῖς ὦσι, μεγάλα βλάπτουσι καὶ ἔβλαψαν ἤδη τὴν πόλιν τὴν τῶν Λακεδαιμονίων.

3. *Τὰ μὲν οὖν πλεῖστα τῶν ἐπιτιμηθέντων ἂν διὰ τὰς παρεκβάσεις κοινὰ τυγχάνει πάσαις ὄντα ταῖς εἰρημέναις πολιτείαις· τῶν δὲ πρὸς τὴν ὑπόθεσιν τῆς ἀριστοκρατίας καὶ τῆς πολιτείας τὰ μὲν εἰς δῆμον ἐκκλίνει μᾶλλον, τὰ δ' εἰς ὀλιγαρχίαν. τοῦ μὲν γὰρ τὰ μὲν προσάγειν τὰ δὲ μὴ προσάγειν πρὸς τὸν δῆμον οἱ βασιλεῖς κύριοι μετὰ τῶν γερόντων, ἂν ὁμογνωμονῶσι πάντες· εἰ δὲ μή, καὶ τούτων ὁ δῆμος. ἃ δ' ἂν εἰσφέρωσιν οὗτοι, οὐ διακοῦσαι μόνον ἀποδιδόασι τῷ δήμῳ τὰ δόξαντα τοῖς ἄρχουσιν, ἀλλὰ κύριοι κρίνειν εἰσὶ καὶ τῷ βουλομένῳ τοῖς εἰσφερομένοις ἀντειπεῖν ἔξεστιν, ὅπερ ἐν ταῖς ἑτέραις πολιτείαις οὐκ ἔστιν.*

4. *Τὸ δὲ τὰς πενταρχίας κυρίας οὔσας πολλῶν καὶ μεγάλων ὑφ' αὑτῶν αἱρετὰς εἶναι, καὶ τὴν τῶν ἑκατὸν ταύτας αἱρεῖσθαι τὴν μεγίστην ἀρχήν, ἔτι δὲ ταύτας πλείονα ἄρχειν χρόνον τῶν ἄλλων (καὶ γὰρ ἐξεληλυθότες ἄρχουσι καὶ μέλλοντες) ὀλιγαρχικόν, τὸ δ' ἀμίσθους καὶ μὴ κληρωτὰς ἀριστοκρατικὸν θετέον, καὶ εἴ τι τοιοῦτον ἕτερον· καὶ τὸ τὰς δίκας ὑπὸ τῶν ἀρχείων δικάζεσθαι πάσας, καὶ μὴ ἄλλας ὑπ' ἄλλων, καθάπερ ἐν Λακεδαίμονι.*

5. *Παρεκβαίνει δὲ τῆς ἀριστοκρατίας ἡ τάξις τῶν Καρχηδονίων μάλιστα πρὸς τὴν ὀλιγαρχίαν κατά τινα διάνοιαν, ἣ συνδοκεῖ τοῖς πολλοῖς· οὐ γὰρ μόνον ἀριστίνδην ἀλλὰ καὶ πλουτίνδην οἴονται δεῖν αἱρεῖσθαι τοὺς ἄρχοντας· ἀδύνατον γὰρ τὸν ἀπορροῦντα καλῶς ἄρχειν καὶ σχολάζειν. εἴπερ οὖν*

tien, sodann die Magistratur der Hundert und vier den Ephoren (nur ist das ein Vorzug, dass sie, während diese aus Allen und Jeden genommen sind, jene Magistratur aus den Tüchtigsten und Verdientesten wählen), die Könige endlich und der Senat entsprechen den Lakonischen Königen und Geronten. Und hier ist es besser, dass die Könige weder immer aus einem und demselben Geschlecht, noch aus jedem beliebigen, und dass, wenn ein ausgezeichnetes vorhanden, sie aus dessen Gliedern durch Wahl vielmehr, als nach dem Alter genommen werden. Denn mit grosser Machtvollkommenheit ausgerüstet, richten sie, wenn sie gemeine und niedrige Menschen sind, grosses Unheil an, und haben auch schon dem Staate der Lakedaimonier grosses Unheil angerichtet.

3. Der grösste Theil nun von Dem, was wegen der Abweichungen dem Tadel unterliegt, ist den genannten Staatsverfassungen allen gemein. Von den Institutionen aber, welche auf das Ziel der Aristokratie und der eigentlich so zu nennenden Verfassung gerichtet sind, neigen die einen mehr zur Demokratie hin, die andern zur Oligarchie. Eine Sache vor das Volk zu bringen oder nicht vorzubringen, hängt nämlich von den Königen ab, vereint mit den Geronten, wenn Alle einer Meinung sind. Wo nicht, so fällt die Entscheidung über die betreffenden Gegenstände an das Volk. Was Jene aber vor das Volk bringen, das geben sie ihm nicht blos anzuhören als Beschluss der Obrigkeiten, sondern es hat auch Macht, nach Prüfung zu entscheiden, und Jedem, der Lust hat, steht es frei, den Vortragenden zu widersprechen, was in den andern Verfassungen nicht stattfindet.

4. Dass aber die Pentarchien bei so ausgedehnter und grosser Macht durch sich selbst gewählt werden, und dass sie den Rath der Hundert, diese höchste Magistratur, wählen, endlich dass sie längere Zeit, als die andern Magistrate, regieren (sie üben nämlich sowohl nach ihrem Austritt, als auch während ihres Austrittes obrigkeitliche Funktionen aus), ist oligarchisch; dass sie aber unbesoldet und nicht durch's Loos gewählt sind, ist als aristokratisch anzusehen, und so manches Andere der Art; wie auch, dass die Processe insgesammt von allen Behörden gerichtet werden, und nicht verschiedene von verschiedenen, wie in Lakedaimon.

5. Es weicht aber von der Aristokratie die Verfassung der Karthager vorzüglich zur Oligarchie ab, zufolge einer Ansicht, welche bei sehr Vielen Beifall findet. Sie meinen nämlich, nicht allein nach geistiger Tüchtigkeit, sondern auch nach Reichthum müssten die Magistraten gewählt werden; denn unmöglich könne der Unvermögende ordentlich sein Amt verwalten und die

---

suprascripto δ P 1. ut cp. 7. §. 3. — *τὴν δὲ τῶν ἑκατὸν — ἐφόροις*] om. Lips. — (*πλὴν οὐ χεῖρον οἱ μὲν ἐκ τῶν τυχ. εἰσί, — ἀριστίνδην*)] Sic Bkk. sine ulla Codd. suor. discrepantia, primus addens parenth. signa. Reliqui omnes colon habent post *χεῖρον*, et in proximis *οἱ μὲν γὰρ* etc.; *γὰρ* tamen a Bekkero omissum abest etiam ab A 1. B 2.; *οἱ μὲν γὰρ ἔφοροι* est in B 3.; post *ἀριστίνδην* commatis loco maiorem interp. habent edd. omnes praeter B 2. Bkk. — *τοῖς ἐκεῖ*] *τοὺς ἐκεῖ* Q^b. T^b. — *καὶ βέλτιον δὲ τοὺς βασιλεῖς*] *τῷ* ante *τοὺς* inseruit Cor. — *μήτε κατὰ τὸ αὐτὸ εἶναι γένος*] *μήτε καθ' αὑτὸ εἶναι γένος* margo P 1. Vet. — *μηδὲ τοῦτο*] *μήτε* Schn. Cor. *μὴ δὲ* A 1. Vict. 2. ut solet. *τοῦτο* om. Cor. — *εἴτε διαφέρον*] *ἀλλ' εἴ τι δ.* G. ex coniect.; *ἀλλὰ* quod addidit G. est etiam in Vet. („sed quod differens"), *ἀλλὰ διαφέρον* Cor., *εἴτε διαφέρων* B 3. operar. vitio; *ἢ διαφέρον* Aret. P 1. maiore interp. posita post *διαφέρον*. Idem tamen in marg. habet *εἴτε διαφέρον*. Kluge l. l. p. 59. *εἰ δὲ διαφέρον* scribendum censet. — *ἐκ τούτων αἱρετοὺς μᾶλλον ἢ*] *τοὺς δὲ γέροντας αἱρετοὺς μᾶλλον ἢ* Cor. ex Schn. coni., *μᾶλλον* om. G. cum A 1. 2. B 2. 3. Totum locum vertit Vet.: „Et melius autem reges neque per se esse genus, neque hoc quod contingens sed quod differens ex iis eligibiles magis quam secundum aetatem". Aret.: „Melius autem quod imperatorem non secundum genus neque ex vili aut praecellenti magis eligant quam secundum virtutem". — *Λακεδαιμονίων*] *Καρχηδονίων*, quod ex Vet. affert Montecat., et in q. c. esse dicit Sylb., legitur in Lut.

§. 3. *τῶν δὲ*] G. post *δὲ* et post sequens *πολιτείας* commate distinguit, ad *τῶν δὲ* supplens *ἐπιτιμητέων*. — *τὰ μὲν προσάγειν τὰ δὲ μή*] Sic scripsimus c. P 1. B 3. Cor. prob. G., *τὸ μὲν — τὸ δὲ* Bkk. cum 7 Codd. Lut. Sylb. recent. Schn. G.; *τὰ μὲν — τὸ δὲ* I^b. Q^b. A 1. 2. B 2. Vict. 2. Z. De B 3., ut centies, falsa retulit Schn. — *πάντες*] om. P 2. — *καὶ τούτων*] *καὶ τοῦτον* Q^b. — *εἰσφέρωσιν*] *εἰσφέρουσιν* Q^b. T^b. et pr. I^b. P 1. A 1. 2. B 2. Vict. Lut. Non Sylb. prim. correxit (ut dicit G.), sed B 3. — *εἰσφερομένοις*] *φερομένοις* A 2.

§. 4. *καὶ μέλλοντες*] *καὶ μένοντες* ex Sylb. coniectura Schn. Cor., probante Hermanno ad Vig. p. 263. et Hüllmanno (Staatsrecht d. Alterth. p. 208.). Sed vulgatam tuentur Göttl. in Excursu III. p. 486—487. et Kluge l. l. p. 128 sqq., sed hic diversa ratione. — *τὸ δ' ἀμίσθους*] *τοὺς δ' ἀμ.* T^b., *τὰς δ' ἀμ.* P 1. in marg. — *ὑπὸ τῶν ἀρχείων*] *πάντων* post *ἀρχείων* addit B 3. et sic Aret. („iudicia quoque omnia a cunctis iudicari"), quam scripturam, fortasse unice veram, probat Conring. et Kluge p. 156. itemque Odofr. Müller. Dor. II, p. 115.; *ὑπὸ τῶν αὐτῶν ἀρχείων* coniectura Victorii non spernenda; *ὑπό τινων ἀρχείων* coniecit Cor. — *δικάζεσθαι*] *δοξάζεσθαι* I^b.

§. 5. *ἣ συνδοκεῖ*] Sic Bkk. ex 8 Codd. et ante

το μὲν αἱρεῖσθαι πλουτίνδην ὀλιγαρχικόν, τὸ δὲ κατ' ἀρετὴν ἀριστοκρατικόν, αὕτη τις ἂν εἴη τάξις τρίτη, καθ' ἥνπερ συντέτακται καὶ τοῖς Καρχηδονίοις τὰ περὶ τὴν πολιτείαν· αἱροῦνται γὰρ εἰς δύο ταῦτα βλέποντες, καὶ μάλιστα τὰς μεγίστας, τούς τε βασιλεῖς καὶ τοὺς στρατηγούς.

6. Δεῖ δὲ νομίζειν ἁμάρτημα νομοθέτου τὴν παρέκβασιν εἶναι τῆς ἀριστοκρατίας ταύτην· ἐξ ἀρχῆς γὰρ τοῦθ' ὁρᾶν ἐστὶ τῶν ἀναγκαιοτάτων, ὅπως οἱ βέλτιστοι δύνωνται σχολάζειν καὶ μηδὲν ἀσχημονεῖν, μὴ μόνον ἄρχοντες ἀλλὰ μηδ' ἰδιωτεύοντες. εἰ δὲ δεῖ βλέπειν καὶ πρὸς εὐπορίαν χάριν σχολῆς, φαῦλον τὸ τὰς μεγίστας ὠνητὰς εἶναι τῶν ἀρχῶν, τήν τε βασιλείαν καὶ τὴν στρατηγίαν. ἔντιμον γὰρ ὁ νόμος οὗτος ποιεῖ τὸν πλοῦτον μᾶλλον τῆς ἀρετῆς, καὶ τὴν πόλιν ὅλην φιλοχρήματον.

7. Ὅ,τι δ' ἂν ὑπολάβῃ τίμιον εἶναι τὸ κύριον, ἀνάγκη καὶ τὴν τῶν ἄλλων πολιτῶν δόξαν ἀκολουθεῖν τούτοις. ὅπου δὲ μὴ μάλιστα ἀρετὴ τιμᾶται, ταύτην οὐχ οἷόν τ' εἶναι βεβαίως ἀριστοκρατικὴν πολιτείαν. ἐθίζεσθαι δ' εὔλογον κερδαίνειν τοὺς ὠνουμένους, ὅταν δαπανήσαντες ἄρχωσιν· ἄτοπον γὰρ εἰ πένης μὲν ὢν ἐπιεικὴς δὲ βουλήσεται κερδαίνειν, φαυλότερος δ' ὢν οὐ βουλήσεται δαπανήσας. διὸ δεῖ τοὺς δυναμένους ἀριστ-αρχεῖν, τούτους ἄρχειν. βέλτιον δ', εἰ καὶ προεῖτο τὴν ἀπορίαν τῶν ἐπιεικῶν ὁ νομοθέτης, ἀλλ' ἀρχόντων γε ἐπιμελεῖσθαι τῆς σχολῆς.

8. Φαῦλον δ' ἂν δόξειεν εἶναι καὶ τὸ πλείους ἀρχὰς τὸν αὐτὸν ἄρχειν, ὅπερ εὐδοκιμεῖ παρὰ τοῖς Καρχηδονίοις. ἓν γὰρ ὑφ' ἑνὸς ἔργον ἄριστ' ἀποτελεῖται. δεῖ δ' ὅπως γίνηται τοῦθ' ὁρᾶν τὸν νομοθέτην, καὶ μὴ προστάττειν τὸν αὐτὸν αὐλεῖν καὶ σκυτοτομεῖν. ὥσθ' ὅπου μὴ μικρὰ πόλις, πολιτικώτερον πλείονας μετέχειν τῶν ἀρχῶν, καὶ δημοτικώτερον· κοινότερόν τε γάρ, καθάπερ εἴπομεν, καὶ κάλλιον ἕκαστον ἀποτελεῖται τῶν αὐτῶν καὶ θᾶττον. δῆλον δὲ τοῦτο ἐπὶ τῶν πολεμικῶν καὶ τῶν ναυτικῶν· ἐν τούτοις γὰρ ἀμφοτέροις διὰ πάντων ὡς εἰπεῖν διελήλυθε τὸ ἄρχειν καὶ τὸ ἄρχεσθαι.

9. Ὀλιγαρχικῆς δ' οὔσης τῆς πολιτείας ἄριστα ἐκφεύγουσι τῷ πλουτεῖν ἀεί τι τοῦ δήμου μέρος ἐκπέμποντες ἐπὶ τὰς πόλεις. τούτῳ γὰρ ἰῶνται καὶ ποιοῦσι μόνιμον τὴν πολιτείαν. ἀλλὰ τουτί

gehörige Musse haben. Wenn nun die Wahl nach Reichthum oligarchisch, die hingegen nach geistiger Tüchtigkeit aristokratisch ist, so dürfte sich als eine dritte Einrichtung folgende ergeben, nach welcher eben das öffentliche Wesen bei den Karthagern geordnet ist. Sie wählen nämlich mit Rücksicht auf Beides, und zwar gerade die wichtigsten Magistraturen, die Könige und die Feldherren.

6. Man hat aber anzunehmen, dass diese Ausartung der Aristokratie ein Fehler des Gesetzgebers sei. Denn von vorn herein gehört es zu den nothwendigsten Erfordernissen, darauf zu sehen, dass die Besten Musse haben, und nicht allein in einem öffentlichen Amte, sondern auch als Privatmänner sich nicht in unwürdiger Lage befinden. Wenn man aber auch auf Wohlhabenheit, der Musse wegen, sehen muss, so ist es doch ein Uebelstand, dass die höchsten unter den Magistraturen, die Königs- und Feldherrnwürde, käuflich sind. Denn diese Einrichtung macht den Reichthum mehr geschätzt als die Tugend, und die ganze Stadt geldsüchtig.

7. Denn was in den Augen der Obersten als werthvoll gilt, darin muss sich nothwendig auch die Ansicht der übrigen Bürger diesen anschliessen. Wo aber die Tugend nicht am höchsten geachtet wird, solche Verfassung kann keine dauerhaft aristokratische sein. Ferner liegt es am Tage, dass sich die Käufer, da ihnen die Aemter so viel kosten, daran gewöhnen, ihren Vortheil zu suchen. Denn es ist undenkbar, dass, während ein armer, aber dabei rechtschaffner Mann seinen Vortheil suchen wird, ein schlechterer, der noch dazu Kostenaufwand gehabt hat, es nicht wollen sollte. Folglich müssen Die herrschen, die auf's Beste zu herrschen fähig sind. Jedenfalls aber wäre es besser gewesen, dass der Gesetzgeber, wenn er auch gegen die dürftige Lage der Tüchtigen im Allgemeinen keine Vorkehrungen traf, sich doch wenigstens, wenn sie eine Magistratur bekleideten, um ihre sorgenfreie Stellung bekümmert hätte.

8. Als ein Uebelstand dürfte ferner auch Das gelten, dass ein und derselbe mehrere Staatsämter bekleidet, was bei den Karthagern sehr beliebt ist. Denn ein Geschäft wird von Einem am besten vollendet. Dass dies aber geschehe, darauf muss der Gesetzgeber sehen, und nicht anordnen, dass ein und derselbe Flötenspieler und Schuster sei. In Summa wo der Staat nicht klein ist, da ist es für Verfassung und Volk erspriesslicher, dass Mehrere an den Saattsämtern Antheil haben. Denn es fördert, wie schon gesagt, das allgemeine Interesse und es wird auch jede Verrichtung von ein und denselben besser ausgeführt und schneller. Es erhellt dies aber am Kriegs- und Seewesen; denn in diesen beiden geht, so zu sagen, das Befehlen und Gehorchen durch Alle hindurch.

9. Während nun aber ihre Staatsform oligarchisch ist, so entgehen sie den üblen Folgen derselben hauptsächlich dadurch, dass immer von Zeit zu Zeit ein Theil der Volksmasse durch Aussendung in die (unterworfenen) Städte reich wird. Denn dadurch heilen sie die Uebelstände

---

cum G. et Cor., qui nesciebant eandem scripturam esse in praestantissima B 3.; ἥ (sic) A 1., ἥ Qᵇ. P 1. A 2. B 2., ἥ Vet. („ut videtur multis"), Aret. Lut. Vict. 2. (Victorius tamen in translatione nostram expressit scripturam) Sylb. Schn. — αὕτη τις ἂν εἴη] τίς interrogative A 1., τὶς B 2. 3. Vict. 2.

§. 6. ἀριστοκρατίας] ἀριστοκρατείας B 2. 3. Vict. 2. — οἱ βέλτιστοι] οἱ βέλτιστον Iᵇ. P 3. — ἄρχοντες] ἄρχοντα (τες) P 1. — μηδ'] μὴ δ' Vict. 2. — δεῖ βλέπειν] δὴ βλέπειν Tᵇ., δὴ δεῖ βλέπειν Iᵇ. — εὐπορίαν] ἀπορίαν Sepulveda (ut dicit Conring.) et Vet. teste Klugio p. 177. — χάριν] χάσιν B 3.

§. 7. ὅ,τι δ' ἂν ὑπολάβῃ] ὅτι Edd. omnes; γὰρ pro δ' Aret., ὑπολάβοι Iᵇ. — πολιτῶν] πολιτειῶν Vet. — οὐχ οἷόν τ'] οὐκ οἴονται Tᵇ. — τοὺς ὠνουμένους] τοῦτ' ὠνουμένους P 1. (sed in marg. τούς). ὠνημένους latine expresserunt Aret. Vict. Lamb. Ramus. Gif. Heins. prob. Schneidero. — προεῖτο τὴν ἀπορίαν] „perferret penuriam" Vet., εὐπορίαν Iᵇ. Tᵇ. et Aret. (ex collatione Klugii p. 182. „si auctor legis opulentiam praestantium virorum providisset") P 1. Lips. A 1. 2. B 2. 3. Lamb. G. et Kluge p. 184.; ἀπορίαν quod prim. ex Vet. et Thom. restituit Vict. 2., tuentur 7 Codd. Bkk. et edit. reliq. omnes (Lut. Sepulv. Sylb. Schn. Cor. Bkk.). — ἀλλ' ἀρχόντων γε] „sed — et" Vet.

§. 8. κοινότερόν τε γὰρ] γὰρ om. A 1. 2. B 2. G.; restituit prim. B 3. — τῶν αὐτῶν] om. Aret., ὑπὸ ante τῶν add. Codd. Göttlingii (ut videtur) omnes B 3. Vict. 2. Sylb. et recent. Schn. Cor. Kluge p. 186., qui ne commemoravit quidem scripturae diversitatem.

§. 9. οὔσης τῆς πολιτείας] οὔσης καὶ τ. π. Qᵇ. Tᵇ. — τῷ πλουτεῖν] comma post πλουτεῖν pos. Bkk.; τῷ πλουτίζειν Schn. Cor. cum Heinsio ex Aret. et Victorii interpretatione; „indicando" Vet., „indicando" Thom. utrobique Schneidero latere videtur: in ditando. Et confirmari videtur Schneideri scriptura coll. Polit. VI, cp. 3, §. 5. — ἀεὶ] αἰεὶ B 3. 2. Lut. Sylb. Vict. Schn. G. — ἰῶνται] οἴον-

ἐστι τύχης ἔργον, δεῖ δὲ ἀστασιάστους εἶναι διὰ τὸν νομοθέτην. νῦν δ', ἂν ἀτυχία γένηταί τις καὶ τὸ πλῆθος ἀποστῇ τῶν ἀρχομένων, οὐδέν ἐστι φάρμακον διὰ τῶν νόμων τῆς ἡσυχίας. περὶ μὲν οὖν τῆς Λακεδαιμονίων πολιτείας καὶ Κρητικῆς καὶ τῆς Καρχηδονίων, αἵπερ δικαίως εὐδοκιμοῦσι, τοῦτον ἔχει τὸν τρόπον.

und bewirken die Dauer der Verfassung. Indess dies ist ein Geschenk des Zufalls, und sie müssten gegen innere Unruhen vielmehr durch ihren Gesetzgeber gesichert sein; während jetzt, wenn irgend ein Unglück sie trifft, und die Menge der Unterthanen abfällt, in den Gesezzen kein Mittel zur Herstellung der Ruhe gegeben ist. Mit der Lakedaimonier Verfassung nun und der Kretischen und der der Karthager, welche mit Recht in hohem Rufe stehen, verhält es sich in dieser Art. —

CAP. IX.

Kap. IX.

Cap. 12. Bkk. 1. Τῶν δὲ ἀποφηναμένων τι περὶ πολιτείας ἔνιοι μὲν οὐκ ἐκοινώνησαν πράξεων πολιτικῶν οὐδ' ὡντινωνοῦν, ἀλλὰ διετέλεσαν ἰδιωτεύοντες τὸν βίον· περὶ ὧν εἴ τι ἀξιόλογον, εἴρηται σχεδὸν περὶ πάντων· ἔνιοι δὲ νομοθέται γεγόνασιν οἱ μὲν ταῖς οἰκείαις πόλεσιν, οἱ δὲ καὶ τῶν ὀθνείων τισί, πολιτευθέντες αὐτοί· καὶ τούτων οἱ μὲν νόμων ἐγένοντο δημιουργοὶ μόνον, οἱ δὲ καὶ πολιτείας, οἷον καὶ Λυκοῦργος καὶ Σόλων· οὗτοι γὰρ καὶ νόμους καὶ πολιτείας κατέστησαν. περὶ μὲν οὖν τῆς Λακεδαιμονίων εἴρηται.

1. Von Denen aber, die über Staatsverfassung Etwas geschrieben, haben Einige sich gar nicht mit Staatsgeschäften beschäftigt, sondern blieben ihr Lebelang Privatmänner; über welche, was irgend erwähnenswerth, wohl insgesammt gesagt worden ist. Einige aber sind Gesetzgeber gewesen theils in ihrem Vaterlande, theils auch in fremden Staaten, während sie zugleich Staatsämter verwalteten. Und von diesen waren die Einen wieder blos Verfasser einzelner Gesetze, die Andern dagegen auch Stifter einer Verfassung, wie eben Lykurgos und Solon; denn diese haben sowohl Gesetze als Verfassungen aufgestellt. Ueber die der Lakedaimonier nun ist geredet worden.

2. Σόλωνα δ' ἔνιοι μὲν οἴονται νομοθέτην γενέσθαι σπουδαῖον· ὀλιγαρχίαν τε γὰρ καταλῦσαι λίαν ἄκρατον οὖσαν, καὶ δουλεύοντα τὸν δῆμον παῦσαι, καὶ δημοκρατίαν καταστῆσαι τὴν πάτριον, μίξαντα καλῶς τὴν πολιτείαν· εἶναι γὰρ τὴν μὲν ἐν Ἀρείῳ πάγῳ βουλὴν ὀλιγαρχικόν, τὸ δὲ τὰς ἀρχὰς αἱρετὰς ἀριστοκρατικόν, τὰ δὲ δικαστήρια δημοτικόν. ἔοικε δὲ Σόλων ἐκεῖνα μὲν ὑπάρχοντα πρότερον οὐ καταλῦσαι, τήν τε βουλὴν καὶ τὴν τῶν ἀρχῶν αἵρεσιν, τὸν δὲ δῆμον καταστῆσαι, τὰ δικαστήρια ποιήσας ἐκ πάντων.

2. Solon aber, meinen Einige, sei ein tüchtiger Gesetzgeber gewesen. Denn er habe die schon sehr zügellose Oligarchie abgeschafft, und das Volk von der Sklaverei befreit, und die vaterländische Demokratie aufgerichtet, indem er die Verfassung schön gemischt habe. Es sei nämlich der Rath im Areiopagos ein oligarchisches, die Wählbarkeit der Magistraten ein aristokratisches, die Gerichtshöfe endlich ein demokratisches Institut. Es scheint aber Solon vielmehr jene als schon vorgefundene, den Rath und die Wahl der Magistraten nicht abgeschafft, sondern nur dem demokratischen Elemente durch Zusammensetzung der Gerichtshöfe aus Allen seine Begründung gegeben zu haben.

3. Διὸ καὶ μέμφονταί τινες αὐτῷ· λῦσαι γὰρ θάτερον, κύριον ποιήσαντα τὸ δικαστήριον πάντων, κληρωτὸν ὄν. ἐπεὶ γὰρ τοῦτ' ἴσχυεν, ὥσπερ τυράννῳ τῷ δήμῳ χαριζόμενοι τὴν πολιτείαν εἰς τὴν νῦν δημοκρατίαν κατέστησαν. καὶ τὴν μὲν ἐν Ἀρείῳ πάγῳ βουλὴν Ἐφιάλτης ἐκόλουσε καὶ Περικλῆς, τὰ δὲ δικαστήρια μισθοφόρα κατέστησε Περικλῆς, καὶ τοῦτον δὴ τὸν τρόπον ἕκαστος τῶν δημαγωγῶν προήγαγεν αὔξων εἰς τὴν νῦν δημοκρατίαν.

3. Deshalb tadeln ihn auch Einige. Denn den einen Theil des Staats habe er bis zur Auflösung geschwächt, dadurch dass er dem Gerichtshof, der doch durch's Loos besetzt werde, Macht über Alles gegeben habe. Denn als dieser mächtig wurde, da wandelten sie, wie einem Tyrannen dem Volke schmeichelnd, die Verfassung in die gegenwärtige Demokratie um. Und zwar brachen den Rath im Areiopag Ephialtes und Perikles, die Gerichtshöfe aber machte Perikles zu besoldeten. Und in dieser Weise führte denn jeder einzelne Demagog es weiter steigernd bis zu der jetzigen Demokratie.

4. Φαίνεται δ' οὐ κατὰ τὴν Σόλωνος γενέσθαι τοῦτο προαίρεσιν, ἀλλὰ μᾶλλον ἀπὸ συμπτώματος· τῆς ναυαρχίας γὰρ ἐν τοῖς Μηδικοῖς ὁ δῆμος αἴτιος γενόμενος ἐφρονηματίσθη, καὶ δημαγωγοὺς ἔλαβε φαύλους, ἀντιπολιτευομένων τῶν ἐπιεικῶν, ἐπεὶ Σόλων γε ἔοικε τὴν ἀναγκαιοτάτην ἀποδιδόναι τῷ δήμῳ δύναμιν, τὸ τὰς ἀρχὰς αἱρεῖσθαι καὶ εὐθύνειν· μηδὲ γὰρ τούτου κύριος ὢν ὁ δῆμος δοῦ-

4. Doch scheint dies nicht nach der Absicht Solons geschehen zu sein, sondern vielmehr durch Zufall; — nachdem nämlich das Volk in den Perserkriegen Ursache der Seeherrschaft geworden war, ward es hochmüthig und bekam schlechte Demagogen, obgleich die guten Patrioten dagegen kämpften. Denn Solon scheint doch dem Volke nur die unumgänglich nothwendige Macht zu ertheilen, die, seine Magistrate zu wählen und sie zur Rechenschaft zu ziehen; denn wenn das Volk auch nicht einmal hierzu Macht hat, so ist es Sklave und Feind

---

ται (arbitrentur) Aret. — τῶν ἀρχομένων] τῶν ἀρχόντων (gubernatoribus) Aret. — οὐδέν ἐστι φάρμακον διὰ τῶν νόμων τῆς ἡσυχίας] „nullum enim est remedium legis ad quietem adhibitum". Aret. — καὶ Κρητικῆς] κ. τῆς Κ. ex Sylb. coni. Schn. Cor.

Cap. IX. §. 1. ὀθνείων] ἐθνέων Z. et q. c. Sylburgii. — οὗτοι γὰρ καὶ] καὶ οὗτοι γὰρ B 3., οὗτοι καὶ γὰρ A 1. 2. B 2. — περὶ μὲν οὖν — εἴρηται] om. Aret.

§. 2. τὴν πάτριον] om. Aret. — τὸ δὲ τὰς ἀρχὰς αἱρετὰς ἀριστοκρατικόν, τὰ] τὰ δὲ δικαστήρια δημοκρατικόν, τὸ I[b]. — τὰ δὲ δικαστήρια δημοτικόν] τὸ δὲ δικαστήριον δημοτικὸν Vet.

§. 3. θάτερον] θάτεραν (sic) P 1. — κύριον — τὸ δικαστήριον — κληρωτὸν ὄν. — τοῦτ'] κύρια — τὰ δικαστήρια — κληρωτὰ ὄντα. — ταῦτ' Schn. Cor. temere. — ἴσχυεν] ἴσχυσεν P 1. — ἐκόλουσε] ἐκώλυσε Q[b]., „prohibuit" Vet. — προήγαγεν αὔξων] Aretini translatio auctior: „populi vim augere perseverarunt donec in istam quae nunc est licentiam pervenit".

§. 4. τῆς ναυαρχίας] τῆς ναυμαχίας Cor. nescio cuius coniectura iam a Camerario commemorata, ναυαχίας Sepulved., quem iam Vict. refutavit. — φαύλους, ἀντιπολιτευομένων τῶν ἐπιεικῶν] φ. ἀντιπολιτευομένους τοῖς ἐπιεικέσιν vel πολιτευομένους ἀντὶ τῶν ἐπιεικῶν legisse videtur Aret. vertens: „accesserunt patroni seditiosi contra bonos et modestos cives, qui rempubl. gubernarent". ἀντὶ πολιτευομένων Lamb. Cas. Conr. prob. Schn. et sic P 3.; „pro politice conversantibus epiekeis" Vet. — ἀποδιδόναι] „tradidisse" (ἀποδοῦναι) Aret. prob. Schn. — δοῦ-

λος ἂν εἴη καὶ πολέμιος. τὰς δ' ἀρχὰς ἐκ τῶν γνωρίμων καὶ τῶν εὐπόρων κατέστησε πάσας, ἐκ τῶν πεντακοσιομεδίμνων καὶ ζευγιτῶν καὶ τρίτου τέλους τῆς καλουμένης ἱππάδος· τὸ δὲ τέταρτον θητικόν, οἷς οὐδεμιᾶς ἀρχῆς μετῆν.

(seiner Obern). Die Staatsämter aber besetzte er sämtlich mit den Edlen und Reichen, aus der Klasse der Pentakosiomedimnen und Zeugiten und der dritten Klasse, der sogenannten Ritterklasse; die vierte aber ist die Klasse der Lohnarbeiter, welche an gar keinem Staatsamte Theil hatten.

5. Νομοθέται δ' ἐγένοντο Ζάλευκός τε Λοκροῖς τοῖς ἐπιζεφυρίοις, καὶ Χαρώνδας ὁ Καταναῖος τοῖς αὐτοῦ πολίταις καὶ ταῖς ἄλλαις ταῖς Χαλκιδικαῖς πόλεσι ταῖς περὶ Ἰταλίαν καὶ Σικελίαν. πειρῶνται δέ τινες καὶ συνάγειν ὡς Ὀνομακρίτου μὲν γενομένου πρώτου δεινοῦ περὶ νομοθεσίαν, γυμνασθῆναι δ' αὐτὸν ἐν Κρήτῃ Λοκρὸν ὄντα καὶ ἐπιδημοῦντα κατὰ τέχνην μαντικήν· τούτου δὲ γενέσθαι Θάλητα ἑταῖρον, Θάλητος δ' ἀκροατὴν Λυκοῦργον καὶ Ζάλευκον, Ζαλεύκου δὲ Χαρώνδαν. ἀλλὰ ταῦτα μὲν λέγουσιν ἀσκεπτότερον τῷ χρόνῳ λέγοντες.

5. Gesetzgeber aber sind gewesen Zaleukos für die Epizephyrischen Lokrer, und Charondas der Katanäer für seine Mitbürger und für die andern Chalkidischen Städte in Italien und Sicilien. Ferner versuchen auch Einige den Beweis zu führen, als ob Onomakritos sich zuerst durch Gesetzgebung einen Namen erworben, auf Kreta aber, obschon ein Lokrer, seine Schule gemacht habe, sich dort als Wahrsager aufhaltend. Sein Freund sei Thales gewesen; des Thales Schüler aber Lykurgus und Zaleukos, des Zaleukos aber Charondas. Aber die so erzählen, achten nicht genug auf die Zeitrechnung.

6. Ἐγένετο δὲ καὶ Φιλόλαος ὁ Κορίνθιος νομοθέτης Θηβαίοις. ἦν δ' ὁ Φιλόλαος τὸ μὲν γένος τῶν Βακχιαδῶν, ἐραστὴς δὲ γενόμενος Διοκλέους τοῦ νικήσαντος Ὀλυμπίασιν, ὡς ἐκεῖνος τὴν πόλιν ἔλιπε διαμισήσας τὸν ἔρωτα τὸν τῆς μητρὸς Ἀλκυόνης, ἀπῆλθεν εἰς Θήβας, κἀκεῖ τὸν βίον ἐτελεύτησαν ἀμφότεροι. καὶ νῦν ἔτι δεικνύουσι τοὺς τάφους αὐτῶν ἀλλήλοις μὲν εὐσυνόπτους ὄντας, πρὸς δὲ τὴν τῶν Κορινθίων χώραν τοῦ μὲν συνόπτου τοῦ δ' οὐ συνόπτου.

6. Es ward aber auch Philolaos, der Korinther, Gesetzgeber für die Thebaner. Es war aber dieser Philolaos aus dem Geschlechte der Bakchiaden, und da er Liebhaber des Diokles, des Siegers in den Olympischen Spielen, geworden war, so ging er, da Jener aus tiefem Unwillen über die Liebe seiner Mutter Halkyone die Stadt verliess, fort nach Theben, und dort endeten Beide ihr Leben, und jetzt noch zeigt man ihre Gräber, die zwar eins vom andern aus gut gesehen werden können, dagegen nach dem Korinthischen Gebiete zu ist das eine sichtbar, das andere aber nicht.

7. Μυθολογοῦσι γὰρ αὐτοὺς οὕτω τάξασθαι τὴν ταφήν, τὸν μὲν Διοκλέα διὰ τὴν ἀπέχθειαν τοῦ πάθους, ὅπως μὴ ἄποπτος ἔσται ἡ Κορινθία ἀπὸ τοῦ χώματος, τὸν δὲ Φιλόλαον, ὅπως ἄποπτος. ᾤκησαν μὲν οὖν διὰ τὴν τοιαύτην αἰτίαν παρὰ τοῖς Θηβαίοις, νομοθέτης δ' αὐτοῖς ἐγένετο Φιλόλαος περί τ' ἄλλων τινῶν καὶ περὶ τῆς παιδοποιίας, οὓς καλοῦσιν ἐκεῖνοι νόμους θετικούς· καὶ τοῦτ' ἐστὶν ἰδίως ὑπ' ἐκείνου νενομοθετημένον, ὅπως ὁ ἀριθμὸς σώζηται τῶν κλήρων.

7. Man erzählt nämlich, sie hätten Beide selbst, ihr Grabmal so zu errichten, befohlen, und zwar Diokles aus Hass wegen des Erlittenen: dass man nicht nach Korinth die Aussicht habe von dem Grabhügel; Philolaos dagegen: dass man sie habe. Sie wohnten nun also wegen solcher Ursache bei den Thebäern. Gesetzgeber aber ward ihnen Philolaos, sowohl in mehreren andern Dingen, als auch über die Kindererzeugung und Adoption, welche sie dort Adoptionsgesetze nennen; und dies ist auf eigenthümliche Weise deshalb von ihm gesetzlich bestimmt, damit die Anzahl der Ackerloose erhalten würde.

8. Χαρώνδου δ' ἴδιον μὲν οὐδέν ἐστι πλὴν αἱ δίκαι τῶν ψευδομαρτυριῶν (πρῶτος γὰρ ἐποίησε τὴν ἐπίσκηψιν), τῇ δ' ἀκριβείᾳ τῶν νόμων ἐστὶ γλαφυρώτερος καὶ τῶν νῦν νομοθετῶν. Φαλέου δ' ἴδιον ἡ τῶν οὐσιῶν ἀνομάλωσις, Πλάτωνος δ' ἥ τε τῶν γυναικῶν καὶ παίδων καὶ τῆς οὐσίας κοινότης καὶ τὰ συσσίτια τῶν γυναικῶν, ἔτι δ' ὁ περὶ τὴν μέθην νόμος, τὸ τοὺς νήφοντας συμποσιαρχεῖν, καὶ τὴν ἐν τοῖς πολεμικοῖς ἄσκησιν ὅπως ἀμ-

8. Von Charondas aber ist nun zwar nichts Eigenthümliches, ausser den Untersuchungen über falsch Zeugniss (er setzte nämlich zuerst die darauf bezügliche Klage ein); dagegen hinsichtlich der Genauigkeit der Gesetze ist er feiner sogar, als die jetzigen Gesetzgeber. Dem Phaleas ferner ist eigenthümlich die Wiederausgleichung des Besitzes; dem Platon die Weiber-, Kinder- und Güter-Gemeinschaft und die Syssitien der Weiber, ferner das Gesetz über den Trunk, dass die Nüchternen Trinkkönige seien, und über die kriegerischen Uebungen, dass sie beidhändig würden bei'm Exerciren,

---

λος] om. B 2. 3. — καὶ τῶν εὐπόρων] κ. τ. ἐμπόρων I^b.Q^b.T^b. — τρίτου τέλους] om. Aret.

§. 5. τοῖς αὐτοῦ] τ. αὐτοῦ B 2. 3. Lut.; correx. Vict. 2. Sylb. reliqui. — δέ τινες καὶ] δὲ καί τινες καὶ I^b.Q^b.T^b. A 1. 2. B 2. 3. — συνάγειν] „inducere“ Aret. — τῷ χρόνῳ] τῶν χρόνων Schn. Cor. ex Aret. translatione: „tempora non supputant“.

§. 6. Βακχιαδῶν] Βακχιάδων, quod est in A 1. 2. B 2. 3. Lut. Vict. 2., correxit Sylb., Bachidorum (Βακχίδων) habet Vet. — διαμισήσας] „recordatus“ (διαμνήσας) Vet. — τοῦ μὲν] in P 2. glossa τοῦ Φιλολάου. — τοῦ δ' οὐ συνόπτου] hic add. Aret. „ob animi infensionem“.

§. 7. Initium huius §. a μυθολογοῦσιν usque ad ὅπως ἄποπτος om. Aret. — τὴν ταφὴν] Sic Bkk. cum 6 Codd. et sic Vet. („ordinasse sepulturam“) B 3. Lamb. Sepulv. Camer. Lut. Vict. 2. Sylb. Schn. Cor. Attamen τὴν γραφὴν I^b.Q^b.T^b. A 1. 2. B 2. P 2. 3. idemque vidit Victor. in libris MSS. et excusis sine ullo discrimine. Itaque recepit Göttl., haud scio an recte. — ἀπέχθειαν] „abstinentiam“ Vet. — ἡ Κορινθία] ἡ Κορινθία χώρα P 1. — διὰ τὴν] τὴν om. I^b. — Φιλόλαος] Nomen abest a P 1. — θετικοὺς] „positivas leges“ Vet., „proletarias“ (θητικοὺς) Thomas (in comment.). Coniecturam Sepulvedae, τεκνικοὺς legentis, refutavit Vict.

§. 8. ψευδομαρτυριῶν] Sic Schn. Cor. Bkk. ex emendat. Bentleii Phalar. p. 358. (edit. Lips.) contra Codd. et Edd. omnes, qui consentiunt in ψευδομαρτύρων. — τὴν ἐπίσκηψιν] sic ex emendatione Bentleii Phalarid. p. 358. (prob. Wesselingio ad Diod. XII, 11, p. 485.) Schn. Cor. G. Bkk., ἐπίσκεψιν Codd. et Edd. vet. omnes. — γλαφυρώτερος] „placentior“ Vet. — Φαλέου] Sic primus Bkk. c. 6 Codd. idemque suprascript. est in P 2. 3.; Φιλολάου Q^b.T^b. et pr. I^b. et Codd. ante Bkk. collati Edd.que veteres omnes. Vitium nominis primus suspicatus est Conring. — τῶν γυναι-

φιδέξιοι γίνωνται κατὰ τὴν μελέτην, ὡς δέον μὴ τὴν μὲν χρήσιμον εἶναι τοῖν χεροῖν, τὴν δὲ ἄχρηστον.

9. *Δράκοντος* δὲ νόμοι μέν εἰσι, πολιτείᾳ δ' ὑπαρχούσῃ τοὺς νόμους ἔθηκεν· ἴδιον δ' ἐν τοῖς νόμοις οὐδέν ἐστιν ὅ τι καὶ μνείας ἄξιον, πλὴν ἡ χαλεπότης διὰ τὸ τῆς ζημίας μέγεθος. ἐγένετο δὲ καὶ *Πιττακὸς* νόμων δημιουργὸς ἀλλ' οὐ πολιτείας· νόμος δ' ἴδιος αὐτοῦ τὸ τοὺς μεθύοντας, ἂν τυπτήσωσι, πλείω ζημίαν ἀποτίνειν τῶν νηφόντων· διὰ γὰρ τὸ πλείους ὑβρίζειν μεθύοντας ἢ νήφοντας οὐ πρὸς τὴν συγγνώμην ἀπέβλεψεν, ὅτι δεῖ μεθύουσιν ἔχειν μᾶλλον, ἀλλὰ πρὸς τὸ συμφέρον. ἐγένετο δὲ καὶ *Ἀνδροδάμας Ῥηγῖνος* νομοθέτης Χαλκιδεῦσι τοῖς ἐπὶ Θράκης, οὗ περί τε τὰ φονικὰ καὶ τὰς ἐπικλήρους ἐστίν· οὐ μὴν ἀλλ' ἴδιόν γε οὐδὲν αὐτοῦ λέγειν ἔχοι τις ἄν. τὰ μὲν οὖν περὶ τὰς πολιτείας, τάς τε κυρίας καὶ τὰς ὑπὸ τινῶν εἰρημένας, ἔστω τεθεωρημένα τὸν τρόπον τοῦτον.

weil ja nicht die eine Hand brauchbar sein dürfe, die andre unbrauchbar.

9. Von Drakon giebt es zwar Gesetze, doch gab er sie einem schon eingerichteten Staate. Eigenthümlich aber ist in den Gesetzen nichts, was sich irgend der Erwähnung verlohnte, ausgenommen die Härte wegen der Grösse der Strafe. Auch Pittakos war ein Verfertiger von Gesetzen, aber nicht einer Verfassung. Ein eigenthümliches Gesetz von ihm ist, dass die Betrunkenen, wenn sie Jemanden geschlagen hätten, grössere Strafe erleiden sollten, als die Nüchternen. Denn weil Mehrere betrunken Uebermuth verüben, als nüchtern, so sah er nicht sowohl auf die Verzeihung, dass man den Trunkenen sie eher gewähren müsse, sondern auf das Nützliche. Es war aber auch Androdamas, der Rheginer, Gesetzgeber für die Chalkidenser in Thrake, von dem es Gesetze über Mord und Todtschlag und über die Erbtöchter giebt; doch Eigenthümliches kann Einer von ihm nichts erwähnen. Ueber die wirklich bestehenden Verfassungen nun und über die von Einigen aufgestellten sei in dieser Weise gehandelt.

κῶν] post haec *καὶ παίδων* addit T^b. — γίνωνται] *γίνονται* B 2. 3. Sylb. Ram.; correx. Victor. — τοῖν χεροῖν] *ταῖν χ.* Q^b. Vict. Lut. Sylb. Schn. Cor. G., sed Göttl. probat *τοῖν*, quod tuentur Codd. et Edd. reliqui omnes.

§. 9. ἂν τυπτήσωσι] *ἄν τι πταίωσι* ex Codice suo, Plutarcho in Conviv. Sapient. et Arist. Rhet. II, 25. §. 7. dedit Camerarius, unde recepit Schn.; *ἄν τι πταίσωσι* (non *ἄν τι πταίωσιν* ut dicit Schn.) Muret. (var. lect. XIV, 12.) prob. Cor. et sic est in Cod. Lips.; *τι ποιήσωσι* B 3., quae discrepantia ut aliae multae h. edit. ab omnibus editoribus neglecta est. — ἀποτίνειν] *ἀποτείνειν* T^b. P 1. 3. A 1. B 2. B 3. Lut. Hic primum A 2. ex antiq. edit. veram praebet scripturam. — ἀπέβλεψεν] *ἀπέβλεψαν* T^b. — Ἀνδροδάμας] *Ἀνδρόδαμος* Aret. Sepulv. Gifan. — Ῥηγῖνος] *Ῥήγιος* A 1. B 2. 3. — περί τε τὰ] *τὰ περί τε* Cor. ex coni. — εἰρημένας] *εὑρημένας* Cor. Ceterum iure notavit ut spurium totum hoc ultimum libri secundi caput Göttlingius, cuius iudicium sequitur Hoeck. l. l. III, p. 45. et p. 318.

ΠΟΛΙΤΙΚΩΝ Γ.

CAP. I.

Τῷ περὶ πολιτείας ἐπισκοποῦντι, καὶ τίς ἑκάστη καὶ ποία τις, σχεδὸν πρώτη σκέψις περὶ πόλεως ἰδεῖν, τί ποτ' ἐστὶν ἡ πόλις· νῦν γὰρ ἀμφισβητοῦσιν, οἱ μὲν φάσκοντες τὴν πόλιν πεπραχέναι τὴν πρᾶξιν, οἱ δ' οὐ τὴν πόλιν ἀλλὰ τὴν ὀλιγαρχίαν ἢ τὸν τύραννον. τοῦ δὲ πολιτικοῦ καὶ τοῦ νομοθέτου πᾶσαν ὁρῶμεν τὴν πραγματείαν οὖσαν περὶ πόλιν· ἡ δὲ πολιτεία τῶν τὴν πόλιν οἰκούντων ἐστὶ τάξις τις.

2. Ἐπεὶ δ' ἡ πόλις τῶν συγκειμένων, καθάπερ ἄλλο τι τῶν ὅλων μὲν συνεστώτων δ' ἐκ πολλῶν μορίων, δῆλον, ὅτι πρότερον ὁ πολίτης ζητητέος· ἡ γὰρ πόλις πολιτῶν τι πλῆθός ἐστιν, ὥστε τίνα χρὴ καλεῖν πολίτην καὶ τίς ὁ πολίτης ἐστὶ σκεπτέον. καὶ γὰρ ὁ πολίτης ἀμφισβητεῖται πολλάκις· οὐ γὰρ τὸν αὐτὸν ὁμολογοῦσι πάντες εἶναι πολίτην· ἔστι γάρ τις ὃς ἐν δημοκρατίᾳ πολίτης ὢν ἐν ὀλιγαρχίᾳ πολλάκις οὐκ ἔστι πολίτης.

3. Τοὺς μὲν οὖν ἄλλως πως τυγχάνοντας ταύτης τῆς προσηγορίας, οἷον τοὺς ποιητοὺς πολίτας, ἀφετέον. ὁ δὲ πολίτης οὐ τῷ οἰκεῖν που πολίτης ἐστίν· καὶ γὰρ μέτοικοι καὶ δοῦλοι κοινωνοῦσι τῆς οἰκήσεως. οὐδ' οἱ τῶν δικαίων μετέχοντες οὕτως ὥστε καὶ δίκην ὑπέχειν καὶ δικάζεσθαι· (τοῦτο γὰρ ὑπάρχει καὶ τοῖς ἀπὸ συμβόλων κοινωνοῦσιν· [καὶ γὰρ ταῦτα τούτοις ὑπάρχει]. πολλαχοῦ μὲν οὖν οὐδὲ τούτων τελέως οἱ μέτοικοι μετέχουσιν, ἀλλὰ νέμειν ἀνάγκη προστάτην. διὸ ἀτελῶς πως μετέχουσι τῆς τοιαύτης κοινωνίας·)

4. Ἀλλὰ καθάπερ καὶ παῖδας τοὺς μήπω δι' ἡλικίαν ἐγγεγραμμένους καὶ τοὺς γέροντας τοὺς ἀφειμένους, φατέον εἶναι μέν πως πολίτας, οὐχ ἁπλῶς δὲ λίαν, ἀλλὰ προστιθέντας τοὺς μὲν ἀτελεῖς τοὺς δὲ παρηκμακότας ἢ τι τοιοῦτον ἕτερον· οὐδὲν γὰρ διαφέρει· δῆλον γὰρ τὸ λεγόμενον· ζητοῦμεν γὰρ τὸν ἁπλῶς πολίτην καὶ μηδὲν ἔχοντα τοιοῦτον ἔγκλημα διορθώσεως δεόμενον, ἐπεὶ καὶ περὶ τῶν ἀτίμων καὶ φυγάδων ἔστι τὰ τοιαῦτα καὶ διαπορεῖν καὶ λύειν. πολίτης δ' ἁπλῶς οὐδενὶ

Der Politik drittes Buch.

Kap. I.

Bei der Betrachtung der einzelnen Staatsverfassungen und ihrer Beschaffenheit hat man eigentlich vor allen Dingen den **Staat** ins Auge zu fassen, und was denn eigentlich der **Staat** ist. Heutzutage nämlich ist man darüber nicht einig; da sagen die Einen: der Staat hat diese That gethan, die Andern: nicht der Staat, sondern die Oligarchie oder der Tyrann. Nun bezieht sich aber, wie wir sehen, die ganze Thätigkeit des Politikers und Gesetzgebers auf den Staat; die Verfassung aber ist eine gewisse Ordnung und Gliederung der im Staate Wohnenden.

2. Da nun aber der Staat ein Zusammengesetztes ist, wie jedes andere zwar Ganze, aber doch aus vielen Theilen Bestehende, so haben wir natürlich zuvörderst den Bürger zu suchen. Denn der Staat ist eine gewisse Masse von Bürgern. Also wen man Bürger zu nennen hat, und wer Bürger ist, haben wir zu untersuchen. Denn auch über den Bürger gehen die Ansichten mehrfach auseinander. Denn keineswegs gilt ein und Derselbe bei Allen als Bürger. Mancher ist nämlich in einer Demokratie Bürger, der in einer Oligarchie oft nicht Bürger ist.

3. Diejenigen nun, welche auf irgend eine fremdartige Weise zu dieser Benennung gelangen, z. B. die mit dem Bürgerrechte Beschenkten, lassen wir bei Seite. Der Bürger aber ist nicht dadurch, dass er irgendwo wohnet, Bürger — denn auch Schutzverwandte, Metöken und Sklaven haben Theil an dem Wohnsitz —; auch nicht die so weit Berechtigten, dass sie als Beklagte sich in einen Rechtshandel einlassen oder als Kläger einen solchen unternehmen könnten; (denn das steht auch Denen zu, die durch Verträge daran Antheil haben; [und diese Dinge kommen diesen zu]. Vieler Orten indess haben auch nicht einmal an diesen die Metöken vollständig Theil, sondern müssen sich einen Schutzherrn geben lassen. Sie haben also gewissermassen unvollständig Antheil an dieser Gemeinschaft.)

4. Sondern man muss sie, gleichwie Kinder, welche ihres Alters halber noch nicht in die Bürgerverzeichnisse eingetragen, und die Greise, welche ihrer Bürgerpflichten entbunden sind, zwar gewissermassen Bürger nennen, doch nicht so ganz einfach und schlechtweg, sondern mit einem Beisatze, die Einen unvollständige, die Andern emeritirte, oder sonstwie; denn darauf kommt nichts an, da Das, was wir sagen, deutlich ist; wir suchen nämlich den Bürger schlechtweg, und der keinen solchen einer Nachhülfe bedürfenden Makel an sich hat; denn sonst lassen sich auch über die bürgerlich Ehrlosen und über die Verbannten dieselben Fragen auf-

---

Cap. I. §. 2. *ἐπεὶ δ' ἡ*] ἐ. δὲ ἡ Schn. G. — *συνεστώτων*] συνεστότων B 2. B 3. — *δῆλον ὅτι*] δηλονότι P 1. 3. B 2. 3.

§. 3. *ποιητοὺς*] „poetales" Vet., unde ποιητὰς Giph. inepte. — *τῷ οἰκεῖν*] τῷ ὄντιν marg. Duvall. — *πολίτης ἐστίν*] πολίτης ἐστὶ B 2. 3. Lut. Sylb. Vict. 2. Schn. Göttl. — *ἀπὸ συμβόλων*] ἀπὸ συμβολαίων Camerar.; „qui a contractibus communicant" Vet., „qui sil' (simul) contrahunt cum per contractum forum sortiantur" Aret. — *κοινωνοῦσιν*] ante Bkk. legebatur κοινωνοῦσι. — *καὶ γὰρ ταῦτα τούτοις ὑπάρχει*] haec om. Vet. Aret. Conr. Schn. Cor., γὰρ uncis inclusit Göttl., qui: nihil delendum, inquit, nisi γάρ, quod ex antecedentibus male repetitum est. — *ἀλλὰ — μετέχουσιν*] om. Q[b]. T[b]. item Codd. Victorii et Sepulvedae omnes. A 1. 2. B 2.; Vet.: „in multis quidem ergo locis neque his perfecte adventicii participant, sed necesse tribuere astitorem". — *ἀλλὰ νέμειν ἀνάγκη προστάτην*] ἀλλὰ χρὴ παρέχειν παραστάτην B 3., ἀλλ' ἀνάγκη νέμειν προστάτην Lut. Vict. 2. Sylb. Schn. Cor. (cfr. Victor. Var. Lectt. VII, 22.). Nostram scripturam dedit Göttlingius ex P 1. 2. 3. 4. et Bkk. ex 7 Codd. — *διὸ ἀτελῶς πως μετέχουσι*] Sic primus Victor. (Var. Lectt. VII, 22.) Lut. Vict. 2. Sylb. Schn. Cor.; ὥστε pro διὸ G. ex P 1. 2. 3. 4. et sic iam B 3. Ceterum parentheseos signa a nobis addita ad structurae rationem declarandam necessaria esse videntur.

§. 4. *μήπω — ἐγγεγραμμένους*] „nondum aetate perfectos" Aret. — *ἀφειμένους*] ἀφειμένως T[b]. — *δὲ λίαν*] λίαν [ ] Cor. om. Aret. — *ἀλλὰ προστιθέντας — τὸ λεγόμενον*] om. Aret. — *ἀτελεῖς*] ἀτελεῖν P[b]. T[b]. — *ζητοῦμεν γὰρ*] δὲ pro

τῶν ἄλλων ὁρίζεται μᾶλλον ἢ τῷ μετέχειν κρίσεως καὶ ἀρχῆς. τῶν δ' ἀρχῶν αἱ μέν εἰσι διῃρημέναι κατὰ χρόνον, ὥςτ' ἐνίας μὲν ὅλως δὶς τὸν αὐτὸν οὐκ ἔξεστιν ἄρχειν, ἢ διά τινων ὡρισμένων χρόνων· ὁ δ' ἀόριστος, οἷον ὁ δικαστὴς καὶ ἐκκλησιαστής.

5. Τάχα μὲν οὖν ἂν φαίη τις οὐδ' ἄρχοντας εἶναι τοὺς τοιούτους, οὐδὲ μετέχειν διὰ ταῦτ' ἀρχῆς· καίτοι γελοῖον τοὺς κυριωτάτους ἀποστερεῖν ἀρχῆς. ἀλλὰ διαφερέτω μηδέν· περὶ ὀνόματος γὰρ ὁ λόγος· ἀνώνυμον γὰρ τὸ κοινὸν ἐπὶ δικαστοῦ καὶ ἐκκλησιαστοῦ, τί δεῖ ταῦτ' ἄμφω καλεῖν. ἔστω δὴ διορισμοῦ χάριν ἀόριστος ἀρχή. τίθεμεν δὴ πολίτας τοὺς οὕτω μετέχοντας. ὁ μὲν οὖν μάλιστ' ἂν ἐφαρμόσας πολίτης ἐπὶ πάντας τοὺς λεγομένους πολίτας σχεδὸν τοιοῦτός ἐστιν.

6. Δεῖ δὲ μὴ λανθάνειν ὅτι τῶν πραγμάτων ἐν οἷς τὰ ὑποκείμενα διαφέρει τῷ εἴδει, καὶ τὸ μὲν αὐτῶν ἐστὶ πρῶτον τὸ δὲ δεύτερον τὸ δ' ἐχόμενον, ἢ τὸ παράπαν οὐδέν ἐστιν, ᾗ τοιαῦτα, τὸ κοινόν, ἢ γλίσχρως. τὰς δὲ πολιτείας ὁρῶμεν εἴδει διαφερούσας ἀλλήλων, καὶ τὰς μὲν ὑστέρας τὰς δὲ προτέρας οὔσας· τὰς γὰρ ἡμαρτημένας καὶ παρεκβεβηκυίας ἀναγκαῖον ὑστέρας εἶναι τῶν ἀναμαρτήτων. (τὰς δὲ παρεκβεβηκυίας πῶς λέγομεν, ὕστερον ἔσται φανερόν.) ὥςτε καὶ τὸν πολίτην ἕτερον ἀναγκαῖον εἶναι τὸν καθ' ἑκάστην πολιτείαν. διόπερ ὁ λεχθεὶς ἐν μὲν δημοκρατίᾳ μάλιστ' ἐστὶ πολίτης.

7. Ἐν δὲ ταῖς ἄλλαις ἐνδέχεται μέν, οὐ μὴν ἀναγκαῖον. ἐνίαις γὰρ οὐκ ἔστι δῆμος, οὐδ' ἐκκλησίαν νομίζουσιν ἀλλὰ συγκλήτους, καὶ τὰς δίκας δικάζουσι κατὰ μέρος, οἷον ἐν Λακεδαίμονι τὰς τῶν συμβολαίων δικάζει τῶν ἐφόρων ἄλλος ἄλλας, οἱ δὲ γέροντες τὰς φονικάς, ἑτέρα δ' ἴσως ἀρχή τις ἑτέρας. τὸν αὐτὸν δὲ τρόπον καὶ περὶ Καρχηδόνα· πάσας γὰρ ἀρχαί τινες κρίνουσι τὰς δίκας.

8. Ἀλλ' ἔχει γὰρ διόρθωσιν ὁ τοῦ πολίτου διορισμός. ἐν γὰρ ταῖς ἄλλαις πολιτείαις οὐχ ὁ ἀόριστος ἄρχων ἐκκλησιαστής ἐστι καὶ δικαστής, ἀλλ' ὁ κατὰ τὴν ἀρχὴν ὡρισμένος· τούτων γὰρ ἢ πᾶσιν ἢ τισὶν ἀποδέδοται τὸ βουλεύεσθαι καὶ δικάζειν ἢ περὶ πάντων ἢ περὶ τινῶν. τίς μὲν οὖν ἐστὶν ὁ πολίτης, ἐκ τούτων φανερόν· ᾧ γὰρ ἐξουσία κοινωνεῖν ἀρχῆς βουλευτικῆς ἢ κριτικῆς, πο-

stellen und beantworten. Zum Vollbürger oder Bürger im eigentlichen Sinne gehört aber vor allen Dingen Antheil an der Rechtspflege und an der Staatsregierung. Von den Staatsämtern aber sind die einen hinsichtlich der Zeitdauer bestimmt, so dass manche überhaupt gar nicht einer und Derselbe zweimal bekleiden kann, oder doch erst nach Ablauf bestimmter Zeitfristen. Ein Anderer bekleidet sein Amt ohne Zeitbegränzung, wie z. B. der Richter und der Ekklesiast.

5. Da könnte nun freilich Einer sagen, solche Leute seien gar nicht obrigkeitliche Personen, und ihre Thätigkeit gebe ihnen noch keinen Antheil an der Staatsregierung. Und doch wäre es lächerlich, Die, in deren Hand die Entscheidung der wichtigsten Dinge liegt, von der Staatsregierung auszuschliessen. Indess soll das nichts ausmachen; es fehlt ja nur in der Sprache eine gemeinsame Benennung zur Bezeichnung Beider, des Richters und des Ekklesiasten. Sie heisse also, der Unterscheidung wegen, unbestimmte Obrigkeit. Und so nennen wir denn Bürger Diejenigen, welche an diesen Beiden Theil haben. Dieses wäre also etwa diejenige Definition des Bürgers, welche am meisten auf alle Diejenigen passt, welche man Bürger nennt.

6. Es darf aber nicht unbeachtet bleiben, dass von Dingen, bei denen die einzelnen zum Grunde liegenden Theile der Art nach verschieden sind, so dass der Eine von ihnen der erste und höchste, der Andere der zweite und so fort ist, sich entweder gar nichts Gemeinschaftliches, wonach sie solche sind, findet, oder doch nur spärlich. Nun sehen wir aber, dass die Staatsverfassungen der Art nach von einander unterschieden sind, und dass einige niedriger sind, andere höher; denn die verfehlten und von dem richtigen Wege abgewichenen müssen doch nothwendig denen nachstehen, welche ohne diese Fehler sind. (Was wir aber unter den vom richtigen Wege abgewichenen verstehen, wird später deutlich werden.) Folglich muss auch der Bürger nothwendig ein anderer sein in jeder einzelnen Staatsverfassung. Der von uns so genannte ist daher vornehmlich in der Demokratie Bürger.

7. In den andern Verfassungen aber kann er es zwar möglicherweise sein, allein es ist nicht nothwendig. Denn in einigen giebt es gar keine Volksgemeinde, auch haben sie gar keine gesetzlich bestimmte Volksversammlung, sondern zusammenberufene Versammlungen, und die Rechtshändel richten verschiedene Behörden, z. B. in Lakedaimon richten die Ephoren die Händel über das Mein und Dein, und zwar der eine diese, der andere jene; die Geronten dagegen die Halssachen, und so eine andere Magistratur andere Sachen. Ebenso auch in Karthago. Es richten nämlich dort gewisse Behörden alle Rechtssachen.

8. Allein es ist allerdings eine Verbesserung unserer Definition des Bürgers möglich. In den andern Verfassungen ist nämlich nicht die unbestimmte obrigkeitliche Person Ekklesiast und Richter, sondern der hinsichtlich seines Amts Bestimmte. Von diesen liegt nämlich das Berathen und Richten entweder Allen ob, oder gewissen Bestimmten, und zwar entweder über alle Gegenstände, oder über gewisse bestimmte. Wer nun also der Bürger sei, ist hieraus ersichtlich. Wer nämlich das Recht hat, zu einem berathenden oder richterlichen

γὰρ Aret. — τῷ μετέχειν] τῶν μ. T^b. — ὁ δ' ἀόριστος] ἡ pro ὁ B 3. Sylb. B 2. Lut. prob. Conringio. Et sic fere Aret.: „aliae sunt indeterminatae". — οἷον ὁ δικαστὴς καὶ ἐκκλησιαστής] οἷον ἡ τοῦ δικαστοῦ καὶ ἐκκλησιαστοῦ expressit Aret. („ceu illius qui in concione deliberat et decernit").

§. 5. οὖν ἂν φαίη τις] οὖν ἀντιφαίη τις I^b.Q^b.T^b. A 1. 2., οὖν ἄν τι φ. τ. B 2., οὖν ἂν ἀντιφαίη τις G. ex coni. Hic quoque rectam scripturam prim. habet B 3. — οὐδὲ μετέχειν διὰ ταῦτ' ἀρχῆς] om. Aret. — καίτοι γελοῖον — ἀρχῆς] om. Vet. — ἐπὶ δικαστοῦ] ἐπεὶ δικαστοῦ B 2. 3. — ἐκκλησιαστοῦ] ἐκκλησιαστικοῦ T^b. — τί δεῖ] τι δεῖ (sic) B 3., τὶ δεῖ B 2., ὅτι δεῖ scrib. coniecit Schn.; Aret. haec in brevius contraxit, vertens: „Est enim absque nomine publica potestas iudicantis decernentisque in concione". — οὕτω μετέχοντας] οὕτως μετέχοντας B 3. 2. — ἐφαρμόσας πολίτης] ἐφαρμόσας πολίτου λόγος (maxime congruit utique ratio civis) Vet. idemque nondum inspecto Vet. coniecit Schn., sed exemplum Thom. non habet „ratio". — τοιοῦτός ἐστιν] ἐστι G. Schn. B 2. 3. Vict. 2. Lut. Sylb.

§. 6. ᾗ τοιαῦτα] haec verba uncis inclusa sunt in B 2. 3., ἢ τοιαῦτα Q^b. T^b. — γλισχρῶς] „via" Vet. — ἀναμαρτήτων] ἀναμαρτημάτων Q^b. T^b.

§. 7. ἐνίαις γὰρ] ἐν ἐνίαις γὰρ Cor. — τὸν αὐτὸν δὲ τρόπον] οὐ ante τὸν additum malebant Schn. Cor. Sed vide Kluge l. l. p. 159—166. Müller. Dor. II, p. 115.

§. 8. ἀλλ' ἔχει γὰρ] γὰρ om. Q^b. — ἀλλ' ὁ] ἀλλὰ ὁ B 3. Vict. 2. Lut. Sylb. Schn. G. — τὸ βουλεύεσθαι] τὸ βούλεσθαι I^b.Q^b.T^b. P 3. A 1. 2.

λίτην ἤδη λέγομεν εἶναι ταύτης τῆς πόλεως, πόλιν δὲ τὸ τῶν τοιούτων πλῆθος ἱκανὸν πρὸς αὐτάρκειαν ζωῆς, ὡς ἁπλῶς εἰπεῖν.

Cap. 2. Bkk. 9. *Ὁρίζονται δὴ πρὸς τὴν χρῆσιν πολίτην τὸν ἐξ ἀμφοτέρων πολιτῶν καὶ μὴ θατέρου μόνον, οἷον πατρὸς ἢ μητρός· οἱ δὲ καὶ τοῦτ' ἐπὶ πλέον ζητοῦσιν, οἷον ἐπὶ πάππους δύο ἢ τρεῖς ἢ πλείους. οὕτω δὴ ὁριζομένων πολιτικῶς καὶ ταχέως, ἀποροῦσί τινες τὸν τρίτον ἐκεῖνον ἢ τέταρτον, πῶς ἔσται πολίτης. Γοργίας μὲν οὖν ὁ Λεοντῖνος, τὰ μὲν ἴσως ἀπορῶν τὰ δ' εἰρωνευόμενος, ἔφη, καθάπερ ὅλμους εἶναι τοὺς ὑπὸ τῶν ὁλμοποιῶν πεποιημένους, οὕτω καὶ Λαρισσαίους τοὺς ὑπὸ τῶν δημιουργῶν πεποιημένους· εἶναι γάρ τινας λαρισσοποιούς. ἔστι δ' ἁπλοῦν· εἰ γὰρ μετεῖχον κατὰ τὸν ῥηθέντα διορισμὸν τῆς πολιτείας, ἦσαν ἂν πολῖται· καὶ γὰρ οὐ δυνατὸν ἐφαρμόττειν τὸ ἐκ πολίτου ἢ ἐκ πολίτιδος ἐπὶ τῶν πρώτων οἰκησάντων ἢ κτισάντων.*

10. *Ἀλλ' ἴσως ἐκείνην μᾶλλον ἔχει ἀπορίαν, ὅσοι μετέσχον μεταβολῆς γενομένης πολιτείας, οἷον Ἀθήνησιν ἐποίησε Κλεισθένης μετὰ τὴν τῶν τυράννων ἐκβολήν· πολλοὺς γὰρ ἐφυλέτευσε ξένους καὶ δούλους μετοίκους. τὸ δ' ἀμφισβήτημα πρὸς τούτους ἐστὶν οὐ τίς πολίτης, ἀλλὰ πότερον ἀδίκως ἢ δικαίως. καίτοι καὶ τοῦτό τις ἔτι προςαπορήσειεν, ἆρ' εἰ μὴ δικαίως πολίτης, οὐ πολίτης, ὡς ταὐτὸ δυναμένου τοῦ τ' ἀδίκου καὶ τοῦ ψευδοῦς. ἐπεὶ δ' ὁρῶμεν καὶ ἄρχοντάς τινας ἀδίκως, οὓς ἄρχειν μὲν φήσομεν ἀλλ' οὐ δικαίως, ὁ δὲ πολίτης ἀρχῇ τινὶ διωρισμένος ἐστίν (ὁ γὰρ κοινωνῶν τῆς τοιᾶςδε ἀρχῆς πολίτης ἐστίν, ὡς ἔφαμεν), δῆλον ὅτι πολίτας μὲν εἶναι φατέον καὶ τούτους, περὶ δὲ τοῦ δικαίως ἢ μὴ δικαίως συνάπτει*
Cap. 3. Bkk. *πρὸς τὴν εἰρημένην πρότερον ἀμφισβήτησιν. Ἀποροῦσι γάρ τινες πόθ' ἡ πόλις ἔπραξε καὶ πότε οὐχ ἡ πόλις, οἷον ὅταν ἐξ ὀλιγαρχίας ἢ τυραννίδος γένηται δημοκρατία. τότε γὰρ οὔτε τὰ συμβόλαια ἔνιοι βούλονται διαλύειν, ὡς οὐ τῆς πόλεως ἀλλὰ τοῦ τυράννου λαβόντος, οὔτ' ἄλλα πολλὰ τῶν τοιούτων, ὡς ἐνίας τῶν πολιτειῶν τῷ κρατεῖν οὔσας, ἀλλ' οὐ διὰ τὸ κοινῇ συμφέρον.*

Amte zu gelangen, den nenne ich erst Bürger eines solchen Staats; Staat aber eine Anzahl solcher Bürger, welche, um es einfach zu sagen, zur Selbstgenügsamkeit des Lebens hinreichend ist.

9. Bekanntlich bestimmt man nun im praktischen Leben den Bürger als solchen, der von beiden Seiten von Bürgern stammt, und nicht blos von einer Seite, als von Vater- oder Mutterseite. Andere aber treiben auch dies noch weiter, z. B. bis auf zwei, drei oder mehr Ahnen. Bei dieser populären und oberflächlichen Bestimmung fragen Einige: wie wird denn jener dritte oder vierte Bürger sein? Gorgias freilich der Leontiner, der einerseits diese Schwierigkeit sah, andrerseits sich darüber lustig machte, gab die Auskunft, „wie Mörser diejenigen seien, welche von Mörsermachern gemacht wären, so seien auch Larissäer die von den Demiurgen gemachten; denn es gebe ja Larissenmacher“. Die Sache ist aber einfach. Hatten sie nämlich nach der angegebenen Bestimmung Antheil an der Staatsverfassung, so waren sie Bürger. Auch kann ja unmöglich die Bestimmung, welche Abstammung von einem Bürger oder einer Bürgerin fordert, auf diejenigen Anwendung finden, welche zuerst eine Stadt baueten oder ein Gemeinwesen gründeten.

10. Vielleicht aber tritt jene Schwierigkeit eher bei allen Denen ein, die durch eine Staatsumwälzung zum Bürgerrechte gelangten, wie zu Athen Kleisthenes that, nach der Vertreibung der Tyrannen. Er schrieb nämlich viele Fremde, Sklaven und Metöken in die Phylen ein. Der Fragepunkt ist aber bei diesen nicht, wer Bürger ist, sondern ob er es rechtmässig oder unrechtmässig ist; wiewohl man auch dazu noch die Frage aufwerfen möchte, ob nicht Einer, der nicht rechtmässig Bürger ist, überhaupt nicht Bürger sei, da ja das Unrechtmässige und das Falsche ein und dasselbe bedeuten. Allein wir sehen, dass auch Einige unrechtmässigerweise Magistraten sind, von denen wir doch immer sagen, sie sind Magistraten, nur nicht rechtmässigerweise; nun wird aber der Bürger durch eine gewisse Magistratur definirt (denn wer an einer gewissen bestimmten Magistratur Theil hat, der ist Bürger, wie wir sagten); offenbar also müssen wir sagen, dass auch Jene Bürger sind; die Frage aber, ob recht- oder unrechtmässig, läuft auf die früher angeregte Untersuchung hinaus. Es fragen nämlich Manche: in welchem Falle hat der Staat Etwas gethan, und in welchem Falle nicht der Staat, z. B. wenn aus Oligarchie oder Tyrannis Demokratie geworden ist. In solchem Falle wollen nämlich Manche weder die vertragsmässigen Zahlungen leisten, weil ja nicht der Staat, sondern der Tyrann (das Geld) empfangen habe, noch manche andere Verpflichtungen der Art erfüllen, in der Ansicht, es gebe gewisse Verfassungen, deren Princip die Gewalt und nicht das allgemeine Beste sei.

B 2. probatum Camerar. — *πόλιν δὲ*] *πόλις δὲ* A 1. 2. B 2. 3. Montecat. Stob. Ecl. Eth. p. 328. recepit Göttl.

§. 9. *ὁρίζονται δὴ*] *δὲ* pro *δὴ* Schn. et Cor. cum Conring., „autem“ Aret., „etiam“ Vet. — *πολίτην τὸν*] *πολίτην τῶν* B 2. 3. — *ἐπὶ πάππους*] *ἐπιπάππους* (uno vocabulo) A 1. 2. B 2. 3. G.; *ἔτι πάππους* Schn. Cor. cum Camerar.; *ἐπὶ* om. Aret. — *ἢ πλείους*] *ἢ πλέους* T^b. — *οὕτω δὴ*] *δὲ* („sic autem“) Vet. prob. Conring. — *ταχέως*] *παχέως*, Camerarii coniecturam etiam a Lamb. expressam, recep. Schn.; Bekkeri notam hanc: „*παχέως* interpretes“ me non intelligere fateor. Etenim Vet. Victor., Ramus, Gifanius, Aretinus, Conringius *ταχέως* expresserunt fideliter. — *τὸν τρίτον*] *τὸν τρόπον* Q^b. — *ἢ τέταρτον*] *ἢ καὶ τέταρτον* Vet. — *τὰ μὲν*] om. T^b. — *οὕτω καὶ Λαρισσαίους — πεποιημένους*] om. I^b. P 1. 2. „Aberravit enim calamus librarii ab altero *πεποιημένους* ad alterum“. Goettl. — *τῶν δημιουργῶν*] *τῶν* om. T^b. — *λαρισσοποιούς*] *Λαρισσαιοποιούς* Schn. Cor. cum Camerar. Cas. Conr., qua coniectura lepidissimum verborum lusum perdi intellexit Göttling. — *δ' ἁπλοῦν*] *δὲ ἁπλοῦν* Schn. G. sine ulla auctoritate. — *ἦσαν ἂν*] *ἢ ἂν* U^b., *ἂν* om. A 1. 2. B 2. 3. et G. qui *ἦσαν ἂν* soloecum vocat.

§. 10. *ἐκείνην μᾶλλον ἔχει ἀπορίαν*] Sic edidimus cum I^b. M^b. Q^b. T^b. U^b. Paris. 1857. P 1. (qui habet *ἔχει μᾶλλον*, inverso ordine) A 1. 2. B 2. 3. G.; *ἐκεῖνοι μᾶλλον ἔχουσιν* Bkk. cum reliquis MSS. et edd. Aret.: „sed forsan de eo magis dubitari potest“. — *Κλεισθένης*] „Laschenes“ Aret. — *ξένους καὶ δούλους μετοίκους*] Sic omnes libri MSS. Sed *ξένους καὶ δούλους καὶ μετ.* cum Aret. Ramo Gif. Lamb. Mont. et F. A. Wolfio (ad Lept. p. LXIX.) Schn. Cor. prob. Schömann. de Comit. Athen. p. XV.; *δούλους κἀξένους μετοίκους* Valck. ad Hdt. p. 404. [*δούλους*] G., qui vehementer dubitat de servis civitate donatis, et aut delendum censet *δούλους*, aut scribendum *ξένους καὶ πολλοὺς μετοίκους*. Denique *ξένους μετοίκους καὶ δούλους* necessario scribendum esse censet Niebuhr. H. R. II, p. 346. not. 702. — *καὶ τοῦτό τις*] *κ. τούτῳ τις* I^b. Q^b. T^b. Vict. 2. Vet. („et cum hoc — dubitabit“) *κ. τοῦτο τίς* B 2. 3. — *προςαπορήσειεν*] „videtur addend. esse *ἄν*.“ Goettl. — *ἆρ' εἰ*] *ἄρ' εἰ* P 1. — *συνάπτει πρὸς τὴν*] *πρὸς* om. A 1. 2. B 2. 3. Mont. G.; *συνάπτει τῇ* etc. coniecit G., *συνάπτειν* volebat Cor. — *ἀποροῦσι*] *ἀποδδοῦσι* A 1. — *πόθ'*] „numquid“ Ar. — *οὔτ' ἄλλα πολλὰ*] *πολλὰ* om. A 1. 2. B 2. 3. G. — *ὡς ἐνίας*] *ἐνίας* om. Aret. („quasi respublica vi ac victoria constet“).

11. *Εἴπερ οὖν καὶ δημοκρατοῦνταί τινες κατὰ τὸν τρόπον τοῦτον, ὁμοίως τῆς πόλεως φατέον εἶναι ταύτης τὰς τῆς πολιτείας ταύτης πράξεις καὶ τὰς ἐκ τῆς ὀλιγαρχίας καὶ τῆς τυραννίδος. ἔοικε δ' οἰκεῖος ὁ λόγος εἶναι τῆς ἀπορίας ταύτης, πῶς ποτὲ χρὴ λέγειν τὴν πόλιν εἶναι τὴν αὐτὴν ἢ μὴ τὴν αὐτὴν ἀλλ' ἑτέραν. ἡ μὲν οὖν ἐπιπολαιοτάτη τῆς ἀπορίας ζήτησις περὶ τὸν τόπον καὶ τοὺς ἀνθρώπους ἐστίν· ἐνδέχεται γὰρ διαζευχθῆναι τὸν τόπον καὶ τοὺς ἀνθρώπους, καὶ τοὺς μὲν ἕτερον τοὺς δ' ἕτερον οἰκῆσαι τόπον. ταύτην μὲν οὖν πρᾳοτέραν θετέον τὴν ἀπορίαν· πολλαχῶς γὰρ τῆς πόλεως λεγομένης ἐστί πως εὐμάρεια τῆς τοιαύτης ζητήσεως.*

12. *Ὁμοίως δὲ καὶ τῶν τὸν αὐτὸν τόπον κατοικούντων ἀνθρώπων πότε δεῖ νομίζειν μίαν εἶναι τὴν πόλιν. οὐ γὰρ δὴ τοῖς τείχεσιν· εἴη γὰρ ἂν Πελοποννήσῳ περιβαλεῖν ἓν τεῖχος. τοιαύτη δ' ἴσως ἐστὶ καὶ Βαβυλὼν καὶ πᾶσα ἥτις ἔχει περιγραφὴν μᾶλλον ἔθνους ἢ πόλεως· ἧς γέ φασιν ἑαλωκυίας τρίτην ἡμέραν οὐκ αἰσθέσθαι τι μέρος τῆς πόλεως. ἀλλὰ περὶ μὲν ταύτης τῆς ἀπορίας εἰς ἄλλον καιρὸν χρήσιμος ἡ σκέψις· περὶ γὰρ μεγέθους τῆς πόλεως, τό τε πόσον καὶ πότερον ἔθνος ἓν ἢ πλείω συμφέρει, δεῖ μὴ λανθάνειν τὸν πολιτικόν.*

13. *Ἀλλὰ τῶν αὐτῶν κατοικούντων τὸν αὐτὸν τόπον, πότερον ἕως ἂν ᾖ τὸ γένος ταὐτὸ τῶν κατοικούντων, τὴν αὐτὴν εἶναι φατέον πόλιν, καίπερ ἀεὶ τῶν μὲν φθειρομένων τῶν δὲ γινομένων, ὥσπερ καὶ ποταμοὺς εἰώθαμεν λέγειν τοὺς αὐτοὺς καὶ κρήνας τὰς αὐτάς, καίπερ ἀεὶ τοῦ μὲν ἐπιγινομένου νάματος τοῦ δ' ὑπεξιόντος, ἢ τοὺς μὲν ἀνθρώπους φατέον εἶναι τοὺς αὐτοὺς διὰ τὴν τοιαύτην αἰτίαν, τὴν δὲ πόλιν ἑτέραν; εἴπερ γάρ ἐστι κοινωνία τις ἡ πολις, ἔστι δὲ κοινωνία πολιτῶν πολιτείας, γιγνομένης ἑτέρας τῷ εἴδει καὶ διαφερούσης τῆς πολιτείας ἀναγκαῖον εἶναι δόξειεν ἂν καὶ τὴν πόλιν εἶναι μὴ τὴν αὐτήν, ὥσπερ γε καὶ χορὸν ὁτὲ μὲν κωμικὸν ὁτὲ δὲ τραγικὸν ἕτερον εἶναί φαμεν, τῶν αὐτῶν πολλάκις ἀνθρώπων ὄντων.*

14. *Ὁμοίως δὲ καὶ πᾶσαν ἄλλην κοινωνίαν καὶ σύνθεσιν ἑτέραν, ἂν εἶδος ἕτερον ᾖ τῆς συνθέσεως, οἷον ἁρμονίαν τῶν αὐτῶν φθόγγων ἑτέραν εἶναι λέγομεν, ἂν ὁτὲ μὲν ᾖ Δώριος ὁτὲ δὲ Φρύγιος. εἰ δὴ τοῦτον ἔχει τὸν τρόπον, φανερὸν*

11. Allein gesetzt, eine Demokratie wäre eben so beschaffen, so hätte man doch die Handlungen dieser Verfassung ebensowohl für Handlungen dieses Staats anzusehn, als die von der Oligarchie und der Tyrannis ausgehenden. Der eigentliche Fragepunkt bei dieser Untersuchung ist aber wohl der, in welchem Falle man sagen muss, ein Staat sei derselbe, oder nicht mehr derselbe, sondern ein anderer. Die zunächst liegende Lösung dieser Schwierigkeit bezieht sich auf den Ort und auf die Menschen. Es können nämlich der Ort und die Menschen getrennt sein, so dass einige diesen, andere jenen Ort bewohnen. Diese Schwierigkeit hat man indess für minder beunruhigend zu halten; denn da das Wort Staat in gar vielfacher Bedeutung gebraucht wird, so ergiebt sich dadurch gewissermassen eine Erleichterung für die Lösung dieser Frage.

12. Aehnlich fragt es sich ferner, in welchem Falle Menschen, die denselben Ort bewohnen, einen Staat ausmachen. Die Mauern thun's doch offenbar nicht; denn möglicherweise könnte man um den ganzen Peloponnes eine Mauer ziehen. Von der Art ist etwa auch Babylon (von der man erzählt, dass am dritten Tage, nachdem sie eingenommen war, ein Theil der Stadt es noch nicht gemerkt habe), und jede Stadt, die mehr den Umfang einer Nation hat, als einer Stadt. Indess über diese Schwierigkeit handeln wir besser zu einer andern Zeit; denn allerdings darf der Politiker die Frage hinsichtlich der Grösse des Staats, ihrer Einwohnerzahl und ob er besser aus einer Völkerschaft oder aus mehreren bestehe, nicht unerledigt lassen.

13. Allein vorausgesetzt, dieselben Menschen bewohnen denselben Ort, muss man da, so lange das Geschlecht der Bewohner dasselbe bleibt, auch den Staat als den nämlichen ansehen, obgleich immer die eine Generation ausstirbt und eine andere geboren wird — wie wir ja auch die Ströme dieselben und die Quellen dieselben zu nennen pflegen, obgleich immer die eine Wassermasse abläuft, und eine andere sie ersetzt — oder müssen wir zwar die Menschen aus ähnlichen Gründen immer für dieselben halten, den Staat aber für einen andern? Denn ist der Staat eine gewisse Vereinigung, und ist er eine Vereinigung von Bürgern unter einer Verfassung, so muss, wenn diese Verfassung der Art nach eine andere und verschiedene wird, nothwendig der Staat als ein anderer und nicht mehr derselbe erscheinen; wie wir ja auch den Chor, der einmal ein tragischer, das anderemal ein komischer ist, einen andern nennen, obgleich die Menschen oft dieselben sind.

14. Ebenso nennen wir jede andere Vereinigung und Zusammensetzung eine andere, wenn die Art der Zusammensetzung verändert ist, so z. B. nennen wir die Harmonie derselben Töne eine andere, das einemal Dorische, das anderemal Phrygische. Verhält sich nun dies also, so müssen wir, wenn wir einen Staat denselben nennen,

---

§. 11. *εἴπερ οὖν καὶ δημοκρατοῦνταί τινες κατὰ τὸν τρόπον τοῦτον*] Vet.: „Siquidem ergo in democratiam versae (Thom. versi) fuerint, quidam („secundum" inserit Thom.) hunc habent modum. Similiter dicendum civitatis huius esse eas, quae huius politiae, actiones, et eas, quae ex oligarchia et tyrannide". Aret.: „Si igitur per hunc modum quaedam in populari statu fiunt". Ante *κατὰ* comma posuerunt Schn. et G., qui tamen in Adnotat. etiam nostram interpungendi rationem probari posse existimat. — *ἐνδέχεται γὰρ*] *ἐνδ. γὰρ καὶ* I^b. — *πρᾳοτέραν*] „minor" Vet., *πρωτέραν* Q^b. T^b., *πραοτέραν* cum ι subscr. G. cum omn. fere edd. antiq.

§. 12. *τῶν τὸν αὐτὸν τόπον*] *τῶν* et *αὐτὸν* om. A 1. 2. B 2. 3. G.; *τόπον* om. I^b. Q^b. T^b. — *τὴν πόλιν*] *τὴν* om. Schn. G. tacite! — *οὐ γὰρ δὴ*] *δεῖ* pro *δὴ* Q^b. P 1.; post *τείχεσι* Aret.: „definitur hoc", et similiter verb. finit. addunt Lamb. Ram. in Lut. adscriptum ab antiqua manu *ἡ πόλις ὁρίζεται*. — *καὶ πᾶσα*] *καὶ* om. B 3. Ceterum haec verba *καὶ πᾶσα ἥτις ἔχει* — *ἢ πόλεως* separavit commodius et post verba *τι μέρος τῆς πόλεως* apposuit Aretinus, quem ordinem retinuit Ram. eundemque nos secuti sumus in translatione. — *τό τε πόσον*] *ποσὸν* A 1. 2. B 2. 3. Vict. 2. Schn. G.; *ποσῶν* Conringius vidit in Z. A 2. Nostra script. prim. est in Lut. Sylb. rell.; G. tacet. Schn. ex B 3. male retulit *πόσον*. — *ἔθνος ἓν*] *ἔθνος*, quod om. I^b. T^b. A 1. 2. B 2. 3. Aret. Camer. G. et omnes Codd. Göttl., prim. add. Lut. Vict. 2. et reliqui. „In P 1. 3. vacuum spatium huic voci relictum, in P 1. plurium vocum ut videtur". Goettl.

§. 13. *καίπερ ἀεὶ — τὰς αὐτάς*] male om. I^b. Ceterum notabis h. l. inconstantiam edd. vett. B 2. 3. Vict., quae hic *καίπερ αἰεὶ* et statim post *καίπερ ἀεὶ* habent. — *εἴπερ γὰρ — μὴ τὴν αὐτὴν*] om. I^b. — *πολιτῶν πολιτείας, γιγνομένης*] Sic prim. interpunxit Schn. et cum eo Cor. Göttl., sed Bekk. veterem restituit interpunctionem, qua comma post *πολιτῶν* ponebatur. — *δόξειεν ἂν*] *ἂν* om. P 1. et non opus esse ut addatur censet G. — *ἀνθρώπων*] om. Q^b. T^b.

§. 14. *ᾖ τῆς συνθέσεως*] *τῆς συνθέσεως ᾖ* P 1. — *λέγομεν, ἂν ὁτὲ μὲν — ὁτὲ δὲ*] *λέγοιμεν* I^b. Q^b. T^b.; *λέγοιμεν ἄν*, commate post *ἂν* posito, A 1. 2. B 2. 3. Vict. 2. Schn. Cor. G.; Bekkeri scriptura a nobis re-

ὅτι μάλιστα λεκτέον τὴν αὐτὴν πόλιν εἰς τὴν πολιτείαν βλέποντας· ὄνομα δὲ καλεῖν ἕτερον ἢ ταὐτὸν ἔξεστι καὶ τῶν αὐτῶν κατοικούντων αὐτὴν καὶ πάμπαν ἑτέρων ἀνθρώπων. εἰ δὲ δίκαιον διαλύειν ἢ μὴ διαλύειν, ὅταν εἰς ἑτέραν μεταβάλλῃ πολιτείαν ἡ πόλις, λόγος ἕτερος.

CAP. II.

Cap. 1. Bkk. 1. *Τῶν δὲ νῦν εἰρημένων ἐχόμενόν ἐστιν ἐπισκέψασθαι, πότερον τὴν αὐτὴν ἀρετὴν ἀνδρὸς ἀγαθοῦ καὶ πολίτου σπουδαίου θετέον, ἢ μὴ τὴν αὐτήν. ἀλλὰ μὴν εἴ γε τοῦτο τυχεῖν δεῖ ζητήσεως, τὴν τοῦ πολίτου τύπῳ τινὶ πρῶτον ληπτέον. ὥςπερ οὖν ὁ πλωτὴρ εἷς τις τῶν κοινωνῶν ἐστίν, οὕτω καὶ τὸν πολίτην φαμέν. τῶν δὲ πλωτήρων, καίπερ ἀνομοίων ὄντων τὴν δύναμιν (ὁ μὲν γάρ ἐστιν ἐρέτης, ὁ δὲ κυβερνήτης, ὁ δὲ πρωρεύς, ὁ δ' ἄλλην τιν' ἔχων τοιαύτην ἐπωνυμίαν), δῆλον, ὡς ὁ μὲν ἀκριβέστατος ἑκάστου λόγος ἴδιος ἔσται τῆς ἀρετῆς, ὁμοίως δὲ καὶ κοινός τις ἐφαρμόσει πᾶσιν. ἡ γὰρ σωτηρία τῆς ναυτιλίας ἔργον ἐστὶν αὐτῶν πάντων· τούτου γὰρ ἕκαστος ὀρέγεται τῶν πλωτήρων.*

2. *Ὁμοίως τοίνυν καὶ τῶν πολιτῶν, καίπερ ἀνομοίων ὄντων, ἡ σωτηρία τῆς κοινωνίας ἔργον ἐστί, κοινωνία δ' ἐστὶν ἡ πολιτεία· διὸ τὴν ἀρετὴν ἀναγκαῖον εἶναι τοῦ πολίτου πρὸς τὴν πολιτείαν. εἴπερ οὖν ἐστὶ πλείω πολιτείας εἴδη, δῆλον ὡς οὐκ ἐνδέχεται τοῦ σπουδαίου πολίτου μίαν ἀρετὴν εἶναι τὴν τελείαν· τὸν δ' ἀγαθὸν ἄνδρα φαμὲν εἶναι κατ' ἀρετὴν τελείαν. ὅτι μὲν οὖν ἐνδέχεται πολίτην ὄντα σπουδαῖον μὴ κεκτῆσθαι τὴν ἀρετὴν καθ' ἣν σπουδαῖος ἀνήρ, φανερόν.*

3. *Οὐ μὴν ἀλλὰ καὶ κατ' ἄλλον τρόπον ἔστι διαποροῦντας ἐπελθεῖν τὸν αὐτὸν λόγον περὶ τῆς ἀρίστης πολιτείας. εἰ γὰρ ἀδύνατον ἐξ ἁπάντων σπουδαίων ὄντων εἶναι πόλιν, δεῖ δ' ἕκαστον τὸ καθ' αὑτὸν ἔργον εὖ ποιεῖν, τοῦτο δ' ἀπ' ἀρετῆς, ἐπεὶ δ' ἀδύνατον ὁμοίους εἶναι πάντας τοὺς πολίτας, οὐκ ἂν εἴη μία ἀρετὴ πολίτου καὶ ἀνδρὸς ἀγαθοῦ. τὴν μὲν γὰρ τοῦ σπουδαίου πολίτου δεῖ πᾶσιν ὑπάρχειν (οὕτω γὰρ ἀρίστην ἀναγκαῖον εἶναι τὴν πόλιν), τὴν δὲ τοῦ ἀνδρὸς τοῦ ἀγαθοῦ ἀδύνατον, εἰ μὴ πάντας ἀναγκαῖον ἀγαθοὺς εἶναι τοὺς ἐν τῇ σπουδαίᾳ πόλει πολίτας.*

4. *Ἔτι ἐπεὶ ἐξ ἀνομοίων ἡ πόλις, ὥςπερ ζῷον εὐθὺς ἐκ ψυχῆς καὶ σώματος, καὶ ψυχὴ ἐκ λόγου καὶ ὀρέξεως, καὶ οἰκία ἐξ ἀνδρὸς καὶ γυναικός, καὶ*

hauptsächlich auf die Verfassung sehen. Wir können ihm denselben oder einen andern Namen geben, sowohl wenn dieselben Menschen, als wenn ganz andere ihn bewohnen. Ob es aber gerecht ist, wenn ein Staat seine Verfassung ändert, die frühern Verträge und Verpflichtungen zu erfüllen oder nicht zu erfüllen, das ist eine andere Untersuchung.

Kap. II.

1. An das so eben Gesagte schliesst sich die Untersuchung an: ob man die Tugend eines guten Menschen und eines tüchtigen Bürgers für ein und dieselbe zu halten hat, oder nicht für ein und dieselbe. Allein freilich wenn dieser Punkt in's Klare gebracht zu werden verdient, so müssen wir erst die Tugend des Bürgers in gewissen Grundzügen auffassen. Wie nun der Schiffer ein Glied einer Gemeinschaft ist, so auch der Bürger. Bei den Schiffern aber, obgleich sie ihrem Wesen und ihrer Verrichtung nach verschieden sind (denn da ist der eine Ruderer, der andere Steuermann, der andere Untersteuermann, ein anderer hat einen andern Namen der Art), ist zwar offenbar der genaueste Begriff jedes Einzelnen der, welcher seine besondere Tüchtigkeit anzeigt, jedoch kommt ebensogut auch ein gemeinsamer Allen zu. Nämlich die Sicherung der Fahrt ist Zweck und Ziel für sie alle; denn darnach strebt jeder Einzelne von ihnen.

2. Ebenso ist nun auch für die Bürger, obschon sie ungleich sind, die Sicherung der Gemeinschaft Zweck und Ziel; ihre Gemeinschaft aber ist die Verfassung. Somit muss sich die Tugend des Bürgers nothwendig auf die Verfassung beziehen. Wenn es nun mehrere Arten der Verfassung giebt, so kann offenbar des guten Bürgers Tugend nicht e i n e und zwar die schlechthin vollkommene sein. Einen tugendhaften Menschen dagegen nennen wir so in Bezug auf die vollendete Tugend. Dass also Einer ein guter Bürger sein kann, ohne die Tugend zu besitzen, welche den guten Menschen ausmacht, leuchtet ein.

3. Allein auch noch auf eine andere Art können wir denselben Gegenstand einer untersuchenden Betrachtung unterwerfen, hinsichtlich der besten Verfassung. Denn wenn unmöglich ein Staat aus lauter tugendhaften Menschen bestehen kann, dabei aber jeder Einzelne sein Geschäft gut verrichten muss, dies aber aus ihrer Tugend resultirt, so kann, da die Bürger unmöglich alle gleich sein können, die Tugend eines Bürgers und eines guten Menschen nicht e i n e sein. Denn die Tugend des guten Bürgers müssen Alle besitzen, (denn so wird nothwendig der Staat der beste sein), die des guten Menschen dagegen können sie unmöglich Alle besitzen; es müsste denn sein, dass alle Bürger in dem guten Staate nothwendig gut sein müssten.

4. Ferner, da der Staat aus ungleichen Theilen besteht, wie das Thier z. B. aus Seele und Leib, die Seele aus Verstand und Begehrungsvermögen, die Familie aus Mann und Weib, der Besitz aus Herr und

---

cepta Göttlingioque probata et auctoritate 6 Codd. Bekkeri nec non P 1. Aret. Vet. firmata, non a Sylb. prim. est typis expressa; nam legitur in Lut., unde transiit in Sylb. Ram. (Hanoviae 1611.) Heins. (LB. 1621.) Conring.; ὀτὲ — ὀτὲ (sic) A 1. 2. Vict. 2.; ὅτε — ὅτε B 2. 3. Schn. G. — *μεταβάλλῃ*] *μεταβάλη* I^b.

Cap. II. §. 1. *θετέον*] om. I^b. — *ληπτέον*] *σκεπτέον* A 1. 2. B 2. 3. G. — *τῶν κοινωνῶν*] *τῶν κοινῶν* P 2. 3. — *πρωρεὺς*] *πλωρεὺς* A 1. — *ὡς ὁ μὲν*] *ὅτι ὁ μὲν* vir doct. in marg. Lut. — *ὁμοίως δὲ*] *ὅμως δὲ* Vict. 2. (cfr. Vict. Var. lectt. XXXVI, 15.) Giph. Schn. Cor. et vir doctus in marg. Lut. prob. Conr. Cas. Ipso tamen auctor huius scripturae Victor. p. 197. in omnibus et calamo exaratis et impressis libris *ὁμοίως* legi fatetur.

§. 2. *καὶ τῶν πολιτῶν*] *καὶ τῶν πολιτειῶν* Aret. — *τὸν δ' ἀγαθὸν ἄνδρα φαμὲν εἶναι κατ' ἀρετὴν τελείαν*] haec verba om. A 1. 2. B 2. 3. Q^b. T^b. et pr. I^b.; primum inveni in Lut. Vict. 2. [ ] G., sed idem probat scripturam: *τὸν δ' ἀγ. ἄνδρα φαμὲν κατὰ μίαν ἀρετὴν εἶναι τὴν τελείαν*, quae est in P 1. 2. 3. 4. et rc. I^b., in quo tamen *φαμεν* sine accentu scriptum et *τὴν* omissum est. In commentariis Vict. Sylburgii et Schneideri de hac lacuna nihil dictum est, quare cum verba illa legantur in omnibus exemplaribus post B 3. editis, nescio, unde habeat G., Victorium ea ex ingenio ad veterem translationem supplevisse, praesertim cum a Victorio etiam MSS. libros collatos esse constet.

§. 3. *ἐπελθεῖν τὸν αὐτὸν λόγον*] „venire ad eandem rationem" Vet. — *ἐπεὶ δ' ἀδύνατον*] *δὲ* G. c. aliq. antiq. edd. in quibus B 3.; *ἐπειδὴ ἀδ.*, quod coniecit Sylb., recep. Schn. Cor.; „quia impossibile" Vet. — *ὁμοίους εἶναι*] *ὁμοίως* T^b. — *τὴν πόλιν*] *τὴν πολιτείαν* P 1. (at in marg. *πόλιν*), scriptura non spernenda. — *τοῦ ἀγαθοῦ*] *τοῦ* om. T^b.

κτῆσις ἐκ δεσπότου καὶ δούλου, τὸν αὐτὸν δὲ τρόπον καὶ πόλις ἐξ ἁπάντων τε τούτων καὶ πρὸς τούτοις ἐξ ἄλλων ἀνομοίων συνέστηκεν εἰδῶν, ἀνάγκη μὴ μίαν εἶναι τὴν τῶν πολιτῶν πάντων ἀρετήν, ὥςπερ οὐδὲ τῶν χορευτῶν κορυφαίου καὶ παραστάτου.

5. Διότι μὲν τοίνυν ἁπλῶς οὐχ ἡ αὐτή, φανερὸν ἐκ τούτων· ἀλλ' ἆρα ἔσται τινὸς ἡ αὐτὴ ἀρετὴ πολίτου τε σπουδαίου καὶ ἀνδρὸς σπουδαίου; φαμὲν δὴ τὸν ἄρχοντα τὸν σπουδαῖον ἀγαθὸν εἶναι καὶ φρόνιμον, τὸν δὲ πολιτικὸν ἀναγκαῖον εἶναι φρόνιμον. καὶ τὴν παιδείαν δ' εὐθὺς ἑτέραν εἶναι λέγουσί τινες τοῦ ἄρχοντος, ὥςπερ καὶ φαίνονται οἱ τῶν βασιλέων υἱεῖς ἱππικὴν καὶ πολεμικὴν παιδευόμενοι, καὶ Εὐριπίδης φησὶ

„μή μοι τὰ κόμψ', ἀλλ' ὧν πόλει δεῖ“,

ὡς οὖσάν τινα ἄρχοντος παιδείαν.

6. Εἰ δὴ ἡ αὐτὴ ἀρετὴ ἄρχοντός τε ἀγαθοῦ καὶ ἀνδρὸς ἀγαθοῦ, πολίτης δ' ἐστὶ καὶ ὁ ἀρχόμενος, οὐχ ἡ αὐτὴ ἁπλῶς ἂν εἴη πολίτου καὶ ἀνδρός, τινὸς μέντοι πολίτου· οὐ γὰρ ἡ αὐτὴ ἄρχοντος καὶ πολίτου, καὶ διὰ τοῦτ' ἴσως Ἰάσων ἔφη πεινῆν, ὅτε μὴ τυραννοῖ, ὡς οὐκ ἐπιστάμενος ἰδιώτης εἶναι.

7. Ἀλλὰ μὴν ἐπαινεῖταί γε τὸ δύνασθαι ἄρχειν καὶ ἄρχεσθαι, καὶ πολίτου δοκίμου ἡ ἀρετὴ εἶναι τὸ δύνασθαι καὶ ἄρχειν καὶ ἄρχεσθαι καλῶς. εἰ οὖν τὴν μὲν τοῦ ἀγαθοῦ ἀνδρὸς τίθεμεν ἀρχικήν, τὴν δὲ τοῦ πολίτου ἄμφω, οὐκ ἂν εἴη ἄμφω ἐπαινετὰ ὁμοίως. ἐπεὶ οὖν ποτὲ δοκεῖ ἀμφότερα καὶ οὐ ταὐτὰ δεῖν τὸν ἄρχοντα μανθάνειν καὶ τὸν ἀρχόμενον, τὸν δὲ πολίτην ἀμφότερ' ἐπίστασθαι καὶ μετέχειν ἀμφοῖν, τοὐντεῦθεν ἂν κατίδοι τις.

8. Ἔστι γὰρ ἀρχὴ δεσποτική· ταύτην δὲ τὴν περὶ τἀναγκαῖα λέγομεν, ἃ ποιεῖν ἐπίστασθαι τὸν ἄρχοντ' οὐκ ἀναγκαῖον, ἀλλὰ χρῆσθαι μᾶλλον· θάτερον δὲ καὶ ἀνδραποδῶδες. λέγω δὲ θάτερον τὸ δύνασθαι καὶ ὑπηρετεῖν τὰς διακονικὰς πράξεις. δούλου δ' εἴδη πλείω λέγομεν· αἱ γὰρ ἐργασίαι πλείους. ὧν ἓν μέρος κατέχουσιν οἱ χερνῆτες·

Sklave, und ebenso auch der Staat aus allen diesen, und dazu noch aus andern ungleichartigen Bestandtheilen zusammengesetzt ist: so kann nothwendig die Tugend aller Bürger nicht **eine** sein, wie ja auch unter den Choreuten die Virtuosität des Chorführers und des Nebenmannes nicht ein und dieselbe ist.

So ergiebt sich denn das Resultat, dass er Gesetzgeber sein, und dass überhaupt Gesetze feststehen müssen, nur dürfen diese nicht da bindende Kraft haben, wo sie vom Rechten abirren; in allen andern Fällen müssen sie bindende Kraft haben. Worüber aber das Gesetz entweder überhaupt nicht, oder nicht gut zu entscheiden vermag, soll darüber **Einer**, und zwar der Beste entscheiden, oder **Alle**? Die Erfahrung spricht für das Letztere, denn auch heutzutage tritt zu Verhandlungen, Berathungen und richterlichen Entscheidungen das Volk zusammen; alle diese Entscheidungen aber betreffen Einzelfälle. Einzeln genommen also ist vielleicht jeder Einzelne weniger werth als der beste Monarch; aber mit dem Staate als dem Inbegriff Vieler ist's, wie mit einem aus Beiträgen zusammengebrachten Schmause, der schöner ist als einer, der von einem Einzigen veranstaltet wird. Aus diesem Grunde beurtheilt auch die Masse Vieles besser, als Einer, er sei wer er sei.

6. Ἔτι μᾶλλον ἀδιάφθορον τὸ πολύ· καθάπερ ὕδωρ τὸ πλεῖον, οὕτω καὶ τὸ πλῆθος τῶν ὀλίγων ἀδιαφθορώτερον· τοῦ δ' ἑνὸς ὑπ' ὀργῆς κρατηθέντος ἤ τινος ἑτέρου πάθους τοιούτου ἀναγκαῖον διεφθάρθαι τὴν κρίσιν· ἐκεῖ δ' ἔργον ἅμα πάντας ὀργισθῆναι καὶ ἁμαρτεῖν. ἔστω δὲ τὸ πλῆθος οἱ ἐλεύθεροι, μηδὲν παρὰ τὸν νόμον πράττοντες, ἀλλ' ἢ περὶ ὧν ἐκλείπειν ἀναγκαῖον αὐτόν. εἰ δὲ δὴ τοῦτο μὴ ῥᾴδιον ἐν πολλοῖς, ἀλλ' εἰ πλείους εἶεν ἀγαθοὶ καὶ ἄνδρες καὶ πολῖται, πότερον ὁ εἷς ἀδιαφθορώτερος ἄρχων, ἢ μᾶλλον οἱ πλείους μὲν τὸν ἀριθμὸν ἀγαθοὶ δὲ πάντες; ἢ δῆλον ὡς οἱ πλείους; ἀλλ' οἱ μὲν στασιάσουσιν, ὁ δ' εἷς ἀστασίαστος. ἀλλὰ πρὸς τοῦτ' ἀντιθετέον ἴσως, ὅτι σπουδαῖοι τὴν ψυχήν, ὥσπερ κἀκεῖνος ὁ εἷς.

6. Ferner ist auch das Viele weniger der Verderbniss unterworfen. Wie die grössere Menge Wassers, so ist auch die Menge weniger leicht zu verderben, als Wenige. Wird aber der Eine von Zorn oder von irgend einer andern ähnlichen Leidenschaft überwältigt, so wird sein Urtheil nothwendig verfälscht sein. Dort hingegen ist es sehr schwer, dass Alle zugleich zornig werden und Fehler begehen. Wir verstehen aber unter der Menge die Freigebornen und demgemäss Gebildeten, die nichts gegen das Gesetz thun, ausgenommen da, wo dasselbe nothwendig unzureichend ist. Wenn dies nun aber nicht leicht bei Vielen der Fall ist, sondern wenn etwa nur mehrere gute Männer und Bürger vorhanden wären, ist auch da der Eine als Herrscher weniger der Verderbniss unterworfen, oder vielmehr die Mehreren, die aber Alle gut sind? Doch offenbar wohl die Mehreren. „Aber bei Diesen sind Parteispaltungen möglich, bei dem Einen nicht.“ Allein dagegen lässt sich vielleicht erwidern, dass jene gleich verständigen und tüchtigen Geistes sind, wie jener Eine.

7. Εἰ δὴ τὴν μὲν τῶν πλειόνων ἀρχὴν ἀγαθῶν δ' ἀνδρῶν πάντων ἀριστοκρατίαν θετέον, τὴν δὲ τοῦ ἑνὸς βασιλείαν, αἱρετώτερον ἂν εἴη ταῖς πόλεσιν ἀριστοκρατία βασιλείας, καὶ μετὰ δυνάμεως καὶ χωρὶς δυνάμεως οὔσης τῆς ἀρχῆς, ἂν ᾖ λαβεῖν πλείους ὁμοίους. καὶ διὰ τοῦτ' ἴσως ἐβασιλεύοντο πρότερον, ὅτι σπάνιον ἦν εὑρεῖν ἄνδρας πολὺ διαφέροντας κατ' ἀρετήν, ἄλλως τε καὶ τότε μικρὰς οἰκοῦντας πόλεις. ἔτι δ' ἀπ' εὐεργεσίας καθίστασαν τοὺς βασιλεῖς, ὅπερ ἐστὶν ἔργον τῶν ἀγαθῶν ἀνδρῶν. ἐπεὶ δὲ συνέβαινε γίγνεσθαι

7. Hat man nun also die Herrschaft Mehrerer, die aber alle tugendhafte Männer sind, Aristokratie, die des Einen dagegen Königthum zu nennen, so wäre für die Staaten Aristokratie dem Königthum vorzuziehen, mag nun die Herrschaft mit einer vollziehenden Macht ausgestattet sein oder nicht, vorausgesetzt, dass es möglich ist, eine Anzahl gleich guter Männer zu finden. Deshalb war auch wohl das Königthum die früheste Form der bürgerlichen Gesellschaft, weil es schwer war, mehrere an Tüchtigkeit hervorragende Männer zu finden, zumal bei der damaligen Kleinheit der Staaten. Ferner erhob man Einzelne zu Königen wegen ihrer wohlthätigen Wirksamkeit, welche ein charakteristisches Merkmal ausgezeichneter Menschen ist. Als aber der Fall eintrat,

— *ὅσα δὲ*] *δὲ* om. Lut. Sylb. (non B 3. ut dicit Schn.), in quibus post *εὖ* punctum positum est et post *πότερον* particula *δὲ* inserta. Sylb. secuti sunt Ram. Lamb. Heins. Conring. — *δεῖ ἄρχειν*] *δεῖ διαιρεῖν* vel *διαιρεῖν* sine *δεῖ* coniecit Cor. — *ἢ πάντας*] Sic B 3. Lut. Vict. 2. Sylb. Gif. Mont. Conr. Schn. Cor. et Bkk. cum 6 Codd., quod G. in libris MSS. inveniri negaverat; *ἢ πάνυ* I^b. Q^b. T^b. P 2. 3. A 1. B 2. *ἢ πολλοὺς* P 1. (sed in margine *πάνυ*) Vet. Aret. A 2. Sepulv. Itaque Göttl. duplicem illam scripturam coniungens edidit *ἢ πάνυ πολλούς*. Et sane commendatur *πολλοὺς* et consensu testium antiquissimorum et verbis §. 6. his: *εἰ δὲ δὴ τοῦτο μὴ ῥᾴδιον ἐν πολλοῖς*. — *καὶ βουλεύονται*] *καὶ βασιλεύονται* B 3. — *ἀλλ' ἐστὶν*] Sic tacite Bkk. contra edd. vett. et recent. nec non intpp. omnes, in quibus *ἀλλ' ἔστιν*, quod ferri vix posse existimo. — *μιᾶς καὶ ἁπλῆς*] „quam una et simplex mensa“, Aret. — *κρίνει ἄμεινον*] *κρίνειν* Q^b. T^b. A 1. A 2. B 2. Casaub. (hic quoque ut centenis aliis locis B 3. prim. veram habet scripturam). *ἀμείνων* A 2.

§. 6. *ἀδιάφθορον — ἀδιαφθορώτερον*] „Vet. bis in hoc verbo variavit. Scriptum enim *ἀδιάφορον* et *ἀδιαφορώτερον* reperit“. Schn. — *καθάπερ*] *καὶ καθάπερ* Cor. sine auctoritate. Equidem si usum Aristotelis in comparationibus faciendis recte teneo, antiquitus haec vv. scripta fuisse existimo sic: *ἔτι μᾶλλον ἀδιάφθορον, καθάπερ ὕδωρ τὸ πλεῖον, οὕτω καὶ τὸ πλῆθος τῶν ὀλίγων*, expunctis verbis *τὸ πολὺ* (quae fortasse fuit varia scriptura ad *τὸ πλεῖον*) et *ἀδιαφθορώτερον*. — *ὑπ' ὀργῆς*] *ὑπὲρ γῆς* T^b. — *ὀργισθῆναι*] „Vet. *ὁρμηθῆναι* videtur reperisse, quod vertit: *impetu ferri*.“ Schn. — *περὶ ὧν*] *περὶ ὃν* Q^b. T^b., *περὶ ὂν* I^b. A 1. 2. B 2. 3. „minus convenienter“ Sylb. „Idem supra dixit *ᾗ παρεκβαίνουσιν*“ Schneid. — *στασιάσουσιν*] *στασιάσουσιν* edidi cum P 1. 3. A 1. 2. B 2. B 3. Mont. Cas. Göttl., *στασιάζουσιν* Bkk. cum reliquis. — *σπουδαῖοι τὴν ψυχὴν*] *πάντες* post *ψυχὴν* additum reperit Aret.

§. 7. *πλείους ὁμοίους*] *πλείους ὁμοίως* Q^b. T^b. Vet. Aret. A 1. 2. B 2. B 3. Lut. Sylb. Cas. G. Sed Göttl. cum in P 1. 3. *ὁμοίους* invenisset, hoc recipiendum fuisse iudicavit in Adnotat. — *πολὺ διαφέροντας*] „legere queas *πολλοὺς διαφέροντας*, ut mox *πολλοὺς ὁμοίους*“ Sylb.; receperunt hanc coniect. Schn. Cor.; Aretinus vertit: „plures“. — *οἰκοῦν-*

πολλοὺς ὁμοίους πρὸς ἀρετήν, οὐκέτι ὑπέμενον ἀλλ' ἐζήτουν κοινόν τι καὶ πολιτείαν καθίστασαν.

dass mehrere an Geistestüchtigkeit gleiche Männer sich fanden, liessen sie sich das nicht mehr gefallen, sondern strebten nach einem Gemeinwesen und stifteten eine republikanische Verfassung.

8. Ἐπεὶ δὲ χείρους γιγνόμενοι ἐχρηματίζοντο ἀπὸ τῶν κοινῶν, ἐντεῦθέν ποθεν εὔλογον γενέσθαι τὰς ὀλιγαρχίας· ἔντιμον γὰρ ἐποίησαν τὸν πλοῦτον. ἐκ δὲ τούτων πρῶτον εἰς τυραννίδας μετέβαλλον, ἐκ δὲ τῶν τυραννίδων εἰς δημοκρατίαν· ἀεὶ γὰρ εἰς ἐλάττους ἄγοντες δι' αἰσχροκέρδειαν ἰσχυρότερον τὸ πλῆθος κατέστησαν, ὥστ' ἐπιθέσθαι καὶ γενέσθαι δημοκρατίας. ἐπεὶ δὲ καὶ μείζους εἶναι συμβέβηκε τὰς πόλεις, ἴσως οὐδὲ ῥᾴδιον ἔτι γίγνεσθαι πολιτείαν ἑτέραν παρὰ δημοκρατίαν.

8. Als sie aber ausarteten und sich an den Gütern des Gemeinwesens bereicherten, mussten hieraus natürlich die Oligarchien entstehen; denn sie lehrten den Reichthum als werthvoll ansehen. Von hier war der nächste Uebergang zur Tyrannenherrschaft, und von dieser zur Demokratie; denn indem die Gewalthaber aus schändlicher Habsucht ihre eigne Anzahl fort und fort verringerten, verstärkten sie die Masse, so dass diese sich zuletzt auflehnte, wo denn Demokratien entstanden. Und da nun auch die Staaten grösser geworden sind, so dürfte das Entstehen einer andern Verfassung ausser der Demokratie nicht leicht mehr möglich sein.

9. Εἰ δὲ δή τις ἄριστον θείη τὸ βασιλεύεσθαι ταῖς πόλεσιν, πῶς ἕξει τὰ περὶ τῶν τέκνων; πότερον καὶ τὸ γένος δεῖ βασιλεύειν; ἀλλὰ γιγνομένων ὁποῖοί τινες ἔτυχον, βλαβερόν. ἀλλ' οὐ παραδώσει κύριος ὢν τοῖς τέκνοις. ἀλλ' οὐκέτι τοῦτο ῥᾴδιον πιστεῦσαι· χαλεπὸν γάρ, καὶ μείζονος ἀρετῆς ἢ κατ' ἀνθρωπίνην φύσιν.

9. Falls man nun aber die Herrschaft eines Königs den Staaten für die zuträglichste erachtete, wie soll es da mit dessen Kindern gehalten werden? Soll die königliche Würde auch auf die Nachkommen übergehen? Allein das ist ja, wenn diese zufällig von der Art sind, wie sie zuweilen vorkommen, schädlich. „Aber solchen Kindern wird ja ein König, obschon er dazu die Macht hat, die Herrschaft nicht übergeben!“ Allein das ist kaum glaublich, denn es ist schwer, und es gehört dazu eine grössere Tugend, als deren die menschliche Natur fähig ist.

10. Ἔχει δ' ἀπορίαν καὶ περὶ τῆς δυνάμεως, πότερον ἔχειν δεῖ τὸν μέλλοντα βασιλεύειν ἰσχύν τινα περὶ αὑτόν, ᾗ δυνήσεται βιάζεσθαι τοὺς μὴ βουλομένους πειθαρχεῖν, ἢ πῶς ἐνδέχεται τὴν ἀρχὴν διοικεῖν; εἰ γὰρ καὶ κατὰ νόμον εἴη κύριος, μηδὲν πράττων κατὰ τὴν αὑτοῦ βούλησιν παρὰ τὸν νόμον, ὅμως ἀναγκαῖον ὑπάρχειν αὐτῷ δύναμιν, ᾗ φυλάξει τοὺς νόμους. τάχα μὲν οὖν τὰ περὶ τὸν βασιλέα τὸν τοιοῦτον οὐ χαλεπὸν διορίσαι· δεῖ γὰρ αὐτὸν μὲν ἔχειν ἰσχύν, εἶναι δὲ τοσαύτην τὴν ἰσχύν, ὥστε ἑκάστου μὲν καὶ ἑνὸς καὶ συμπλειόνων κρείττω, τοῦ δὲ πλήθους ἥττω, καθάπερ οἵ τ' ἀρχαῖοι τὰς φυλακὰς ἐδίδοσαν, ὅτε καθισταῖέν τινα τῆς πόλεως ὃν ἐκάλουν αἰσυμνήτην ἢ τύραννον, καὶ Διονυσίῳ τις, ὅτ' ᾔτει τοὺς φύλακας, συνεβούλευε τοῖς Συρακουσίοις διδόναι τοσούτους τοὺς φύλακας.

10. Eine andere Frage entsteht hinsichtlich der vollziehenden Macht. Muss Der, welcher die Königsherrschaft führen soll, eine Macht zu seiner Verfügung haben, womit er Die, welche nicht gehorchen wollen, zu zwingen im Stande ist, oder wie soll er möglicherweise seine Herrschaft verwalten? Denn wenn er auch gesetzliches Staatsoberhaupt ist, wenn er auch nichts willkürlich gegen das Gesetz thut, so muss er dennoch eine Macht zur Verfügung haben, womit er über die Gesetze wache. Indess bei einem solchen Könige, wie wir ihn hier denken, ist das wohl leicht entschieden. Ein solcher nämlich muss eine Macht haben, doch muss diese Macht nur so gross sein, dass sie zwar sowohl jedem Einzelnen als auch der Verbindung Mehrerer überlegen, aber doch schwächer ist, als die Gesammtmasse des Volks, gerade wie die Alten bei der Verleihung der Leibwachen verfuhren, wann sie einen sogenannten Aisymneten oder Tyrannen dem Staate vorsetzten, und wie Jemand, als Dionysios um die Leibwächter bat, den Syrakusern rieth, ihm eine solche Anzahl von Leibwächtern zu geben.

CAP. XI.

Cap. 16. Bkk. 1. Περὶ δὲ τοῦ βασιλέως τοῦ κατὰ τὴν αὑτοῦ βούλησιν πάντα πράττοντος ὅ τε λόγος ἐφέστηκε νῦν καὶ ποιητέον τὴν σκέψιν. ὁ μὲν γὰρ κατὰ νόμον λεγόμενος βασιλεὺς οὐκ ἔστιν εἶδος, καθάπερ εἴπομεν, πολιτείας· ἐν πάσαις γὰρ ὑπάρ-

Kap. XI.

1. Hieran schliesst sich jetzt die Untersuchung über den König, welcher Alles nach seinem Willen verwaltet. Der durch das Gesetz bestimmte König bildet nämlich, wie schon gesagt, keine besondere Art von Staatsverfassung. Denn ein lebenslängliches Feldherrnamt kann es in allen Verfassungen geben, z. B. in der Demokratie

---

τας] „habitabant“ Vet. — πολλοὺς ὁμοίους] π. ὁμοίως Vet. A 1. 2. B 2. B 3. Lut. et sic etiam G., sed in Adnotat. mutavit sententiam, et probavit ὁμοίους.

§. 8. χείρους γιγνόμενοι] γενόμενοι P 1. — μετέβαλλον] μετέβαλον Cor. — ἐλάττους ἄγοντες] „redientes“ Aret.

§. 9. εἰ δὲ δή τις] δὴ om. Vet. „Sin autem quis“ Aret. — περὶ τῶν τέκνων] παρὰ τῶν τέκνων Iulian. Orat. p. 260. — ὁποῖοί τινες] ὁποίων τινες Q^b. T^b. A 2. Lut. Sylb. Vict. 2. Conr. Lamb. Cod. Camerarii Schn. Cor. et sic G., qui nullam affert discrepantiam, nisi quod ὁποῖον sit in A. 1. quod recep. Montecat. Videtur igitur Göttl. ὁποίων in omnib. Cdd. suis invenisse. At vero nostrum est in B 2. 3. Iulian. l. l. Aret., et recep. Bkk. — ἀλλ' οὐ παραδώσει κύριος ὢν τοῖς τέκνοις] horum verborum loco, quae om. Q^b. T^b., habent ἀλλ' οὐ καταλείψει τοὺς υἱοὺς διαδόχους ὁ βασιλεὺς ἐπ' ἐξουσίας ἔχων τοῦτο ποιῆσαι Cod. Camerarii Aret. Lut. Sylb. Lamb., quos carbonem pro thesauro arripuisse dicit Göttling. Schneiderus, qui scripturam illam etiam B 3. tribuit, hic quoque ut centenis aliis locis falsus est. Denique notanda est interpretatio Aretini: „sed non relinquet regnum huiusmodi natis rex cum id in sua potestate sit“. Unde fortasse vir doctus in marg. Lut. τοιούτους υἱοὺς pro τοὺς υἱοὺς scribendum coniecit. Et profecto in nostra quoque scriptura τοιούτοις reponendum videtur. — ἀλλ' οὐκέτι] ἀλλ' οὐκ ἔστι P 1. bene! Goettl.

§. 10. ᾗ δυνήσεται] ἢ δυνήσ. I^b. Q^b. T^b. B 2. B 3., ἣ δυνήσ. A 1. — ᾗ φυλάξει] ἢ φυλ. Q^b., ἢ φυλάξαι I^b. T^b. — καθισταῖεν] καθισταῖον Q^b. — αἰσυμνήτην] αἰσυμνητὴν A. 1. B 2. B 3. Lut. — συνεβούλευε τοῖς Συρ. διδόναι τοσούτους τοὺς φύλακας] haec verba om. pr. I^b. — Συρακουσίοις] Συρρακουσίοις A 1. Vict. 2. et sic G. tacite cfr. ad I, cp. 2, §. 22. scripturam nostram habent b. l. B 2. B 3. Lut. Sylb. Conr. Schn. Cor. Bkk.

Cap. XI. §. 1. πολιτείας] βασιλείας I^b. Q^b. T^b. P 1. 2. 3. A 1. 2. B 2. B 3. Lut. Sepulv. Lamb. Aret. Veram scripturam primus restituit Victor. (sed quod mireris ne notata quidem scripturae discrepantia) idemque vidit Camerar., ductus uterque Vet. aucto-

χειν ἐνδέχεται στρατηγίαν ἀΐδιον, οἷον ἐν δημοκρατίᾳ καὶ ἀριστοκρατίᾳ, καὶ πολλοὶ ποιοῦσιν ἕνα κύριον τῆς διοικήσεως· τοιαύτη γὰρ ἀρχή τίς ἐστι καὶ περὶ Ἐπίδαμνον, καὶ περὶ Ὀποῦντα δὲ κατά τι μέρος ἔλαττον.

2. Περὶ δὲ τῆς παμβασιλείας καλουμένης, αὕτη δ' ἐστὶ καθ' ἣν ἄρχει πάντων κατὰ τὴν ἑαυτοῦ βούλησιν ὁ βασιλεύς, δοκεῖ δέ τισιν οὐδὲ κατὰ φύσιν εἶναι τὸ κύριον ἕνα πάντων εἶναι τῶν πολιτῶν, ὅπου συνέστηκεν ἐξ ὁμοίων ἡ πόλις· τοῖς γὰρ ὁμοίοις φύσει τὸ αὐτὸ δίκαιον ἀναγκαῖον καὶ τὴν αὐτὴν ἀξίαν κατὰ φύσιν εἶναι, ὥςτ' εἴπερ καὶ τὸ ἴσην ἔχειν τοὺς ἀνίσους τροφὴν ἢ ἐσθῆτα βλαβερὸν τοῖς σώμασιν, οὕτως ἔχει καὶ τὸ περὶ τὰς τιμάς. ὁμοίως τοίνυν καὶ τὸ ἄνισον τοὺς ἴσους·

3. Διόπερ οὐδὲν μᾶλλον ἄρχειν ἢ ἄρχεσθαι δίκαιον. καὶ τὸ ἀνὰ μέρος τοίνυν ὡσαύτως. τοῦτο δ' ἤδη νόμος· ἡ γὰρ τάξις νόμος. τὸν ἄρα νόμον ἄρχειν αἱρετώτερον μᾶλλον ἢ τῶν πολιτῶν ἕνα τινά. κατὰ τὸν αὐτὸν δὲ λόγον τοῦτον, κἂν εἴ τινας ἄρχειν βέλτιον, τούτους καταστατέον νομοφύλακας καὶ ὑπηρέτας τοῖς νόμοις· ἀναγκαῖον γὰρ εἶναί τινας ἀρχάς, ἀλλ' οὐχ ἕνα τοῦτον εἶναί φασι δίκαιον ὁμοίων γε ὄντων πάντων.

4. Ἀλλὰ μὴν ὅσα γε μὴ δοκεῖ δύνασθαι διορίζειν ὁ νόμος, οὐδ' ἄνθρωπος ἂν δύναιτο γνωρίζειν. ἀλλ' ἐπίτηδες παιδεύσας ὁ νόμος ἐφίστησι τὰ λοιπὰ τῇ δικαιοτάτῃ γνώμῃ κρίνειν καὶ διοικεῖν τοὺς ἄρχοντας. ἔτι δ' ἐπανορθοῦσθαι δίδωσιν, ὅ τι ἂν δόξῃ πειρωμένοις ἄμεινον εἶναι τῶν κειμένων. ὁ μὲν οὖν τὸν νόμον κελεύων ἄρχειν δοκεῖ κελεύειν ἄρχειν τὸν θεὸν καὶ τοὺς νόμους, ὁ δ' ἄνθρωπον κελεύων προςτίθησι καὶ θηρίον· ἥ τε γὰρ

so gut, wie in der Aristokratie, und Viele vertrauen auch die innere Staatsverwaltung Einem an. So eine Magistratur existirt nämlich wirklich zu Epidamnos, sowie auch zu Opus nur etwas beschränkter.

2. Was aber das sogenannte Vollkönigthum betrifft, d. h. dasjenige, wo der König über Alles nach seinem Willen herrscht, so meinen Einige, dass es sogar wider die Natur sei, dass Einer Gewalt über alle Bürger habe da, wo der Staat aus Gleichen besteht; denn die von Natur Gleichen hätten nothwendig gleiches Recht, und naturgemäss gleiche Ansprüche; wenn also anders für Ungleiche der Gebrauch gleicher Nahrung und Kleidung den Körpern schädlich sei, so sei es derselbe Fall mit den Ehrenstellen. Ebenso also sei auch Ungleiches für Gleiche schädlich.

3. Deshalb sei es gerecht, dass diese ebensowohl herrschen als beherrscht werden; ingleichen also auch, dass dies abwechselnd geschieht. Dies ist aber schon Gesetz, denn die bestimmte Ordnung ist Gesetz. Also das Gesetz vielmehr ist es, welches herrschen soll, und nicht ein einzelner Bürger. Nach eben diesem Raisonnement aber muss man auch da, wo es besser ist, dass Mehrere herrschen, diese zu Wächtern und Dienern der Gesetze bestellen. Denn es müssen zwar nothwendig gewisse Magistraturen sein, aber dass diese Einer in sich vereinige, während Alle gleich sind, gilt für ungerecht.

4. Aber (wirft man ein) Dinge, die zu bestimmen ausser dem Bereich des Gesetzes zu liegen scheint, dürfte wohl auch schwerlich ein Mensch entscheiden. Allein das Gesetz, indem es für sorgfältige Bildung sorgt, überträgt es den Regierenden, die übrigen Fälle nach bester Einsicht zu entscheiden. Desgleichen verstattet es, das sich erfahrungsmässig als besser Erweisende an die Stelle des Bestehenden zu setzen. Wer also verlangt, dass das Gesetz herrsche, scheint zu verlangen, dass die Gottheit herische und die Gesetze; wer aber verlangt, dass der Mensch, der setzt auch

ritate et comparatis verbis cp. 10. §. 3. Victorium secuti sunt Mont. Zw. Sylb. Conr. Schn. Cor. G. et Bkk. cum 6 Codd. — *ἐν πάσαις γὰρ κτλ.*] Haec Aret. sic vertit: *quia in cunctis rebus publicis eadem potest, ut sit quidam ducendo exercitui, quoties civitas bellum gerit, perpetuo praefectus.* — *Ὀποῦντα δὲ κατά τι μέρος ἔλαττον*] *ἐλάττων* ex coni. Schn. Cor. et sic legend. esse adnotavit vir d. in Lut. „Opunta: Opunta autem circa aliquam partem minor est" Vet. Sed Versoris exemplum habet: „opposita aut — partem minorem".

§. 2. *ἄρχει πάντων*] *ἄρχει πάντα* Q^b. T^b. B 3. B 2. et sic etiam A 1., quod non notavit G. — *παμβασιλείας*] „omnimodo regno" Vet. („omnimode rege" Thom.). — *βούλησιν ὁ βασιλεύς*] post *βασιλεὺς* in Vet. Lut. Sylb. Ram. Heins. Conr. additum *λεκτέον*, quod tamen [ ] Sylb. Male hic quoque Schn. eandem scripturam B 3. tribuit. — *δοκεῖ δέ τισιν*] Schneid. parenthesi inclusis verbis *αὕτη δ'* — *βασιλεύς*, omnique interpunctione post *βασιλεὺς* sublata seclusit *δὲ* particulam, quae est post *δοκεῖ*, cumque secutus est Cor. Contra Sylb., si recte omittatur *λεκτέον*, quod ipse addidit, *δὴ* pro *δὲ* scribend. esse censet; omissa est *δὲ* etiam a Iuliano Orat. p. 261. — *οὐδὲ κατὰ φύσιν*] *οὐ* pro *οὐδὲ* Lut. Sylb. Conr. Ram. Heins. Schn. Cor. Ex Göttl. adnotatione parum accurata (etenim *οὐδὲ* nonnisi in A 1. 2. P 1. esse dicit, quod aperte falsum est) de scriptura P 2. 3. 4. iudicari nequit. Ceterum *οὐδὲ τὸ κατὰ φύσιν* legitur ap. Iulian. l. l., ubi verba *ὅπου* — *ἡ πόλις* om. sunt. — *ἀναγκαῖον*] *εἶναι* addit Iulian. l. l. — *ὥςτ' εἴπερ κτλ.*] *ὥςπερ γὰρ* coniecerunt Schn. Cor. „Mihi potius ita scribendum esse videtur: *εἴπερ καὶ τὸ ἴσην ἔχειν* — *σώμασιν, καὶ οὕτως ἔχει καὶ τὰ περὶ τὰς τιμάς, ὁμοίως τοίνυν καὶ τὸ ἄνισον τοὺς ἴσους*". Goettl. — *οὕτως ἔχει*] *καὶ* ante *οὕτως* addend. esse videtur G. *ἔχειν* scribi vult Schn. — *καὶ τὸ περὶ τὰς τιμάς,*] *τὰ* pro *τὸ* tacito G. et sic est in Vet. A 1. 2. B 2. B 3. Mont. Cas. Schn.; post *τιμὰς* punctum posuit Bkk., ut est in B 2. Vict. 2.; colon habent B 3. Lut. Sylb. Conr.; comma Schn. G. — *τοίνυν*] om. Vet.

§. 3. *τοῦτο δ' ἤδη νόμος*] „et haec iam lex" Aret. — *ἀναγκαῖον γὰρ*] *γὰρ* om. Aret. — *ὁμοίων γε ὄντων*] *ὁμοίως γε ὄντων* P 3. A 1. 2. B 2. et sic G. Vide I. cp. 2. §. 20. ibique Göttl. Adnot. p. 292 sq.

§. 4. *οὐδ' ἄνθρωπος*] *ὁ δ' ἄνθρωπος* Aret. et sic legendum esse coni. Victor. Var. lectt. XXIII, cp. 16. prob. Conr. „Sed cum eius emendationis mentionem non fecerit in adnotatione ad alteram editionem, credere par est sententiam mutasse virum doctum" Schn. — *ἀλλ' ἐπίτηδες παιδεύσας*] particip. *ἐπιτηδεύσας* om. Vet. et P 1. Coraes: *ἐπίτηδες τὸ καθόλου* et sic Vet. legit, qui vertit: „sed universale lex instituit". *ἀλλὰ* om. Aret., qui continue scriptum locum *γνωρίζειν, ἐπίτηδες π.* vertit. — *ἐφίστησι*] *ἐφίησι* ex interpretatione latina Victorii coniec. Mont. Cas. — *ἔτι δ' ἐπανορθοῦσθαι*] „adhuc autem omnia dirigere" Vet., legit igitur plenius: *ἔτι δὲ πάντα ἐπ.* — *ὁ μὲν οὖν τὸν νόμον*] *τὸν νοῦν* Bkk. cum 6 Codd. idemque est in Victorii Codice uno, Vet. Thom. Iulian. B 3. (in marg.) Vict. 2. Lut. Sylb. Conr. Ram. Heins. At *τὸν νόμον* I^b. Q^b. T^b. (sed in I^b. *γρ. νοῦν*, quam scripturam Göttling. ad verba proxima *καὶ τοὺς νόμους* retulit) Codd. Victorii, uno excepto, omnes P 1. 2. 3. A 1. 2. B 2. 3. Aret. Giph. Cas. Schn. Cor. G. et Iuliani Codex Vossianus. — *τὸν θεὸν καὶ τοὺς νόμους*] *τὸν νοῦν καὶ τοὺς νόμους* P 1., *τὸν θεὸν καὶ τὸν νοῦν μόνους* Schn. Cor. cum Iuliano l. l. Verba *καὶ τοὺς νόμους* supervacanea videntur Göttlingio. — *θηρίον*] „bestiam sacram" Aret. —

ἐπιθυμία τοιοῦτον, καὶ ὁ θυμὸς ἄρχοντας διαστρέφει καὶ τοὺς ἀρίστους ἄνδρας. διόπερ ἄνευ ὀρέξεως νοῦς ὁ νόμος ἐστίν.

5. Τὸ δὲ τῶν τεχνῶν εἶναι δοκεῖ παράδειγμα ψεῦδος, ὅτι τὸ κατὰ γράμματα ἰατρεύεσθαι φαῦλον, ἀλλὰ καὶ αἱρετώτερον χρῆσθαι τοῖς ἔχουσι τὰς τέχνας. οἱ μὲν γὰρ οὐδὲν διὰ φιλίαν παρὰ τὸν λόγον ποιοῦσιν, ἀλλ' ἄρνυνται τὸν μισθὸν τοὺς κάμνοντας ὑγιάσαντες· οἱ δ' ἐν ταῖς πολιτικαῖς ἀρχαῖς πολλὰ πρὸς ἐπήρειαν καὶ χάριν εἰώθασι πράττειν, ἐπεὶ καὶ τοὺς ἰατροὺς ὅταν ὑποπτεύωσι πιστευθέντας τοῖς ἐχθροῖς διαφθείρειν διὰ κέρδος, τότε τὴν ἐκ τῶν γραμμάτων θεραπείαν ζητήσαιεν ἂν μᾶλλον.

6. Ἀλλὰ μὴν εἰςάγονταί γ' ἐφ' ἑαυτοὺς οἱ ἰατροὶ κάμνοντες ἄλλους ἰατροὺς καὶ οἱ παιδοτρίβαι γυμναζόμενοι παιδοτρίβας, ὡς οὐ δυνάμενοι κρίνειν τὸ ἀληθὲς διὰ τὸ κρίνειν περί τε οἰκείων καὶ ἐν πάθει ὄντες. ὥςτε δῆλον ὅτι τὸ δίκαιον ζητοῦντες τὸ μέσον ζητοῦσιν· ὁ γὰρ νόμος τὸ μέσον. ἔτι κυριώτεροι καὶ περὶ κυριωτέρων τῶν κατὰ γράμματα νόμων οἱ κατὰ τὰ ἔθη εἰσίν, ὥςτε τῶν κατὰ γράμματα ἄνθρωπος ἄρχων ἀσφαλέστερος, ἀλλ' οὐ τῶν κατὰ τὸ ἔθος.

7. Ἀλλὰ μὴν οὐδὲ ῥᾴδιον ἐφορᾶν πολλὰ τὸν ἕνα· δεήσει ἄρα πλείονας εἶναι τοὺς ὑπ' αὐτοῦ καθισταμένους ἄρχοντας, ὥςτε τί διαφέρει τοῦτο ἐξ ἀρχῆς εὐθὺς ὑπάρχειν ἢ τὸν ἕνα καταστῆσαι τοῦτον τὸν τρόπον; ἔτι, ὃ καὶ πρότερον εἰρημένον ἐστίν, εἴπερ ὁ ἀνὴρ ὁ σπουδαῖος, διότι βελτίων, ἄρχειν δίκαιος, τοῦ δὲ ἑνὸς οἱ δύο ἀγαθοὶ βελτίους· τοῦτο γάρ ἐστι τὸ

„Σύν τε δύ' ἐρχομένω"

καὶ ἡ εὐχὴ τοῦ Ἀγαμέμνονος,

„Τοιοῦτοι δέκα μοι συμφράδμονες."

εἰσὶ δὲ καὶ νῦν περὶ ἐνίων αἱ ἀρχαὶ κύριαι κρίνειν, ὥςπερ ὁ δικαστής, περὶ ὧν ὁ νόμος ἀδυνατεῖ διορίζειν, ἐπεὶ περὶ ὧν δυνατός, οὐδεὶς ἀμφισβητεῖ περὶ τούτων, ὡς οὐκ ἂν ἄριστα ὁ νόμος ἄρξειε καὶ κρίνειεν.

das Thier hinzu. Denn die Begierde ist etwas der Art, und die Leidenschaft verdreht selbst die besten Männer, wenn sie herrschen. Daher ist Einsicht ohne Begierde das Gesetz.

5. Das von den Künsten entnommene Beispiel aber, dass ein Heilverfahren nach dem Buchstaben der Vorschrift schlecht, ja dass es im Gegentheil sogar weit vorzüglicher sei, Diejenigen zu Rathe zu ziehen, welche im Besitze der Wissenschaft sind, scheint falsch. Denn die Aerzte sind nicht in dem Fall, etwas aus Freundschaft gegen ihre Einsicht zu thun, sondern sie empfangen ihren Lohn, wenn sie ihre Kranken hergestellt haben. Die Staatsbeamten dagegen pflegen Vieles nach Abneigung und Gunst zu thun; und selbst in Betreff ihrer Aerzte würden sie, wenn sie dieselben in Verdacht hätten, dass sie, von ihren Feinden bestochen, sie zu verderben trachteten, in diesem Falle es vorziehen, nach dem Buchstaben der Vorschrift behandelt zu werden.

6. Aber in der That ziehen ja auch die Aerzte, wenn sie selbst krank sind, andere Aerzte zu Rathe und die Turnlehrer, wenn sie sich üben wollen, andere Turnlehrer, in dem Bewusstsein, dass sie nicht im Stande sind, das Richtige zu beurtheilen, weil sie hier über ihre eignen Verhältnisse, und zwar im Zustande der Leidenschaft, urtheilen. Mithin suchen offenbar Die, welche das Gerechte suchen, das Mittlere; das Gesetz nämlich ist das Mittlere. Dazu kommt, dass wichtiger noch, als die geschriebenen Gesetze, und wichtigeren Inhalts die auf die Sitten begründeten Gesetze sind, so dass ein Mensch als Herrscher wohl zuverlässiger ist als jene, aber nicht als diese.

7. Allein es ist in der That auch sehr schwer, dass Einer Vieles übersehe; es werden also mehrere von ihm selbst eingesetzte Magistraten nöthig sein; und was ist es nun da für ein Unterschied, ob das gleich von vorn herein so ist, oder ob es der Eine so festsetzt? Ferner wenn, wie das auch schon oben gesagt ist, der tüchtige Mann, sofern er der vorzüglichere, herrschen soll, so sind doch zwei Tüchtige besser als der Eine, denn darauf geht das:

Zweie selbander gesellt —

und Agamemnons Wunsch:

Hätt' ich solcher Berather nur zehn!

Es haben aber auch heutzutage die Magistraten entscheidende Gewalt, wie der Richter, über gewisse Gegenstände, über welche das Gesetz Bestimmungen zu geben nicht vermag; denn überall, wo es dies vermag, da ist gar kein Bedenken, dass das Gesetz nicht am besten gebieten und entscheiden sollte.

ὁ θυμὸς] om. Aret. — ἄρχοντας] om. Iulian., „quam rationem ipse etiam probo, praesertim si cum libro Vossiano deinceps scripseris νοῦς μόνος ἐστίν (pro νοῦς ὁ νόμος ἐστίν)" SCHN. Vetus sic: „quando enim concupiscentia tale, et furor principatum habuit (habuerit Thom.), tandem et optimos viros interimit, propter quod quidem sine appetitu intellectus lex est."

§. 5. ἀλλὰ καὶ] ἀλλὰ [ ] Schn. Cor. et om. Aret. — οἱ μὲν γὰρ] ὁ μὲν γὰρ vitium Vict. 2. repetiit Z. — τοὺς κάμνοντας] καὶ ante τοὺς add. Q^b. T^b. — ἄρνυνται τὸν μισθὸν] „in hac voce exprimenda lapsa est vetus translatio causaque fuit multis errandi, ita enim reddidit, tamquam si legeretur ἀρνοῦνται. Genesius tamen graeci sermonis bene peritus, veram notionem huius verbi vidit". VICTOR. Idem vitium est in Aret. Sed de Vet. adnotat Schn., se in utroque versionis veteris exemplari reperisse „accipiunt mercedem". Discrepant igitur exemplaria Vet. a Victorio collata ab Schneiderianis. — ἐπήρειαν] „affectum" Vet. — πιστευθέντας] „Victor. et Lambin. πιστευθέντας accipiunt pro πεισθέντας, persuasos, inductos" SYLB.; etiam Vet. habet „persuasos" unde πεισθέντας in textum recep. Schn. Göttl.

§. 6. οἱ ἰατροὶ κάμνοντες] καὶ post ἰατροὶ add. Q^b. T^b. — γυμναζόμενοι] om. Aret. et Victor. in translatione tacite. — τὸ ἀληθὲς διὰ τὸ κρίνειν] om. Q^b. T^b. — καὶ ἐν πάθει] καὶ om. A 1. B 2. — ὥςτε τῶν κατὰ] εἰ καὶ post ὥςτε temere addid. Schn. Cor. ex Aret., qui „quare si minus fallitur homo, quam hi, qui secundum literas, non tamen quam hi etc.", et Vet., qui: „quare si his qui". Idem expressit Ram.

§. 7. πολλὰ τὸν ἕνα] πολλὰ om. T^b. B 3. A 2. B 2. Aret. — ἔτι, ὃ καὶ] ὃ καὶ Sylb. Conr. et Schn. testibus omissum est in A 2. Basileensibus (sed ego vidi in B 2. 3.); Göttl. in A 2. καὶ tantum deesse dicit. — ἀνὴρ ὁ] ὁ om. I^b. — τοῦ δὲ ἑνὸς] Camerar. mavult δὴ pro δὲ et sic vertit Ram. — τοῦτο γάρ ἐστι τὸ] τὸ om. Lut. — σύν τε] cfr. Hom. Iliad. X, 224., σύν τι T^b. — ἐρχομένω] „venientibus" (ἐρχομένων?) Vet. — ἡ εὐχὴ] ἡ om. Q^b. T^b. cfr. Iliad. II, 371. — τοιοῦτοι δέκα μοι συμφράδμονες] „tales mihi sodales opto" Vet., sed „opto" om. Thom. Post haec verba Schn. ex Vet., qui habet „ut non principari iustum" (Thom. „ut non iam principari iustum") addidit: ὡς οὐκ ἤδη ἄρχειν δίκαιον, suspicans deesse praeterea verba: τὸν ἕνα, δῆλον. Cor. exemplum Schneideri, ut solet, secutus add. haec: δῆλον ὡς οὐκ ἄρχειν δίκαιον τὸν ἕνα. „In P 1. haec glossa legitur: ἀπὸ κοινοῦ, τὸ ὡς οὐχ ἕνους (leg. ἕνα) λοιπὸν ἄρχειν δίκαιον. Vides igitur hanc glossam versam esse ab interprete. GOETTL. — ἀδυνατεῖ] ἀδυνατοῖ T^b. — ὡς οὐκ ἂν ἄριστα ὁ νόμος ἄρξειε καὶ

8. Ἀλλ' ἐπειδὴ τὰ μὲν ἐνδέχεται περιληφθῆναι τοῖς νόμοις τὰ δ' ἀδύνατα, ταῦτ' ἐστὶν ἃ ποιεῖ διαπορεῖν καὶ ζητεῖν, πότερον τὸν ἄριστον νόμον ἄρχειν αἱρετώτερον ἢ τὸν ἄνδρα τὸν ἄριστον. περὶ ὧν γὰρ βουλεύονται νομοθετῆσαι τῶν ἀδυνάτων ἐστίν. οὐ τοίνυν τοῦτό γ' ἀντιλέγουσιν, ὡς οὐκ ἀναγκαῖον ἄνθρωπον εἶναι τὸν κρινοῦντα περὶ τῶν τοιούτων, ἀλλ' ὅτι οὐχ ἕνα μόνον ἀλλὰ πολλούς. κρίνει γὰρ ἕκαστος ἄρχων πεπαιδευμένος ὑπὸ τοῦ νόμου καλῶς.

8. Allein der Umstand, dass Einiges durch die Gesetze bestimmbar ist, Anderes nicht, der ist es gerade, welcher die Untersuchung und Frage aufwerfen lässt, ob es vorzüglicher sei, dass das beste Gesetz herrsche, oder der Mann, welcher der beste ist. Denn was Gegenstand der Berathung ist, darüber ein Gesetz aufzustellen, ist ein Ding der Unmöglichkeit. Dagegen also thut Niemand Einspruch, dass über solche Fälle ein Mensch entscheiden müsse, sondern nur dagegen, dass dies Einem allein zukomme und nicht vielmehr Vielen. Denn es entscheidet jeder Herrschende, wenn er durch das Gesetz gebildet ist, gut.

9. Ἄτοπον δ' ἴσως ἂν εἶναι δόξειεν εἰ βέλτιον ἴδοι τις δυοῖν ὄμμασι καὶ δυσὶν ἀκοαῖς κρίνων, καὶ πράττων δυσὶ ποσὶ καὶ χερσίν, ἢ πολλοὶ πολλοῖς, ἐπεὶ καὶ νῦν ὀφθαλμοὺς πολλοὺς οἱ μόναρχοι ποιοῦσιν αὑτῶν καὶ ὦτα καὶ χεῖρας καὶ πόδας. τοὺς γὰρ τῇ ἀρχῇ καὶ αὐτοῦ φίλους ποιοῦνται συνάρχους. μὴ φίλοι μὲν οὖν ὄντες οὐ ποιήσουσι κατὰ τὴν τοῦ μονάρχου προαίρεσιν· εἰ δὲ φίλοι κἀκείνου καὶ τῆς ἀρχῆς, ὅ γε φίλος ἴσος καὶ ὅμοιος. ὥςτ' εἰ τούτους οἴεται δεῖν ἄρχειν, τοὺς ἴσους καὶ ὁμοίους ἄρχειν οἴεται δεῖν ὁμοίως. ἃ μὲν οὖν οἱ διαμφισβητοῦντες πρὸς τὴν βασιλείαν λέγουσι, σχεδὸν ταῦτ' ἐστίν.

9. Es dürfte indess doch ungereimt scheinen, wenn Einer beim Entscheiden besser daran wäre mit zwei Augen und zwei Ohren, und beim Handeln mit zwei Füssen und Händen, als Viele mit vielen, da ja auch jetzt die Alleinherrscher Viele zu ihren Augen, Ohren, Händen und Füssen machen. Sie machen nämlich die der Herrschaft und der Person des Regenten Befreundeten zu Mitherrschern. Wären sie nun nicht Freunde, so würden sie nicht nach dem Willen des Alleinherrschers thun. Sind sie aber Freunde sowohl der Person des Regenten, als der Herrschaft, so ist ja der Freund ein gleicher und ähnlicher. Also wenn er meint, dass diese herrschen müssen, so meint er damit, dass die Gleichen und Aehnlichen gleichmässig herrschen müssen. Dies sind nun ohngefähr die Einwürfe, welche man gegen das Königthum zu machen pflegt.

Cap. 17. Bkk. 10. Ἀλλ' ἴσως ταῦτ' ἐπὶ μὲν τινων ἔχει τὸν τρόπον τοῦτον, ἐπὶ δέ τινων οὐχ οὕτως. ἔστι γάρ τι φύσει δεσποστὸν καὶ ἄλλο βασιλευτὸν καὶ ἄλλο πολιτικὸν καὶ δίκαιον καὶ συμφέρον· τυραννικὸν δ' οὐκ ἔστι κατὰ φύσιν, οὐδὲ τῶν ἄλλων πολιτειῶν ὅσαι παρεκβάσεις εἰσίν· ταῦτα γὰρ γίγνεται παρὰ φύσιν. ἀλλ' ἐκ τῶν εἰρημένων γε φανερόν, ὡς ἐν μὲν τοῖς ὁμοίοις καὶ ἴσοις οὔτε συμφέρον ἐστὶν οὔτε δίκαιον ἕνα κύριον εἶναι πάντων, οὔτε μὴ νόμων ὄντων, ἀλλ' αὐτὸν ὡς ὄντα νόμον, οὔτε νόμων ὄντων, οὔτε ἀγαθὸν ἀγαθῶν οὔτε μὴ ἀγαθῶν μὴ ἀγαθόν, οὐδ' ἂν κατ' ἀρετὴν ἀμείνων

10. Allein vielleicht sind diese in gewissen Beziehungen statthaft, in andern aber nicht. Es giebt nämlich naturgemäss Menschen, die sich für ein sklavisches, andere, die sich für ein königliches Regiment, und andere, die sich für eine freie Verfassung eignen, und für die jedes dieser Verhältnisse gerecht und nützlich ist. Ein tyrannisches Verhältniss aber ist nicht naturgemäss, ebensowenig als jede Ausartung der andern Verfassungen. Denn diese bilden sich wider die Natur. Indess ist aus dem Gesagten doch so viel ersichtlich, dass es unter Aehnlichen und Gleichen weder zuträglich, noch gerecht ist, dass Einer über Alle Macht habe, mögen nun keine Gesetze, sondern jener Eine selbst an Gesetzesstatt sein, oder mögen Gesetze sein; mag er als ein Guter über Gute, oder als ein nicht Guter über nicht Gute herr-

---

κρίνειεν] haec verba, quae vulgo post διορίζειν leguntur, ab Aret. omissa, contra omnes Codd. suos post περὶ τούτων posuit Bkk. Sed addere debebat, idem fecisse iam Schneiderum et Cor. auctoritate usos Vet., cui addere poterat Schneiderus B 3., in qua idem ordo verborum legitur.

§. 8. ταῦτ' ἐστὶν] καὶ ante ταῦτ' addit Aret. — νομοθετῆσαι] „Vet. νομοθετεῖσθαι scriptum legit et vertit: *lege statuta (constituta* Thom.) *esse*“. Schn., unde Cor. νομοθετῆσθαι edidit. — τοῦτό γ' ἀντιλέγουσιν] „hoc aiunt“ Aret. — ὡς οὐκ ἀναγκαῖον] ὂν post ἀναγκαῖον additum legit Vet., qui sic habet: „*quod necessarium sit hominem in huiusmodi rebus hoc iudicare*“.

§. 9. δυοῖν ὄμμασι] δυσίν, quod congruentius esse dixerat Sylb., recep. Schn. Cor. Sed nostram formam tuetur Göttl. ad h. l. Adnotat. p. 367. et ad Theodos. p. 212. — καὶ πράττων] καὶ πράττοι cum Conring. volebat Cor. — ποιοῦσιν αὑτῶν] sic Lut. Sylb. Bkk., ποιοῦσιν αὐτῶν rell. — καὶ αὐτοῦ φίλους] Sic Bkk., tacite, itemque edd. veteres omnes, et idem in omnibus se vidisse libris MSS. et in Vet. testatur Victor. (p. 280.), qui cum nihil mutare ausus esset in tanto omnium testimoniorum consensu, idem persuasit Sylburgio, qui scite: „est igitur, inquit, a multis ad unum factus transitus et subaudiendum ἕκαστος, ut significetur singulos principes hoc solere observare“. Non recte igitur Göttl. cum Petavio ad Themist. p. 513. Mont. et Schn. αὐτοῦ mutarunt in αὐτοῖς, auctoritate usi parum gravi Schol. ad Aristoph. Acharn. v. 92. Firmatur enim hac ipsa scripturae discrepantia suspicio de hoc scholii additamento alibi a me proposita Aristotel. II, p 78. Etiam P 1., qui τοῦ pro αὐτοῦ habet, vulgatam confirmare videtur. — φίλους ποιοῦνται συνάρχους] „praeficiendo amicos et curationem rerum iis committendo“ Aret. — μὴ φίλοι] „in vulgatis libris omissa negatio sententiam depravat“. Camer. Ego vero in omnibus edd. inveni negationem. Sed fortasse Camerarii nota pertinet ad sequens οὐ. Vide not. seq. — οὐ ποιήσουσι] οὐ om. B. 2. 3. et A 1. quod non notavit Göttl. — κἀκείνου] κἀκείνων Aret. — ὅ γε φίλος] Sic prim. Bkk. cum 7 Codd. Quod vulgo legebatur ὅ τε φίλος, est in Tb. Codd. Göttl. et Victor. omnibus Vet. A 1. 2. B 2. 3. Vict. 2. Lut. Sylb. rell. retinuitque Göttl. Sed Schn. et Cor. cum Conring. edid. ὁ δὲ φίλος, secuti (ut ipsi dicunt) Aretin. Victor. et Lamb., quorum in translationibus legitur „autem est“. οὔτε φίλος Qb.

§. 10. δεσποστὸν] δεσποτὸν Ib. Qb. Tb. A 1. 2. B 2. B 3. Vict. 2. Lut. Sylb. Sed iam Sylburgius: „δεσποστόν, inquit, rectius ut ἁρμοστόν, et similia, atque ita est infra (cf. VII, cp. 2. §. 9.)“. Sylburgii emendationem ante Bkk. recep. Schn. Göttl. Sed Göttling. in Adnotat. „Unice vera est, inquit, lectio P 1. δεσποτικὸν καὶ ἄλλο βασιλικόν. Qui βασιλευτὸν retinet, ei etiam δεσποστὸν corrigendum est“. — καὶ δίκαιον] ὥςπερ ante καὶ addi vult post Lamb. Schn. in Addend. p. 482. — γίγνεται παρὰ φύσιν] γίγνεται τὰ παρὰ φύσιν P 1. — κύριον εἶναι πάντων] πάντων om. Schn. Cor. tacite. — ἀλλ' αὐτὸν ὡς ὄντα νόμον, οὔτε νόμων ὄντων] h. v. om. Qb. Tb. Aret. A 1. 2. B 2. 3. Leguntur autem prim. in Lut. Vict. 2. (sine ulla nota) et rell. Pro ὄντα νόμον, ut Bkk. edidit, in omnibus edd. reliq. legitur νόμον ὄντα. — οὐδ' ἂν κατ' ἀρετὴν] οὔτ' pro οὐδ' Schn.

ἤ, εἰ μὴ τρόπον τινά. τίς δ' ὁ τρόπος, λεκτέον· εἴρηται δέ πως ἤδη καὶ πρότερον.

schen, ja selbst dann nicht, wenn er an Tugend der Bessere ist, ausser in gewisser Weise. Was das nun für eine Weise sei, muss gesagt werden. Es ist aber gewissermasen auch schon im Vorigen gesagt.

11. *Πρῶτον δὲ διοριστέον τί τὸ βασιλευτὸν καὶ τί τὸ ἀριστοκρατικὸν καὶ τί τὸ πολιτικόν. βασιλευτὸν μὲν οὖν τὸ τοιοῦτόν ἐστι πλῆθος, ὃ πέφυκε φέρειν γένος ὑπερέχον κατ' ἀρετὴν πρὸς ἡγεμονίαν πολιτικήν, ἀριστοκρατικὸν δὲ πλῆθος ὃ πέφυκε φέρειν πλῆθος ἄρχεσθαι δυνάμενον τὴν τῶν ἐλευθέρων ἀρχὴν ὑπὸ τῶν κατ' ἀρετὴν ἡγεμονικῶν πρὸς πολιτικὴν ἀρχήν, πολιτικὸν δὲ πλῆθος ἐν ᾧ πέφυκε [καὶ ἓν] ἐγγίνεσθαι πλῆθος πολεμικόν, δυνάμενον ἄρχεσθαι καὶ ἄρχειν κατὰ νόμον τὸν κατ' ἀξίαν διανέμοντα τοῖς εὐπόροις [καὶ ἀπόροις] τὰς ἀρχάς.*

11. Zunächst aber ist zu bestimmen, welche Menschen für eine königliche, welche für eine aristokratische, und welche für eine republikanische Verfassung geeignet sind. Für eine königliche Regierung geeignet ist eine solche Masse, welche von Natur fähig ist, ein an Tugend zur politischen Oberherrlichkeit bevorzugtes Geschlecht zu ertragen; aristokratisch ist eine Masse, die als solche beherrscht zu werden vermögend, von Natur geeignet ist, in der Weise von Freien die Herrschaft von Leuten zu ertragen, welche an Tugend zur politischen Herrschaft vorzugsweise begabt sind; republikanisch aber ist eine Masse, in welcher von Natur eine kriegerische Masse enthalten ist, welche zu gehorchen und zu regieren im Stande ist nach dem Gesetze, welches nach Würdigkeit die Magistraturen den Reichen [und Armen] zutheilt.

12. *Ὅταν οὖν ἢ γένος ὅλον ἢ καὶ τῶν ἄλλων ἕνα τινὰ συμβῇ διαφέροντα γενέσθαι κατ' ἀρετὴν τοσοῦτον ὥσθ' ὑπερέχειν τὴν ἐκείνου τῆς τῶν ἄλλων πάντων, τότε δίκαιον τὸ γένος εἶναι τοῦτο βασιλικὸν καὶ κύριον πάντων καὶ βασιλέα τὸν ἕνα τοῦτον. καθάπερ γὰρ εἴρηται πρότερον, οὐ μόνον οὕτως ἔχει κατὰ τὸ δίκαιον, ὃ προφέρειν εἰώθασιν οἱ τὰς πολιτείας καθιστάντες, οἵ τε τὰς ἀριστοκρατικὰς καὶ οἱ τὰς ὀλιγαρχικὰς καὶ πάλιν οἱ τὰς δημοκρατικάς· πάντες γὰρ καθ' ὑπεροχὴν ἀξιοῦσιν, ἀλλ' ὑπεροχὴν οὐ τὴν αὐτὴν ἀλλὰ [καὶ] κατὰ τὸ πρότερον λεχθέν.*

12. Wenn es also der Fall ist, dass entweder ein ganzes Geschlecht, oder auch sonst ein Einzelner sich an Tüchtigkeit so sehr auszeichnet, dass dieselbe die der Uebrigen insgesammt übertrifft, dann ist es gerecht, dass dieses Geschlecht königlich und mächtig über Alle, und jener Eine König sei. Denn wie früher gesagt worden, entspricht dies nicht nur demjenigen Begriff des Gerechten, welchen die Begründer der Verfassungen, sowohl die der aristokratischen, als die der oligarchischen, und auch die der demokratischen aufzustellen pflegen, — sie alle nämlich bestimmen die politische Stellung der Einzelnen nach einem Voraushaben, nur ist dies Voraushaben nicht dasselbe — sondern auch dem von uns früher Gesagten.

13. *Οὔτε γὰρ κτείνειν ἢ φυγαδεύειν οὐδ' ὀστρακίζειν δή που τὸν τοιοῦτον πρέπον ἐστίν, οὔτ' ἀξιοῦν ἄρχεσθαι κατὰ μέρος· οὐ γὰρ πέφυκε τὸ μέρος ὑπερέχειν τοῦ παντός, τῷ δὲ τηλικαύτην ὑπερβολὴν ἔχοντι τοῦτο συμβέβηκεν. ὥστε λείπεται μόνον τὸ πείθεσθαι τῷ τοιούτῳ, καὶ κύριον εἶναι μὴ κατὰ μέρος τοῦτον ἀλλ' ἁπλῶς. περὶ μὲν οὖν βασιλείας, τίνας ἔχει διαφοράς, καὶ πότερον οὐ συμφέρει ταῖς πόλεσιν ἢ συμφέρει, καὶ τίσι, καὶ πῶς, διωρίσθω τὸν τρόπον τοῦτον.*

13. Einen solchen Mann nämlich kann man doch schicklicherweise weder tödten oder vertreiben, noch ostrakisiren, noch verlangen, dass er sich an seinem Theil beherrschen lasse. Denn es streitet wider die Natur, dass der Theil sich über das Ganze erhebt. Dies ist aber der Fall bei Dem, welcher eine solche Ueberlegenheit besitzt. Es bleibt also nur übrig, dass man sich einem Solchen unterordne, und dass dieser der Oberherr sei nicht an seinem Theil, sondern absolut. Ueber das Königthum nun und seine Verschiedenheiten, und ob es den Staaten zuträglich sei oder nicht zuträglich, und welchen und auf welche Weise, mögen diese Bestimmungen gelten.

Cor. sine auctoritate. — *εἰ μή*] *εἰ* particulam om. Q^b. T^b. — *ἤδη καὶ πρότερον*] *ἤδη* om. P 1.

§. 11. *ὃ πέφυκε φέρειν πλῆθος ἄρχεσθαι δυνάμενον*] Quatuor priora verba Victorius p. 282. longa disputatione tamquam spuria et sententiae contraria delenda esse censet. Non posse enim, si haec verba manerent, *ἄρχεσθαι δυνάμενον*, quod sequitur convenire proxime superiori *πλῆθος*, optimates enim semper imperium habere, neque cadere in ipsos ullo pacto obsequium. Deinde non posse eos satis commode multitudinis nomine notari. „Lapsum igitur (pergit) puto librarium, qui dum scriberet, quum iam verbum supra quoque positum expressisset, temere vertit oculum ad prius illud *πλῆθος*, atque ita scripsit quae sequebantur, antequam errorem agnosceret". Contra **Schneid.**: „Victorianam rationem ideo totam approbare non possum, quod necesse erit tum inserere *τὸ* ante *δυνάμενον*. Igitur **Aretinum** secutus potius verba *πλῆθος ἄρχεσθαι δυνάμενον* seclusi". Delevit ea **Cor.** „Neutrum sequor; constructio est: *ἀριστοκρατικὸν δὲ πλῆθος, ὃ πλῆθος, ἄρχεσθαι δυνάμενον, πέφυκε φέρειν τὴν τῶν ἐλευθέρων ἀρχήν.* **Goettl.** Aretini translatio, etiam Victorio nota, haec est: Optimatibus vero congruens multitudo, quae nota sit ad ferendam gubernationem eorum, qui sunt secundum virtutem primarii. — *[καὶ ἓν]*] h. v. [ ] **Bkk.** tacite. Omisit ea primum sine ulla nota **Vict.** 2., [ ] **Sylb. Conr.**, delevit **Schn.** Restituit ea, ne nota quidem addita **Göttl.** habentque ea Codd. MSS. et edd. rell. omnes. — *πολεμικόν*] *πολιτικὸν* expressit **Vet.**, quod in loco turbatissimo non negligendum videtur. — *τοῖς εὐπόροις*] Sic **Bkk.** cum 8 Codd. nihil addens praeter notam hanc: „*ἀπόροις* pr. I^b. et *γρ.* I^b." (?). At summa est in hoc loco Codd. et edd. discrepantia. Et *εὐπόροις* quidem praebent P 1. 2. (quorum in marg. tamen *γρ. ἀπόροις*) **Vet.** („opulentis") **Sepulv. Lut. Sylb. Camer. Lamb. Ram. Heins. Conr.** (qui tamen illud improbat in notis). Contra *ἀπόροις* est in P 3. (et in marg. P 1. 2.) idemque se invenisse testatur **Victorius** in omnibus libris et scriptis et excusis, et est illud in **Aret. Thom.** („tenuioribus") A 1. 2. B 1. 2. 3. **Vict.** 2. Z. **Schn.** G. Equidem neutram scripturam sine altera probo, sed coniungendam esse utramque censeo, ut scribatur *τοῖς εὐπόροις καὶ ἀπόροις*. Male **Cor.** coni. *τοῖς πολίταις*.

§. 12. *τότε δίκαιον τὸ γένος εἶναι — πάντων*] haec verba om. I^b. — *οἱ τὰς πολιτείας*] *τὰς* om. pr. I^b. — *πάντες γάρ*] *πάντη* P 1. **Vet.** („penitus") *πάντες* (η superscr.) P 4. — *ἀξιοῦσιν, ἀλλ' ὑπεροχὴν*] om. T^b. — *ἀλλὰ κατά*] post *ἀλλὰ* add. *καὶ* **Schn. Cor.** de coni.

§. 13. *τῷ δὲ τηλικαύτην*] *τὴν* post *δὲ* legitur in I^b. A 1. 2. B 2. 3. — *τὸ πείθεσθαι*] sic **Bkk.** tacite. Sed *καὶ πείθεσθαι* est in A 1. 2. B 2. 3. et sic **Göttlingius.**

CAP. XII.

Cap. 18. Bkk. 1. Ἐπεὶ δὲ τρεῖς φαμὲν εἶναι τὰς ὀρθὰς πολιτείας, τούτων δ' ἀναγκαῖον ἀρίστην εἶναι τὴν ὑπὸ τῶν ἀρίστων οἰκονομουμένην, τοιαύτη δ' ἐστὶν ἐν ᾗ συμβέβηκεν ἢ ἕνα τινὰ συμπάντων ἢ γένος ὅλον ἢ πλῆθος ὑπερέχον εἶναι κατ' ἀρετήν, τῶν μὲν ἄρχεσθαι δυναμένων τῶν δ' ἄρχειν πρὸς τὴν αἱρετωτάτην ζωήν, ἐν δὲ τοῖς πρώτοις ἐδείχθη λόγοις, ὅτι τὴν αὐτὴν ἀναγκαῖον ἀνδρὸς ἀρετὴν εἶναι καὶ πολίτου τῆς πόλεως τῆς ἀρίστης, φανερὸν ὅτι τὸν αὐτὸν τρόπον καὶ διὰ τῶν αὐτῶν ἀνήρ τε γίνεται σπουδαῖος καὶ πόλιν συστήσειεν ἄν τις ἀριστοκρατουμένην ἢ βασιλευομένην.

2. Ὥςτ' ἔσται καὶ παιδεία καὶ ἔθη ταὐτὰ σχεδὸν τὰ ποιοῦντα σπουδαῖον ἄνδρα καὶ τὰ ποιοῦντα πολιτικὸν καὶ βασιλικόν. διωρισμένων δὲ τούτων περὶ τῆς πολιτείας ἤδη πειρατέον λέγειν τῆς ἀρίστης, τίνα πέφυκε γίνεσθαι τρόπον καὶ καθίστασθαι πῶς. ἀνάγκη δὴ τὸν μέλλοντα περὶ αὐτῆς ποιήσασθαι τὴν προςήκουσαν σκέψιν.

Kap. XII.

1. Da nun nach unsrer Ansicht der richtigen Verfassungen drei sind, da ferner die beste von diesen nothwendig die von den Besten verwaltete ist, eine solche aber ist die, in welcher es zutrifft, dass entweder Einer von Sämmtlichen, oder ein ganzes Geschlecht, oder die Menge an Tüchtigkeit sich auszeichnet, die Einen, indem sie zu gehorchen, die Andern, indem sie zu herrschen vermögen, angemessen dem Zwecke der möglichsten Lebensverschönerung, da endlich in den ersten Untersuchungen gezeigt worden, dass in dem besten Staate die Tugend des Menschen und des Bürgers nothwendig dieselbe sei, so erhellt, dass auf dieselbe Art und durch dieselben Mittel hier Einer ein tugendhafter Mann, dort ein Staat mit aristokratischer oder königlicher Regierung gebildet wird.

2. Somit werden auch Erziehung und Sitten etwa dieselben sein, welche hier einen tugendhaften Mann, und dort einen Staatsbürger und König bilden. Nachdem dies bestimmt ist, müssen wir, die wir vorhaben, die gehörige Untersuchung über sie anzustellen, nun schon daran gehen, über die beste Staatsverfassung zu reden, auf welche Art sie von Natur entstehe, und wie sie denn nur eigentlich eingerichtet werden müsse.

Cap. XII. §. 1. ἀνδρὸς ἀρετὴν] „ἀνδρὸς elliptice positum pro ἀγαθοῦ ἀνδρὸς ut in praecedentibus aliquoties". Sylb. addid. ἀγαθοῦ post ἀνδρὸς Schn. Cor. temere! — βασιλευομένην] post h. v. comma posuit Bkk.

§. 2. παιδεία] παιδία B 2. 3. — ταὐτὰ] ταῦτα Tb, ταυτὰ (sic) A 1. — σπουδαῖον ἄνδρα καὶ τὰ ποιοῦντα] om. Ib. — βασιλικὸν] βασιλικὸν [καὶ ἀριστοκρατικὸν] edidit Cor. Conringii et Schn. iudicium secutus. — καὶ καθίστασθαι πῶς.] καὶ καθίστασθαί πως A 1. 2. B 2. 3. Lut. Vict. 2. Lamb. πῶς, quod tacite recep. Bkk., primus scribendum censuit Sylb. (citans IV, cp. 1, §. 5. καὶ συντίθενται ποσαχῶς) et sic recent. Schn. G. Cor.; Vet. habet „et institui quomodo". Aret. „quomodo constituatur". πῶς est etiam in Göttlingii Codd. — ἀνάγκη δὴ] Sic tacite Bkk. Sed pro δὴ B 3. δὲ et Sylb. γὰρ habet, quod unde sumpserit Sylb. non indicavit. Legitur autem γὰρ in Lut. (non tamen in A 2. nec in B 3. ut temere refert Schn.) Aret. Lamb. Ram. Heins. Conr., quae scriptura si Codd. MSS. auctoritate niteretur, a me recepta esset. Sed libri MSS. omnes et editiones rell. δὴ habent. P 1. h. v. cum proxime antegressis coniungit sic: πῶς ἀνάγκη δή, addita hac in margine glossa: ἤτοι ποίᾳ ἀρχῇ λόγον χρήσασθαι. In margine P 2. leguntur haec: οὕτω συντακτέον· καὶ πῶς ἀνάγκη δὴ ἡμῖν περὶ αὐτῶν ἐπισκεψομένοις καθίστασθαι; ἤτοι ποίᾳ ἀρχῇ λόγον χρήσασθαι ἀνάγκη. „Mihi interpunctione laborare videtur haec periodus. Scribe cum P 1., virgula post δὴ posita: περὶ τῆς πολιτείας ἤδη πειρατέον λέγειν τῆς ἀρίστης τίνα πέφυκε γίνεσθαι τρόπον καὶ καθίστασθαι πῶς ἀνάγκη δή, τὸν μέλλοντα κτλ. Accusativus τὸν μέλλοντα pendet a πειρατέον". Goettl. Cuius iudicium in interpretatione secuti sumus. Ceterum Bkk. omissa interpunctione post σκέψιν indicat mancam esse orationem, sed tacet de Codd. suis. Idem censet Victorius, qui narrat, se vidisse librum calamo exaratum, in quo inane satis magnum spatium relictum esset. Lacunae signa posita sunt etiam in Zw. Conr. Schn. In Aldina prima et in reliquis non item.

ΠΟΛΙΤΙΚΩΝ Δ.

CAP. I.

Ἐν ἁπάσαις ταῖς τέχναις καὶ ταῖς ἐπιστήμαις ταῖς μὴ κατὰ μόριον γινομέναις, ἀλλὰ περὶ γένος ἕν τι τελείαις οὔσαις, μιᾶς ἐστὶ θεωρῆσαι τὸ περὶ ἕκαστον γένος ἁρμόττον, οἷον ἄσκησις σώματι ποία τε ποίῳ συμφέρει, καὶ τίς ἀρίστη (τῷ γὰρ κάλλιστα πεφυκότι καὶ κεχορηγημένῳ τὴν ἀρίστην ἀναγκαῖον ἁρμόττειν), καὶ τίς τοῖς πλείστοις μία πᾶσιν· καὶ γὰρ τοῦτο τῆς γυμναστικῆς ἐστίν. ἔτι δ' ἐάν τις μὴ τῆς ἱκνουμένης ἐπιθυμῇ μήθ' ἕξεως μήτ' ἐπιστήμης τῶν περὶ τὴν ἀγωνίαν, μηδὲν ἧττον τοῦ παιδοτρίβου καὶ τοῦ γυμναστικοῦ παρασκευάσαι τε καὶ ταύτην ἐστὶ τὴν δύναμιν.

2. Ὁμοίως δὲ τοῦτο καὶ περὶ ἰατρικὴν καὶ περὶ ναυπηγίαν καὶ ἐσθῆτα καὶ περὶ πᾶσαν ἄλλην τέχνην ὁρῶμεν συμβαῖνον. ὥςτε δῆλον ὅτι καὶ πολιτείαν τῆς αὐτῆς ἐστὶν ἐπιστήμης τὴν ἀρίστην θεωρῆσαι τίς ἐστι, καὶ ποία τις ἂν οὖσα μάλιστ' εἴη κατ' εὐχήν, μηδενὸς ἐμποδίζοντος τῶν ἐκτός, καὶ τίς τίσιν ἁρμόττουσα· πολλοῖς γὰρ τῆς ἀρίστης τυχεῖν ἴσως ἀδύνατον. ὥςτε τὴν κρατίστην τε ἁπλῶς καὶ τὴν ἐκ τῶν ὑποκειμένων ἀρίστην οὐ δεῖ λεληθέναι τὸν ἀγαθὸν νομοθέτην καὶ τὸν ὡς ἀληθῶς πολιτικόν. ἔτι δὲ τρίτην τὴν ἐξ ὑποθέσεως· δεῖ γὰρ καὶ τὴν δοθεῖσαν δύνασθαι θεωρεῖν, ἐξ ἀρχῆς τε πῶς ἂν γένοιτο, καὶ γενομένη τίνα τρόπον ἂν σώζοιτο πλεῖστον χρόνον· λέγω δ' οἷον εἴ τινι πόλει συμβέβηκε μήτε τὴν ἀρίστην πολιτεύεσθαι πολιτείαν ἀχορήγητόν τε εἶναι καὶ τῶν ἀναγκαίων, μήτε τὴν ἐνδεχομένην ἐκ τῶν ὑπαρχόντων, ἀλλά τινα φαυλοτέραν.

3. Παρὰ πάντα δὲ ταῦτα τὴν μάλιστα πάσαις ταῖς πόλεσιν ἁρμόττουσαν δεῖ γνωρίζειν, ὡς οἱ πλεῖστοι τῶν ἀποφαινομένων περὶ πολιτείας, καὶ εἰ τἆλλα λέγουσι καλῶς, τῶν γε χρησίμων διαμαρ-

Der Politik viertes Buch.

Kap. I.

In allen Künsten und Wissenschaften, die sich nicht blos mit einem Theile beschäftigen, sondern eine ganze Gattung vollständig umfassen, liegt es nur einer ob, das jeder Gattung Angemessene zu erkennen; z. B. in der Leibesübung, welche Art derselben welchem Körper zuträglich sei, und welche die absolut beste (denn dem durch Natur und Pflege am schönsten ausgestatteten muss die beste gemäss sein), und welche für Alle im Durchschnitt die beste sei. Denn auch dies ist Sache der Gymnastik. Ja, selbst wenn Jemand nicht grade die gehörige Beschaffenheit für, noch die vollständige Kenntniss in den Künsten des Wettkampfs zu erreichen Verlangen trüge, so ist es nichtsdestoweniger Aufgabe des Pädotriben und des Gymnastikers, auch dieses Vermögen zu verschaffen.

2. Aehnlich sehen wir dies beim Arzte, Schiffbauer, Schneider und in jeder andern Kunst eintreten. Mithin ist es offenbar auch hinsichtlich der Staatsverfassung Sache ein und derselben Wissenschaft, zu erkennen, welches die absolut beste ist, und wie beschaffen die sein müsste, welche — falls kein äusserliches Hinderniss eintritt, — die am meisten wünschenswerthe sein dürfte, und endlich, welche einem bestimmten Volke angemessen ist; denn Vielen ist die Erreichung der absolut besten wohl geradezu unmöglich. Der tüchtige Gesetzgeber und der wahre Staatsmann muss also ebensowohl die absolut vorzüglichste, als die nach den vorliegenden Umständen beste genau kennen; dazu aber drittens auch die der gegebenen Bedingung nach beste. Er soll nämlich auch bei einer gegebenen Verfassung sowohl davon Einsicht haben, wie sie von vorn herein sich entwickeln müsse, als auch davon, auf welche Weise sie, nachdem sie sich entwickelt hat, am längsten erhalten werden könne. So z. B. wenn eine Stadt weder überhaupt die beste Verfassung besitzt und dabei mit den nothwendigen Bedürfnissen nicht hinreichend ausgestattet ist, noch selbst nur die nach den vorhandenen Umständen mögliche, sondern eine schlechtere.

3. Ausser allem Diesem muss er aber auch die allen Staaten vorzugsweise gemässe kennen. Denn die Schriftsteller über Politik, mögen sie auch in allem Uebrigen viel Gutes sagen, das praktisch Brauchbare verfehlen sie. Denn es kommt ja nicht blos darauf an, die beste zu

4. Τοῦ δ' εὖ μεμῖχθαι δημοκρατίαν καὶ ὀλιγαρχίαν ὅρος, ὅταν ἐνδέχηται λέγειν τὴν αὐτὴν πολιτείαν δημοκρατίαν καὶ ὀλιγαρχίαν· δῆλον γὰρ ὅτι τοῦτο πάσχουσιν οἱ λέγοντες διὰ τὸ μεμῖχθαι καλῶς. πέπονθε δὲ τοῦτο καὶ τὸ μέσον· ἐμφαίνεται γὰρ ἑκάτερον ἐν αὐτῷ τῶν ἄκρων. ὅπερ συμβαίνει περὶ τὴν Λακεδαιμονίων πολιτείαν.

4. Vollkommen aber wird die Mischung der Demokratie und Oligarchie dann sein, wenn man sich in dem Falle befindet, eine und dieselbe Verfassung Demokratie und Oligarchie zu nennen; denn offenbar befindet man sich in diesem Falle, eben weil die Mischung wohl gerathen ist. Dasselbe ist auch bei dem Mittleren der Fall; in ihm kommt nämlich jedes der beiden Extreme zur Erscheinung; wie das bei der Verfassung der Lakedaemonier eintritt.

5. Πολλοὶ γὰρ ἐγχειροῦσι λέγειν ὡς δημοκρατίας οὔσης διὰ τὸ δημοκρατικὰ πολλὰ τὴν τάξιν ἔχειν, οἷον πρῶτον τὸ περὶ τὴν τροφὴν τῶν παίδων· ὁμοίως γὰρ οἱ τῶν πλουσίων τρέφονται τοῖς τῶν πενήτων, καὶ παιδεύονται τὸν τρόπον τοῦτον ὃν ἂν δύναιντο καὶ τῶν πενήτων οἱ παῖδες. ὁμοίως δὲ καὶ ἐπὶ τῆς ἐχομένης ἡλικίας, καὶ ὅταν ἄνδρες γένωνται, τὸν αὐτὸν τρόπον· οὐθὲν γὰρ διάδηλος ὁ πλούσιος καὶ ὁ πένης. οὕτω τὰ περὶ τὴν τροφὴν ταὐτὰ πᾶσιν ἐν τοῖς συσσιτίοις, καὶ τὴν ἐσθῆτα οἱ πλούσιοι τοιαύτην οἵαν ἄν τις παρασκευάσαι δύναιτο καὶ τῶν πενήτων ὁστισοῦν. ἔτι τῷ δύο τὰς μεγίστας ἀρχὰς τὴν μὲν αἱρεῖσθαι τὸν δῆμον, τῆς δὲ μετέχειν· τοὺς μὲν γὰρ γέροντας αἱροῦνται, τῆς δ' ἐφορείας μετέχουσιν. οἱ δ' ὀλιγαρχίαν διὰ τὸ πολλὰ ἔχειν ὀλιγαρχικά, οἷον τὸ πάσας αἱρετὰς εἶναι καὶ μηδεμίαν κληρωτήν, καὶ ὀλίγους εἶναι κυρίους θανάτου καὶ φυγῆς, καὶ ἄλλα τοιαῦτα πολλά.

5. Viele nämlich reden von ihr, als wäre sie eine Demokratie, weil sie viele demokratische Einrichtungen hat, wie z. B. gleich die Erziehung der Kinder. Denn dort werden die Kinder der Reichen und der Armen gleich erzogen, und die ersteren erhalten eine Bildung, wie sie die Kinder der Armen auch erhalten können. Dasselbe findet Statt in der nächstfolgenden Altersstufe, und auch wenn sie Männer geworden sind. Denn da zeichnet sich der Reiche in nichts vor dem Armen aus. So ist die Kost für Alle dieselbe in den Syssitien, und Kleidung tragen die Reichen dieselbe, wie sie sich auch jeder Arme zu verschaffen im Stande ist. Dazu kommt, dass von den beiden höchsten Magistraturen die eine das Volk wählt, zu der andern Leute aus dem Volke selbst wählbar sind. Die Geronten nämlich wählt das Volk, das Ephorat aber können Leute aus dem Volke bekleiden. Andere dagegen nennen sie eine Oligarchie, weil sie viel Oligarchisches hat, wie z. B. dass alle Aemter durch Wahl, keins durchs Loos ertheilt werden, und dass nur einige Wenige Macht haben, Todesstrafe und Verbannung zu verhängen, und Anderes dergleichen mehr.

6. Δεῖ δ' ἐν τῇ πολιτείᾳ τῇ μεμιγμένῃ καλῶς ἀμφότερα δοκεῖν εἶναι καὶ μηδέτερον, καὶ σώζεσθαι δι' αὑτῆς καὶ μὴ ἔξωθεν, καὶ δι' αὑτῆς μὴ τῷ πλείους ἔξωθεν εἶναι τοὺς βουλομένους (εἴη γὰρ ἂν καὶ πονηρᾷ πολιτείᾳ τοῦθ' ὑπάρχον) ἀλλὰ

6. Die wohlgemischte republikanische Verfassung muss aber beide Elemente zu enthalten scheinen, und nicht eins von beiden; sie muss sich ferner durch sich selbst aufrecht erhalten und nicht von aussen her, und zwar durch sich selbst nicht dadurch, dass der grössere Theil ihrer Nachbarn damit einverstanden ist (denn

---

§. 3. ἑκατέρου τιμήματος] τίμημα Q^b. —

§. 4. μεμῖχθαι] Sic Bkk. Vulgo μεμίχθαι A 1. 2. B 2. 3. Lut. Sylb. rell. Schn. Cor. Goettl. — οἱ λέγοντες διὰ τὸ] διὰ τὸ om. Aret., qui vertit: *hoc accidere dicentibus eas bene esse commixtas.* —

§. 5. διὰ τὸ δημοκρατικὰ] διὰ τὸ μὴ δημοκρατ. V^b. — δημοκρατικὰ] δημοτικὰ tacite Schn. Goettl. contra codd. mss. et edd. vett. omnes. — οὐθὲν γὰρ διάδηλος] Sic edidit Bekkerus, hac nota addita: „*διάδηλος margo: Vulgo* ἄδηλος." Sed nimio fastu vir doctissimus neglexit ea, quae a prioribus horum librorum editoribus ad haec verba notata sunt. Qui si vel unius Goettlingii Adnotationem inspicere dignatus fuisset, longe graviorem auctoritatem scripturae a se receptae addi posse intellexisset. Etenim διάδηλος non tantum in margine reperitur, sed est etiam in codice optimo manu Demetrii Chalcondylae Atheniensis scripto (P 1.) et in P 4. Immo vero legitur etiam in exemplari praestantissimo B 3., et quod maioris etiam ponderis est, expressit eandem scripturam Vetus ille Interpres, qui vertit „*distinctus*," et Aretinus, qui reddidit „conspicuus". Vulgatae ἄδηλος quae est in Codd. reliquis et in A 1. 2. B 2. Lut. Vict. 2. Zw. Sylb. vitium subesse intellexerunt iam Lamb., qui correxit οὐθὲν γὰρ εὔδηλος (quod ante eum viderat Camerar. p. 161.), et Boeckh., qui quam ad Platonis Legg. p. 184. proposuit coniecturam δῆλος, eam praeripuit viro doctissimo Lambinus ap. Zwing. p. 370.; εὔδηλος receper. Schn. Cor. Goettl. Sed hic in Adnotatione: „*Tu vero recipe διάδηλος, scripturam* P 1. 4. *et marginis* P 2." — Ceterum iure mireris in Victorii commentariis huius discrepantiae nec volam nec vestigium inveniri. — ἔτι τῷ δύο] ἔτι τῶν δ' P^b. V^b. A 1. 2. B 2. Z. Goettl.; τὸ pro τῶν Schn. Cor. nescientes hanc scripturam iam esse in B 3. Sed τῷ, quod Bkk. ex septem codd. recepit, est etiam in Vet. („*adhuc eo quod*") P 1. Lamb. Lut. Vict. (cuius scripturam male mutavit Zwing.) Sylb. Cas. probavitque eam in Adnotat. Goettling. — τῆς δ' ἐφορείας μετέχουσιν] μετέχουσιν om. Q^b. V^b. — καὶ ὀλίγους εἶναι κυρίους] εἶναι om. A 1. 2. B 2. 3. Goettl. „Minus perspicue." Sylb. —

§. 6. πονηρᾷ πολιτείᾳ] πονηρᾷ πολ. Q^b. V^b.

τῷ μηδ' ἂν βούλεσθαι πολιτείαν ἑτέραν μηθὲν τῶν τῆς πόλεως μορίων ὅλως. τίνα μὲν οὖν τρόπον δεῖ καθιστάναι πολιτείαν, ὁμοίως δὲ καὶ τὰς ὀνομαζομένας ἀριστοκρατίας, νῦν εἴρηται.

dieser Umstand könnte auch einer schlechten Verfassung zu Gute kommen), sondern dadurch, dass überhaupt gar keins der Staatsglieder eine andere Verfassung will. Wie man also eine Republik, ingleichen wie man die sogenannten Aristokratieen einzurichten habe, ist jetzt gesagt.

CAP. VIII.

Cap. 10. Bkk. 1. *Περὶ δὲ τυραννίδος ἦν ἡμῖν λοιπὸν εἰπεῖν, οὐχ ὡς ἐνούσης πολυλογίας περὶ αὐτήν, ἀλλ' ὅπως λάβῃ τῆς μεθόδου τὸ μέρος, ἐπειδὴ καὶ ταύτην τίθεμεν τῶν πολιτειῶν τι μέρος. περὶ μὲν οὖν βασιλείας διωρίσαμεν ἐν τοῖς πρώτοις λόγοις, ἐν οἷς περὶ τῆς μάλιστα λεγομένης βασιλείας ἐποιούμεθα τὴν σκέψιν, πότερον ἀσύμφορον ἢ συμφέρει ταῖς πόλεσιν, καὶ τίνα καὶ πόθεν δεῖ καθιστάναι, καὶ πῶς.*

2. *Τυραννίδος δ' εἴδη δύο μὲν διείλομεν ἐν οἷς περὶ βασιλείας ἐπεσκοποῦμεν, διὰ τὸ τὴν δύναμιν ἐπαλλάττειν πως αὐτῶν καὶ πρὸς τὴν βασιλείαν, διὰ τὸ κατὰ νόμον εἶναι ἀμφοτέρας ταύτας τὰς ἀρχάς· ἔν τε γὰρ τῶν βαρβάρων τισὶν αἱροῦνται αὐτοκράτορας μονάρχους, καὶ τὸ παλαιὸν ἐν τοῖς ἀρχαίοις Ἕλλησιν ἐγίγνοντό τινες μόναρχοι τὸν τρόπον τοῦτον, οὓς ἐκάλουν αἰσυμνήτας. ἔχουσι δέ τινας πρὸς ἀλλήλας αὗται διαφοράς. ἦσαν δὲ διὰ μὲν τὸ κατὰ νόμον βασιλικαὶ καὶ διὰ τὸ μοναρχεῖν ἑκόντων, τυραννικαὶ δὲ διὰ τὸ δεσποτικῶς ἄρχειν κατὰ τὴν αὐτῶν γνώμην.*

3. *Τρίτον δὲ εἶδος τυραννίδος, ἥπερ μάλιστ' εἶναι δοκεῖ τυραννίς, ἀντίστροφος οὖσα τῇ παμβασιλείᾳ. τοιαύτην δ' ἀναγκαῖον εἶναι τυραννίδα τὴν μοναρχίαν, ἥτις ἀνυπεύθυνος ἄρχει τῶν ὁμοίων καὶ βελτιόνων πάντων πρὸς τὸ σφέτερον αὐτῆς συμφέρον, ἀλλὰ μὴ πρὸς τὸ τῶν ἀρχομένων. διόπερ ἀκούσιος· οὐθεὶς γὰρ ἑκὼν ὑπομένει τῶν ἐλευθέρων τὴν τοιαύτην ἀρχήν. τυραννίδος μὲν οὖν εἴδη ταῦτα καὶ τοσαῦτα διὰ τὰς εἰρημένας αἰτίας.*

Kap. VIII.

1. So hätten wir denn nur über die Tyrannis noch zu sprechen, nicht als ob darüber viel zu sagen wäre, sondern damit auch sie ihre Stelle in der Untersuchung erhalte, da wir ja auch sie mit zu den Verfassungen rechnen. Ueber das Königthum handelten wir in den früheren Vorträgen, wo wir die Untersuchung über das mit dem meisten Rechte so genannte Königthum anstellten, ob es für die Staaten zuträglich sei oder nicht, und wen man dazu und woher erwählen und wie man dabei verfahren solle.

2. Von der Tyrannis stellten wir da, wo wir vom Königthume handelten, zwei Arten auf, weil gewissermassen die Gewalt beider Aehnlichkeit mit dem Königthume hat, sofern sie beide eine gesetzliche Begründung haben. Denn wie man bei manchen Barbaren unumschränkte Monarchen erwählt, so gab es auch bei den alten Hellenen Monarchen dieser Art, welche Aisymneten hiessen. Es finden nun zwar zwischen diesen gewisse Verschiedenheiten Statt, aber beide waren doch, als gesetzlich begründet und über freiwillig Gehorchende alleinherrschend, dem Königthume verwandt, während sie, als despotisch und nach ihrem selbsteignen Gutdünken ihre Macht übend, ein tyrannisches Element enthielten.

3. Die dritte Form der Tyrannis aber ist die, welche am meisten als solche gilt, während sie dem Vollkönigthum entspricht. Eine solche Tyrannis ist nothwendig die Monarchie, welche unverantwortlich über die Gleichen und Besseren insgesammt herrscht, und nicht das Wohl der Beherrschten, sondern ihr eignes bezweckt. Darum ist sie auch eine unfreiwillige; denn freiwillig erträgt eine solche Herrschaft kein freier Mann. Dies sind die sämmtlichen Formen der Tyrannis aus den angegebenen Ursachen.

CAP. IX.

Cap. 11. Bkk. 1. *Τίς δ' ἀρίστη πολιτεία καὶ τίς ἄριστος βίος ταῖς πλείσταις πόλεσι καὶ τοῖς πλείστοις τῶν ἀνθρώπων, μήτε πρὸς ἀρετὴν συγκρίνουσι τὴν ὑπὲρ τοὺς ἰδιώτας, μήτε πρὸς παιδείαν ἢ φύσεως δεῖται καὶ χορηγίας τυχηρᾶς, μήτε πρὸς πολιτείαν*

Kap. IX.

1. Welches ist nun aber die beste Verfassung, und welches das beste Leben für die meisten Staaten und die meisten Menschen, wenn man dabei weder den Maassstab einer Tugend anlegt, welche über der Sphäre der gewöhnlichen Menschen liegt, noch einer Bildung, welche Naturanlage und äusserer, vom Glück abhangender

---

πονηρὰ πολιτεία A 1. 2. B 2. — *τῷ μηδ' ἂν*] *τὸ μηδ' ἂν* I^b. Q^b. V^b. — *μορίων*] *μόριον* P 1. — *δεῖ καθιστάναι πολιτείαν*] *τὴν* ante *πολ.* additum est in Lut. Zw. Cas. Sylb. Schn. Cor. Sed delevit articulum Goettl. cum P 1. 2. 3. 4. A 1. 2. B 2. 3. et Bekk. cum Codd. omnibus. Ceterum Schneiderus putat: Vet. scriptum legisse et vertisse *δοκεῖ καθίστασθαι ἡ πολιτεία ὁμοίως — αἱ ὀνομαζόμεναι ἀριστοκρατίαι.* —

Cap. VIII. §. 1. *Περὶ δὲ τυραννίδος ἦν*] *Περὶ δὲ τῆς τυραννίδος ἦν* Q^b. — *λάβῃ*] *ἀπολάβῃ* scribendum censeo. Schneid. — *ἀσύμφορον*] *ἀσύμφορος* I^b. —

§. 2. *διὰ τὸ τὴν δύναμιν ἐπαλλάττειν — καὶ πρὸς τὴν βασιλ.*] Aret. reddidit *τὴν αὐτὴν δύναμιν* omissa copula *καί.* Lambinus similiter copulam omisit. Giphanius *αὐτῆς* omisso *καὶ* vertit. *καὶ* deleri voluit Conring., aut scribi: *καὶ ἑαυτῶν καὶ πρός.* Schneid. — *ταύτας τὰς ἀρχάς·*] *τὰς* om. Q^b. V^b. A 1. 2. B 2. 3., quod fugit Goettl. — *τινες μόναρχοι*] *τ. μόναρχοι* I^b., *μοναρχοιῶν* Q^b. V^b. —

ἄρχειν κατὰ τὴν] *καὶ* ante *κατὰ* legitur in Vict. 2. Zw. Sylburgius uncis inclusit ut Cas. nihilo tamen minus recep. Schn. Cor.

§. 3. *ἀντίστροφος οὖσα τῇ παμβασιλείᾳ*] *παμβασιλείᾳ* pro vulgato *βασιλείᾳ*, quod in omnibus edd. legitur, prim. restituit Schneiderus (quem sequitur Cor.) ex Vet., qui vertit: *ei quae omnimode regnum*; quae scriptura placuit Goettl. servataque a Bkk. ex septem Codd.; *βασιλεία* Q^b. V^b. et Goettl. Codd. ut videtur omnes. — *ἄρχει*] *ἄρχη* V^b. — *οὐθεὶς γάρ*] *εὐθὺς γὰρ* V^b. —

Cap. IX. §. 1. *ἢ φύσεως δεῖται*] Sic edidit Bekkerus hac nota addita: „Codices ἃ.“ Sed praeter Codd. etiam libri typis impressi omnes habent *ἃ*, quod primus in *ἢ* mutavit Schneiderus usus auctoritate Vet., in quo est *quae indiget* (sed Thom.: *qua indigent*) et Camerarii, qui p. 163. haec habet: „*ἃ φύσεως δεῖται*, i. e. *secundum ea, quibus opus est eximia natura et prosperae fortunae copiis.* Sed in vetere libro extat simplicior scriptura *ἢ φύσ. δ.*, nimirum *παιδεία.*“ Etiam Victorius in interpretatione tacite secutus est hanc scripturam, quam recep. etiam Cor. Contra Goettlingius: „*ἃ φύσεως δεῖται* est pro *καθὰ φύ-*

τὴν κατ' εὐχὴν γινομένην, ἀλλὰ βίον τε τὸν τοῖς πλείστοις κοινωνῆσαι δυνατὸν καὶ πολιτείαν ἧς τὰς πλείστας πόλεις ἐνδέχεται μετασχεῖν.

2. Καὶ γὰρ ἃς καλοῦσιν ἀριστοκρατίας, περὶ ὧν νῦν εἴπομεν, τὰ μὲν ἐξωτέρω πίπτουσι ταῖς πλείσταις τῶν πόλεων, τὰ δὲ γειτνιῶσι τῇ καλουμένῃ πολιτείᾳ· διὸ περὶ ἀμφοῖν ὡς μιᾶς λεκτέον. ἡ δὲ δὴ κρίσις περὶ ἁπάντων τούτων ἐκ τῶν αὐτῶν στοιχείων ἐστίν. εἰ γὰρ καλῶς ἐν τοῖς ἠθικοῖς εἴρηται τὸ τὸν εὐδαίμονα βίον εἶναι τὸν κατ' ἀρετὴν ἀνεμπόδιστον, μεσότητα δὲ τὴν ἀρετήν, τὸν μέσον ἀναγκαῖον εἶναι βίον βέλτιστον, τῆς ἑκάστοις ἐνδεχομένης τυχεῖν μεσότητος.

3. Τοὺς δὲ αὐτοὺς τούτους ὅρους ἀναγκαῖον εἶναι καὶ πόλεως ἀρετῆς καὶ κακίας καὶ πολιτείας· ἡ γὰρ πολιτεία βίος τίς ἐστι πόλεως. ἐν ἁπάσαις δὴ ταῖς πόλεσίν ἐστι τρία μέρη τῆς πόλεως, οἱ μὲν εὔποροι σφόδρα, οἱ δὲ ἄποροι σφόδρα, οἱ δὲ τρίτοι οἱ μέσοι τούτων. ἐπεὶ τοίνυν ὁμολογεῖται τὸ μέτριον ἄριστον καὶ τὸ μέσον, φανερὸν ὅτι καὶ τῶν εὐτυχημάτων ἡ κτῆσις ἡ μέση βελτίστη πάντων. ῥᾴστη γὰρ τῷ λόγῳ πειθαρχεῖν.

4. Ὑπέρκαλον δὲ ἢ ὑπερίσχυρον ἢ ὑπερευγενῆ ἢ ὑπερπλούσιον, ἢ τἀναντία τούτοις, ὑπέρπτωχον ἢ ὑπερασθενῆ καὶ σφόδρα ἄτιμον, χαλεπὸν τῷ λόγῳ ἀκολουθεῖν. γίγνονται γὰρ οἱ μὲν ὑβρισταὶ καὶ μεγαλοπόνηροι μᾶλλον, οἱ δὲ κακοῦργοι καὶ μικροπόνηροι λίαν· τῶν δ' ἀδικημάτων τὰ μὲν γίγνεται δι' ὕβριν, τὰ δὲ διὰ κακουργίαν. ἔτι δ' ἥκισθ' οὗτοι φιλαρχοῦσι καὶ βουλαρχοῦσιν· ταῦτα δ' ἀμφότερα βλαβερὰ ταῖς πόλεσιν.

5. Πρὸς δὲ τούτοις οἱ μὲν ἐν ὑπεροχαῖς εὐτυχημάτων ὄντες, ἰσχύος καὶ πλούτου καὶ φίλων καὶ τῶν ἄλλων τῶν τοιούτων, ἄρχεσθαι οὔτε βούλονται οὔτε ἐπίστανται (καὶ τοῦτ' εὐθὺς οἴ-

Begünstigungen bedarf, noch einer Verfassung, wie sie als erwünschtes Ideal existirt, sondern eines Lebens, wie es die meisten Menschen zu führen im Stande sind, und einer Verfassung, welche für die meisten Staaten einführbar ist.

2. Die sogenannten Aristokratieen, von denen wir kurz zuvor sprachen, liegen theils den meisten Staaten zu fern, theils grünzen sie an die von uns Republik genannte Form; beide müssen also wie Eine behandelt werden. Die Beurtheilung aller dieser geht nun aber von denselben Principien aus. Wenn nämlich in der Ethik richtig gesagt ist, das glückselige Leben sei das in der Ausübung der Tugend ungehinderte, die Tugend aber ein Mittelmaass, so muss das Leben innerhalb eines solchen Mittelmaasses das beste sein, und zwar innerhalb eines solchen Mittelmaasses, wie sie jedes Individuum zu erreichen vermag.

3. Eben diese Bestimmungen von gut und schlecht müssen aber auch für Staat und Verfassung gelten; denn die Verfassung ist gewissermassen das Leben des Staats. Nun giebt es in allen Staaten drei Abtheilungen, die sehr Reichen, die sehr Armen, und drittens der zwischen Beiden liegende Mittelstand. Da nun allgemein das Mittelmässige und das Mittlere für das Beste gilt, so muss auch von den Glücksumständen der mittlere Besitz der allerbeste sein; denn ein solcher gehorcht am leichtesten der vernünftigen Einsicht.

4. Dahingegen hält es schwer, dass der übermässig Schöne, Starke, Vornehme, Reiche, und auf der entgegengesetzten Seite der übermässig Bettelhafte, Schwache und der sehr Verachtete der Vernunft Folge leiste. Jene verfallen nämlich vielmehr in brutalen Uebermuth und grosse Verbrechen, während aus diesen Bösewichte und kleine, aber sehr arge Uebelthäter entstehen. Alle Uebelthaten aber fliessen entweder aus Uebermuth oder aus Bosheit. Dazu kommt, dass diese beiden Klassen von Menschen weder Liebe zu den Magistraten, noch Lust haben, selbst Staatsämter zu übernehmen; dies ist aber Beides den Staaten schädlich.

5. Ueberdies haben die so überreichlich mit Glücksgütern, Stärke, Reichthum, Freunden und dergleichen mehr Gesegneten zur Unterordnung unter die Obrigkeit weder Lust noch Einsicht (und zwar zeigt sich dies in ihnen von Haus aus schon in den Kinder-

σεως θεῖται." — ἀλλὰ βίον τε] πρὸς ante βίον e Vet. addiderunt Schn. Cor. —

§. 2. ἡ δὲ δὴ κρίσις] ἡ γὰρ κρίσις expressit Vet. — ἀναγκαῖον εἶναι βίον] Sic nos cum Q^b. V^b. A 1.2. B 2.3. Lut. Vict. 2. Zw. Sylb. Cas. et recent. Schn. Cor. Goettl. ἀναγκαῖον βίον εἶναι minus commode Bekk. — τῆς ἑκάστοις] „*medietatis autem contingentis sortiri a singulis*" Vet. Unde Schneid. edidit τῆς δὲ ἑκάστοις, quod recepit etiam Cor., qui tamen γε pro δὲ mavult. — ἐνδεχομένης] ἐνδεχομένοις vitiose Vict. 2. Zw. —

§. 3. τοὺς δὲ αὐτοὺς] γρ. καὶ χωρὶς τοῦ δὲ margo I^b. et P 2. et sic scriptum in P 4. τῆς (sic est apud Goettl.) αὐτοὺς τούτους. — τοὺς δὲ αὐτοὺς τούτους] Sic Bkk. tacite. Sed pro τούτους est dativus τούτοις in Goettl. A 1.2. B 2.3. Lut. prob. Cas.; accusativum primus restituit Camerar. *ex vetere libro*, ut ait, eumque secuti sunt Victor. Zw. Sylb. Conr. Schn. (qui eam scripturam etiam in Vet. esse dicit) et Cor. — καὶ πόλεως ἀρετῆς καὶ κακίας καὶ πολιτείας] Conringius malebat concinnius scribi: ἀρετῆς καὶ κακίας, καὶ πόλεως καὶ πολιτείας. — τὸ μέτριον ἄριστον] Malit fort. aliquis τὸ μέτρον: sicut scilicet et Chilo et Phocylides ait: πάντων μέτρον ἄριστον: inquit Victorius. Sylburg. Sed ipse Victorius proposita coniectura illa addit p. 376. Zwing.: „Ipse tamen communem lectionem repudiare non ausim, quam etiam inventam a me in omnibus libris calamo exaratis exprimit vetus tralatio." Probavit coniecturam Victorii Conring., et receperunt eam Schneid. et Cor.

§. 4. γίγνονται γὰρ] Quam sibi constans sit Bekkerus in huius verbi forma, ex hoc uno capite intelligi potest; hic enim γίγνονται scripsit, ut statim in proximis verbis, sed paullo post eadem pagina 1295 versu 21. legimus γίνεται et v. 39. γίνεσθαι; mox pag. seq. 1296 v. 2. γίγνεται, tum v. 4. γίνεται; rursus γίγνονται v. 9., deinde γίνεται v. 17. et statim post v. 27. γίγνεται, et ut ordo servetur alternus, eodem versu scriptum est γίνεσθαι. In quibus fere omnibus cum Lut. consentit Bekkeriana. — κακοῦργοι — κακουργίαν] Lambini coniectura πανοῦργοι et πανουργίαν scribentis placuit Conringio et Schneidero; Vet. *astuti — astutiam*. — ἔτι δ' ἥκισθ' οὗτοι φιλαρχοῦσι] Vulgo φυλαρχοῦσι, et sic Bekk. tacite. Sed audi Victorium (p. 376 Zw.): *in quibusdam libris scriptis legitur* φιλαρχοῦσι, *quod non probo, etsi hanc lectionem, expressam a Vetere translat., sequitur D. Thomas, nec non Sepulveda. Non veram autem praeterea arbitror, quia ut in posteriore iuncta voce prior pars ipsius ostendit partem civitatis i. e.* βουλήν, *ita etiam in priore eadem idem facere debuit.* φιλαρχοῦσι legitur etiam in P 2.3., sed est supra scriptum, invenitque idem Schneid. in Vet. Aret. et prob. Giph. Cas. Nec prorsus damnat Schneid., qui: „Equidem, inquit, si βουλαρχεῖν est pro usitatiore σπουδαρχεῖν, non dubitarim φιλαρχοῦσι praeferre multas ob rationes; sed haereo in posteriore verbo, quoniam alia mihi nota non sunt verba a βούλομαι derivata." Vet.: „*minime amant principes et volunt esse principes.*" Casaub., qui vulgatam servavit, vertit tamen nostram scripturam: *praeterea hi minime magistratus amant.* —

§. 5. εὐτυχημάτων] ἐντυχημάτων V^b. — διὰ

κοθεν ὑπάρχει παισὶν οὖσιν· διὰ γὰρ τὴν τρυφὴν οὐδ' ἐν τοῖς διδασκαλείοις ἄρχεσθαι σύνηθες αὐτοῖς), οἱ δὲ καθ' ὑπερβολὴν ἐν ἐνδείᾳ τούτων ταπεινοὶ λίαν. ὥςθ' οἱ μὲν ἄρχειν οὐκ ἐπίστανται ἀλλ' ἄρχεσθαι δουλικὴν ἀρχήν, οἱ δ' ἄρχεσθαι μὲν οὐδεμιᾷ ἀρχῇ, ἄρχειν δὲ δεσποτικὴν ἀρχήν.

6. *Γίνεται οὖν [καὶ] δούλων καὶ δεσποτῶν πόλις, ἀλλ' οὐκ ἐλευθέρων, καὶ τῶν μὲν φθονούντων τῶν δὲ καταφρονούντων· ἃ πλεῖστον ἀπέχει φιλίας καὶ κοινωνίας πολιτικῆς. ἡ γὰρ κοινωνία φιλικόν· οὐδὲ γὰρ ὁδοῦ βούλονται κοινωνεῖν τοῖς ἐχθροῖς. βούλεται δέ γε ἡ πόλις ἐξ ἴσων εἶναι καὶ ὁμοίων ὅτι μάλιστα, τοῦτο δ' ὑπάρχει μάλιστα τοῖς μέσοις· ὥςτ' ἀναγκαῖον ἄριστα πολιτεύεσθαι ταύτην τὴν πόλιν ἐστὶν ἐξ ὧν φαμὲν φύσει τὴν σύστασιν εἶναι τῆς πόλεως.*

7. *Καὶ σώζονται δ' ἐν ταῖς πόλεσιν οὗτοι μάλιστα τῶν πολιτῶν. οὔτε γὰρ αὐτοὶ τῶν ἀλλοτρίων ὥςπερ οἱ πένητες ἐπιθυμοῦσιν, οὔτε τῆς τούτων ἕτεροι, καθάπερ τῆς τῶν πλουσίων οἱ πένητες ἐπιθυμοῦσιν· καὶ διὰ τὸ μήτ' ἐπιβουλεύεσθαι μήτ' ἐπιβουλεύειν ἀκινδύνως διάγουσιν. διὰ τοῦτο καλῶς ηὔξατο Φωκυλίδης*

„πολλὰ μέσοισιν ἄριστα· μέσος θέλω ἐν πόλει εἶναι."

8. *Δῆλον ἄρα ὅτι καὶ ἡ κοινωνία ἡ πολιτικὴ ἀρίστη ἡ διὰ τῶν μέσων, καὶ τὰς τοιαύτας ἐνδέχεται εὖ πολιτεύεσθαι πόλεις ἐν αἷς δὴ πολὺ τὸ μέσον, καὶ κρεῖττον μάλιστα μὲν ἀμφοῖν, εἰ δὲ μή, θατέρου μέρους· προςτιθέμενον γὰρ ποιεῖ ῥοπὴν καὶ κωλύει γίνεσθαι τὰς ἐναντίας ὑπερβολάς. διόπερ εὐτυχία μεγίστη τοὺς πολιτευομένους οὐσίαν ἔχειν μέσην καὶ ἱκανήν, ὡς ὅπου οἱ μὲν πολλὰ σφόδρα κέκτηνται οἱ δὲ μηθέν, ἢ δῆμος ἔσχατος γίγνεται ἢ ὀλιγαρχία ἄκρατος ἢ τυραννὶς δι' ἀμφοτέρας τὰς ὑπερβολάς· καὶ γὰρ ἐκ δημοκρατίας τῆς νεανικωτάτης καὶ ἐξ ὀλιγαρχίας γίνεται τυραννίς, ἐκ δὲ τῶν μέσων καὶ τῶν σύνεγγυς πολὺ ἧττον. τὴν δ' αἰτίαν ὕστερον ἐν τοῖς περὶ τὰς μεταβολὰς τῶν πολιτειῶν ἐροῦμεν.*

9. *Ὅτι δ' ἡ μέση βελτίστη, φανερόν· μόνη γὰρ ἀστασίαστος· ὅπου γὰρ πολὺ τὸ διὰ μέσου, ἥκιστα στάσεις καὶ διαστάσεις γίγνονται τῶν πολιτειῶν. καὶ αἱ μεγάλαι πόλεις ἀστασιαστότεραι*

jahren; wegen der Verzärtelung gewöhnen sie sich nämlich selbst in der Schule nicht zum Gehorsam); Die hingegen, welche an allen diesen Dingen allzu bittern Mangel haben, sind wieder allzu unterwürfig. So wissen denn diese nicht zu herrschen, sondern nur sich knechtisch zu unterwerfen, jene dagegen sich unter gar keine Herrschaft zu fügen, zu herrschen aber nur auf despotische Art.

6. So entsteht also ein Staat nicht von Freien, sondern von Sklaven und Despoten, von denen die einen mit Neid, die andern mit Verachtung auf ihre Mitbürger sehen; was doch weit entfernt ist von bürgerlicher Freundschaft und Geselligkeit. Die Geselligkeit ist nämlich ein Bestandtheil der Freundschaft, denn seinen Feind mag man ja nicht einmal auf demselben Wege zum Gesellen haben. Der Staat aber verlangt seiner Natur nach, dass seine Glieder möglichst gleich und ähnlich sind. Dies aber findet sich vorzugsweise im Mittelstande. Folglich muss nothwendig der Staat am besten verwaltet sein, dessen Glieder den Bestandtheilen entsprechen, welche wir als zur Bildung eines Staats von der Natur gefordert annehmen.

7. Auch ist in allen Staaten die Existenz dieser Bürgerklasse am meisten gesichert. Denn weder sind sie, wie die Armen, nach Anderer Eigenthum begierig, noch Andere nach dem ihrigen, wie die Schätze der Reichen Gegenstand der Begierde der Armen sind. Und indem sie so weder Andere angreifen, noch von Andern angegriffen werden, verleben sie ihre Tage ungefährdet. Daher hatte Phokylides Recht mit seinem Wunsche:

Mittelstand hat den Preis! ihn lob' ich im Staat mir vor Allem.

8. Offenbar ist also auch die bürgerliche Gesellschaft die beste, welche aus Leuten vom Mittelstande besteht, und solche Staaten können eine gute Verwaltung am ersten geniessen, in denen eben der Mittelstand zahlreich und stärker wo möglich, als beide, oder doch als die eine der beiden andern Klassen ist. Denn so giebt er durch seinen Beitritt den Ausschlag und verhindert das Entstehen der Uebermacht auf einer oder der andern Seite. Es ist daher das grösste Glück, wenn die Bürger eines Staats ein mittelmässiges aber ausreichendes Vermögen besitzen; denn wo die Einen übermässig viel, die Andern nichts besitzen, da entsteht entweder Demokratie im äussersten Grade oder ungemässigte Oligarchie oder Tyrannis aus beiden Uebermaassen. Denn Tyrannis entsteht ebensowohl aus der zügellosesten Demokratie als aus der Oligarchie; wo aber Mittelstand und Annäherung der Klassen der Bürger stattfindet, weit weniger. Die Ursache davon werden wir später bei den Umwandlungen der Verfassungen angeben.

9. Dass aber die mittlere die beste sei, leuchtet ein; denn sie allein ist vor Aufruhr gesichert. Denn wo diese mittlere Klasse zahlreich ist, da finden am wenigsten Aufstände und Spaltungen Statt. Aus eben dieser Ursache sind auch die grossen Staaten weniger

---

γὰρ τὴν τρυφὴν] *τροφὴν* A 2. — οὐδ' ἐν τοῖς] *οὐδὲν τοῖς* Q^b. V^b. *οὐδὲ τοῖς* (neque doctoribus) Vet. — διδασκαλείοις] *διδασκαλίοις* P 2. I^b., *διδασκάλοις* P 1. Vet. Q^b. V^b. Lut., unde transiit in Sylb. et mansit in recentioribus usque ad Schneiderum. Notavit *διδασκάλοις* ut in calamo exaratis pluribus libris et in Vet. inventum primus Victorius, qui „si culpa librariorum, inquit, hoc commissum non fuit, arbitror esse loquendi modum proprium Atticorum." Equidem arbitror veram scripturam esse in Vet. *οὐδὲ τοῖς διδασκάλοις*. —

§. 6. [καὶ] δούλων] *καὶ*, quod tacite recepit Bekk., legitur in A 1. 2. B 2. 3., abest a Lut. Lamb. Vict. Zw. Sylb. Cas. Conr. Schn. Cor. G. Et Schneiderus quidem in sola A 2. *καὶ* „inepte intersertum" legi dicit; Goettling. ne notat quidem scripturae discrepantiam. — καὶ δεσποτῶν πόλις] *κ. δ. μόλις* Q^b. V^b. — τοῦτο δ'] *δ'* om. Q^b. V^b. — ὑπάρχει μάλιστα] *μάλιστα* om. Q^b. — ἐστὶν ἐξ ὧν] Sic Bkk. tacite. Vulgo *ἐστίν, ἐξ ὧν* ut est in A 1. 2. B 2. 3. Vict. 2. Zw. Lut. Sylb. rec. Schn. G. — *ἐστίν, τὴν ἐξ ὧν* Cor., *ἐστιν* om. Vet.; *ἣ συνέστη* pro *ἐστὶν* cum Lamb. et Giph. scribendum censet Schneiderus.

§. 7. οὔτε τῆς τούτων ἕτεροι] *οὐσίας* post *τούτων* addi volebat Lamb. idque receperunt Schn. (qui in Vet. invenit) Cor. — τῆς τῶν πλουσίων] *τῆς* om. Q^b. — θέλω] *θέλων* I^b. V^b. P 4. (?) A 1. 2. B 2. 3. —

§. 8. καὶ ἱκανὴν] „et iustam" Lamb.; *καὶ ἱκανην*, quod notatum est in Zwingeriana pro var. scriptura, quid sibi velit, nescio. — ἄκρατος] q. e. *ἀκρατής*, mendose, inquit Lambinus. Sylb.; *intemperata* Vet.

§. 9. στάσεις καὶ διαστάσεις] pro *στάσεις* Vet. in exemplari graeco videtur legisse *συστάσεις*, vertit enim: *conturbationes et dissensiones*; eaque scriptura placuit Schn. et Cor. — γίγνονται τῶν πολιτειῶν] *γ. τ. πολιτῶν* Schneid., qui Addend. p. 486. „Vulgatum *πολιτειῶν*, inquit, correxi sententia flagitante, quanquam versiones omnes, quas comparavi, vulgatum reddiderint." Receperunt Schn. coniecturam Cor. Goettl., sed facti poenituit Goettlingium,

διὰ τὴν αὐτὴν αἰτίαν, ὅτι πολὺ τὸ μέσον· ἐν δὲ ταῖς μικραῖς ῥάδιόν τε διαλαβεῖν εἰς δύο πάντας, ὥςτε μηθὲν καταλιπεῖν μέσον, καὶ πάντες σχεδὸν ἄποροι ἢ εὔποροί εἰσιν. καὶ αἱ δημοκρατίαι δὲ ἀσφαλέστεραι τῶν ὀλιγαρχιῶν εἰσὶ καὶ πολυχρονιώτεραι διὰ τοὺς μέσους· πλείους τε γάρ εἰσι καὶ μᾶλλον μετέχουσι τῶν τιμῶν ἐν ταῖς δημοκρατίαις ἢ ταῖς ὀλιγαρχίαις, ἐπεὶ ὅταν ἄνευ τούτων τῷ πλήθει ὑπερτείνωσιν οἱ ἄποροι, κακοπραγία γίνεται καὶ ἀπόλλυνται ταχέως.

innern Unruhen unterworfen, weil hier der Mittelstand zahlreich ist. In kleinen dagegen geht es gar leicht an, dass die Gesammtheit in zwei Parteien auseinander tritt, so dass nichts Mittles übrigbleibt, auch sind da fast Alle entweder arm oder reich. Auch die Demokratieen sind sichrer und dauerhafter als die Oligarchieen wegen des Mittelstandes. Denn dieser ist in den Demokratieen zahlreicher, und hat mehr Antheil an den Ehrenstellen als in den Oligarchieen; denn ohne einen solchen Mittelstand entsteht, wenn die Armen durch ihre Menge das Uebergewicht bekommen, schlechte Wirthschaft, und sie gehen rasch zu Grunde.

10. Σημεῖον δὲ δεῖ νομίζειν καὶ τὸ τοὺς βελτίστους νομοθέτας εἶναι τῶν μέσων πολιτῶν· Σόλων τε γὰρ ἦν τούτων (δηλοῖ δ' ἐκ τῆς ποιήσεως) καὶ Λυκοῦργος (οὐ γὰρ ἦν βασιλεύς) καὶ Χαρώνδας καὶ σχεδὸν οἱ πλεῖστοι τῶν ἄλλων. φανερὸν δ' ἐκ τούτων καὶ διότι αἱ πλεῖσται πολιτεῖαι αἱ μὲν δημοκρατικαί εἰσιν αἱ δ' ὀλιγαρχικαί· διὰ γὰρ τὸ ἐν ταύταις πολλάκις ὀλίγον εἶναι τὸ μέσον, αἰεὶ ὁπότεροι ἂν ὑπερέχωσιν, εἴθ' οἱ τὰς οὐσίας ἔχοντες εἴθ' ὁ δῆμος, οἱ τὸ μέσον ἐκβαίνοντες καθ' αὑτοὺς ἄγουσι τὴν πολιτείαν, ὥςτε ἢ δῆμος γίγνεται ἢ ὀλιγαρχία.

10. Als Beweis dafür darf auch der Umstand gelten, dass die besten Gesetzgeber Leute aus dem Mittelstande waren. So war Solon aus demselben (man sieht's aus seiner Poesie), und Lykurgos (denn er war nicht König), und Charondas und so die meisten Andern. Hieraus erhellt ferner auch, warum die meisten Staaten entweder demokratische oder oligarchische sind; weil nämlich in ihnen der Mittelstand meist gering ist, so reisst jedesmal der überwiegende Theil von beiden, seien es die Reichen oder das Volk, der das Maass des Mittelstandes überschreitet, das Heft des Staats an sich, so dass entweder Demokratie entsteht oder Oligarchie.

11. Πρὸς δὲ τούτοις διὰ τὸ στάσεις γίνεσθαι καὶ μάχας πρὸς ἀλλήλους τῷ δήμῳ καὶ τοῖς εὐπόροις, ὁποτέροις ἂν μᾶλλον συμβῇ κρατῆσαι τῶν ἐναντίων, οὐ καθιστᾶσι κοινὴν πολιτείαν οὐδ' ἴσην, ἀλλὰ τῆς νίκης ἆθλον τὴν ὑπεροχὴν τῆς πολιτείας λαμβάνουσιν, καὶ οἱ μὲν δημοκρατίαν οἱ δ' ὀλιγαρχίαν ποιοῦσιν. ἔτι δὲ καὶ τῶν ἐν ἡγεμονίᾳ γενομένων τῆς Ἑλλάδος πρὸς τὴν παρ' αὑτοῖς ἑκάτεροι πολιτείαν ἀποβλέποντες οἱ μὲν δημοκρατίας ἐν ταῖς πόλεσι καθίστασαν οἱ δ' ὀλιγαρχίας, οὐ πρὸς τὸ τῶν πόλεων συμφέρον σκοποῦντες ἀλλὰ πρὸς τὸ σφέτερον αὐτῶν.

11. Dazu kommt, dass bei den sich ereignenden Aufständen und Kämpfen des Volks und der Reichen gegeneinander, die Partei, welche das Glück hat, ihre Gegner zu bewältigen, nicht etwa eine neue gemeinsame oder gleiche Rechte gebende Verfassung aufstellt, sondern das Uebergewicht im Staate sich als Siegspreis zueignet, und so hier Demokratie, dort Oligarchie macht. Ja, auch die Staaten, welche früher die Hegemonie in Hellas behaupteten, richteten beide mit Rücksicht auf ihre eigne Verfassung, die einen Demokratieen, die andern Oligarchieen in den Staaten ein, indem sie dabei nicht das Beste der Staaten, sondern ihr eignes im Auge hatten.

12. Ὥςτε διὰ ταύτας τὰς αἰτίας ἢ μηδέποτε τὴν μέσην γίνεσθαι πολιτείαν ἢ ὀλιγάκις καὶ παρ' ὀλίγοις· εἷς γὰρ ἀνὴρ συνεπείσθη μόνος τῶν πρότερον ἐφ' ἡγεμονίᾳ γενομένων ταύτην ἀποδοῦναι τὴν τάξιν. ἤδη δὲ καὶ τοῖς ἐν ταῖς πόλεσιν ἔθος καθέστηκε μηδὲ βούλεσθαι τὸ ἴσον, ἀλλ' ἢ ἄρχειν ζητεῖν ἢ κρατουμένους ὑπομένειν. τίς μὲν οὖν ἀρίστη πολιτεία, καὶ διὰ τίν' αἰτίαν, ἐκ τούτων φανερόν.

12. Aus diesen Ursachen entsteht dann die mittlere Verfassung entweder gar niemals oder doch sehr selten und bei sehr wenigen. Hat sich doch nur von den früheren Staatsoberhäuptern ein einziger Mann dazu entschlossen, diese Verfassung dem Staate zu verleihen. Ja auch unter den Bürgern in den Staaten ist es jetzt schon gewöhnliche Maxime, entweder selbst nach der Herrschaft zu streben, oder, im Fall man unterliegt, das Joch zu ertragen. Welches also die beste Verfassung sei, und warum, erhellt aus dem Gesagten.

13. Τῶν δ' ἄλλων πολιτειῶν, ἐπειδὴ πλείους δημοκρατίας καὶ πλείους ὀλιγαρχίας φαμὲν εἶναι, ποίαν πρώτην θετέον καὶ δευτέραν καὶ τοῦτον δὴ τὸν τρόπον ἐχομένην τῷ τὴν μὲν εἶναι βελτίω τὴν δὲ χείρω, διωρισμένης τῆς ἀρίστης οὐ χαλεπὸν ἰδεῖν. δεῖ γὰρ ἀναγκαῖον εἶναι βελτίω τὴν ἐγγύτατα ταύτης, χείρω δὲ τὴν ἀφεστηκυῖαν τοῦ μέσου πλεῖον, ἂν μὴ πρὸς ὑπόθεσιν κρίνῃ τις. λέγω δὲ τὸ πρὸς ὑπόθεσιν, ὅτι πολλάκις οὔσης ἄλλης πο-

13. Welche nun aber von den übrigen Verfassungen — denn wir nehmen ja mehrere Demokratieen und mehrere Oligarchieen an — den ersten Rang einnimmt, und welche den zweiten und so fort den folgenden, je nach ihrer relativen Vorzüglichkeit oder Mangelhaftigkeit, das ist nach Ermittelung der vollkommensten leicht zu ersehen. Es muss ja nämlich nothwendig diejenige die bessere sein, welche ihr am nächsten ist, schlechter aber die mehr von der mittleren entfernte, vorausgesetzt, dass man nicht nach einem relativen Maassstabe urtheilt. Das „nach einem relativen Maassstabe" verstehe

---

qui: „male, inquit, hoc Schneideri commentum cum Corae recepi pro eo, quod in omnibus tam antiquis editionibus, quam scriptis codd. legitur πολιτειῶν." — ὑπερτείνωσιν οἱ ἄποροι] Vet. ἄνθρωποι scriptum legit et vertit. Schn. — ἀπόλλυνται] ἀπώλλυνται P 2. —

§. 10. εἴθ' οἱ τὰς οὐσίας] εἴθ' αὐ τὰς οὐσίας (sic) A 1., εἴθ' αὐτὰς οὐσ. B 2., οἴθ' αὐτὰς οὐσ. A 2. Vitium correxerunt Camerar. et Vict. 2. et iam ante eos veram dedit script. B 3. Lut. —

§. 11. καὶ μάχας] καὶ τὰς μάχας P 1. Benc. Goettl. — ἔτι δὲ καὶ] ἔστι pro ἔτι A 1., quod correctum iam est in B 2. — τὴν παρ' αὐτοῖς] Sic Bekk. tacite. Vulgo αὐτοῖς. — καθίστασαν] καθίστασιν Vb. — πρὸς τὸ σφέτερον αὐτῶν] αὐτῶν Lut. A 1. 2. B 2. Vict. 2. Zw. Sylb. al.; αὑτῶν Schn. Goettl. Bkk. tacite; praepositionem πρὸς om. Qb. Vb. —

§. 12. γενομένων] γεννωμένων A 1. 2. Lut. „parum congruenter" ut dicit Sylb.; γενομένων iam est in B 2. 3. et in rell. omnib. Nam Goettling., qui servaverat Aldinarum scripturam, probavit alteram in Adnotatione. γενόμενος typ. vit. legitur in Schneid. —

§. 13. φαμὲν εἶναι] ἔφαμεν εἶναι P 1. P 4., quod probat Goettl. — λέγω δὲ τὸ πρὸς] τὸ abest a P 1. —

λιτείας αἱρετωτέρας ἐνίοις οὐθὲν κωλύσει συμφέρειν ἑτέραν μᾶλλον εἶναι πολιτείαν.

CAP. X.

Cap. 12. Bkk. 1. Τίς δὲ πολιτεία τίσι καὶ ποία συμφέρει ποίοις, ἐχόμενόν ἐστι τῶν εἰρημένων διελθεῖν. ληπτέον δὴ πρῶτον περὶ πασῶν καθόλου ταὐτόν· δεῖ γὰρ κρεῖττον εἶναι τὸ βουλόμενον μέρος τῆς πόλεως τοῦ μὴ βουλομένου μένειν τὴν πολιτείαν. ἔστι δὲ πᾶσα πόλις ἔκ τε τοῦ ποιοῦ καὶ ποσοῦ. λέγω δὲ ποιὸν μὲν ἐλευθερίαν, πλοῦτον, παιδείαν, εὐγένειαν, ποσὸν δὲ τὴν τοῦ πλήθους ὑπεροχήν.

2. Ἐνδέχεται δὲ τὸ μὲν ποιὸν ὑπάρχειν ἑτέρῳ μέρει τῆς πόλεως, ἐξ ὧν συνέστηκε μερῶν ἡ πόλις, ἄλλῳ δὲ μέρει τὸ ποσόν, οἷον πλείους τὸν ἀριθμὸν εἶναι τῶν γενναίων τοὺς ἀγεννεῖς ἢ τῶν πλουσίων τοὺς ἀπόρους, μὴ μέντοι τοσοῦτον ὑπερέχειν τῷ ποσῷ ὅσον λείπεσθαι τῷ ποιῷ. διὸ ταῦτα πρὸς ἄλληλα συγκριτέον. ὅπου μὲν οὖν ὑπερέχει τὸ τῶν ἀπόρων πλῆθος τὴν εἰρημένην ἀναλογίαν, ἐνταῦθα πέφυκεν εἶναι δημοκρατίαν, καὶ ἕκαστον εἶδος δημοκρατίας κατὰ τὴν ὑπεροχὴν τοῦ δήμου ἑκάστου, οἷον ἐὰν μὲν τὸ τῶν γεωργῶν ὑπερτείνῃ πλῆθος, τὴν πρώτην δημοκρατίαν, ἐὰν δὲ τὸ τῶν βαναύσων καὶ μισθαρνούντων, τὴν τελευταίαν, ὁμοίως δὲ καὶ τὰς ἄλλας τὰς μεταξὺ τούτων.

3. Ὅπου δὲ τὸ τῶν εὐπόρων καὶ γνωρίμων μᾶλλον ὑπερτείνει τῷ ποιῷ ἢ λείπεται τῷ ποσῷ, ἐνταῦθα δὲ ὀλιγαρχίαν, καὶ τῆς ὀλιγαρχίας τὸν αὐτὸν τρόπον ἕκαστον εἶδος κατὰ τὴν ὑπεροχὴν τοῦ ὀλιγαρχικοῦ πλήθους. δεῖ δ' ἀεὶ τὸν νομοθέτην ἐν τῇ πολιτείᾳ προςλαμβάνειν τοὺς μέσους· ἄν τε γὰρ ὀλιγαρχικοὺς τοὺς νόμους τιθῇ, στοχάζεσθαι χρὴ τῶν μέσων, ἐάν τε δημοκρατικούς, προςάγεσθαι τοῖς νόμοις τούτους.

4. Ὅπου δὲ τὸ τῶν μέσων ὑπερτείνει πλῆθος ἢ συναμφοτέρων τῶν ἄκρων ἢ καὶ θατέρου μόνον, ἐνταῦθ' ἐνδέχεται πολιτείαν εἶναι μόνιμον. οὐθὲν γὰρ φοβερὸν μή ποτε συμφωνήσωσιν οἱ πλούσιοι τοῖς πένησιν ἐπὶ τούτους· οὐδέποτε γὰρ ἅτεροι βουλήσονται δουλεύειν τοῖς ἑτέροις, κοινοτέραν δ' ἂν ζητῶσιν, οὐδεμίαν εὑρήσουσιν ἄλλην ταύτης. ἐν μέρει γὰρ ἄρχειν οὐκ ἂν ὑπομείνειαν διὰ τὴν ἀπιστίαν τὴν πρὸς ἀλλήλους. πανταχοῦ δὲ πιστότατος ὁ διαιτητής, διαιτητὴς δ' ὁ μέσος. ὅσῳ δ'

ich so, dass oft der Fall gar wohl eintreten kann, dass anstatt einer an sich vorzüglicheren Verfassung manchen Völkern vielmehr eine andere Verfassung nützlicher ist.

Kap. X.

1. Das Weitere zunächst dem Gesagten ist nun, das Verhältniss zu ermitteln, nach welchem die Beschaffenheit der einzelnen Verfassungen der Beschaffenheit der Menschen, welche sich derselben bedienen sollen, zusagt. Hier müssen wir nun zunächst einen für alle geltenden allgemeinen Satz aufstellen: es muss nämlich der für den Bestand der Verfassung gesinnte Theil des Staats stärker sein, als der nicht dafür gesinnte. Nun besteht aber jeder Staat aus den Kategorieen der Quantität und Qualität. Unter Qualität begreife ich Freiheit, Reichthum, Bildung, edle Geburt, unter Quantität das Ueberwiegen der Menge.

2. Nun ist es möglich, dass sich auf Seiten des einen der Theile, aus welchen der Staat besteht, die Qualität befindet, auf Seiten eines andern aber die Quantität, z. B. dass die Zahl der Gemeinen grösser ist, als die der Edeln, oder die der Armen, als die der Reichen, jedoch so, dass sie quantitativ nicht in dem Maasse überwiegen, wie sie qualitativ zurückstehen. Deshalb ist Beides gegeneinander abzuwiegen und mit einander zu verbinden. Wo nun also die Masse der Armen nach dem angegebenen Verhältnisse das Uebergewicht hat, da ist natürliche Anlage zur Demokratie, und zwar zu jeder einzelnen Art der Demokratie, je nach dem Ueberwiegen dieser oder jener Klasse des Volks; z. B. wenn die ackerbauende Masse überwiegt, so ist Anlage zur besten Demokratie, überwiegt dagegen die Masse der Handarbeiter und Taglöhner, Anlage zur schlechtesten Demokratie vorhanden. Ebenso verhält sich's mit den zwischen beiden inne liegenden Klassen und Demokratieen.

3. Wo aber die Klasse der Reichen und Angesehenen an Qualität ein grösseres Uebergewicht hat, als sie an Quantität zurücksteht, da bildet sich naturgemäss Oligarchie, und zwar auf eben dieselbe Weise gerade die Art der Oligarchie, welche dem jedesmaligen Grade des Uebergewichts der oligarchischen Klasse entspricht. In allen Fällen aber muss der Gesetzgeber in seiner Verfassung den Mittelstand hinzunehmen; macht er die Gesetze oligarchisch, so muss er dabei den Mittelstand berücksichtigen, macht er sie demokratisch, so muss er sich dieselben für seine Gesetze gewinnen.

4. Wo aber die Masse des Mittelstandes entweder über beide Extreme oder auch nur über das eine von beiden das Uebergewicht hat, da ist allein eine dauerhafte republikanische Verfassung möglich. Denn das ist gar nicht zu befürchten, dass jemals die Reichen mit den Armen gegen sie conspiriren sollten; denn keiner von beiden Ständen wird je Lust haben, der Sklave des andern zu sein; und gesetzt, sie strebten nach einer Verfassung, die ihnen mehr gemeinschaftliche Rechte gäbe, so werden sie keine andere als diese finden. Denn in eine abwechselnde Herrschaft werden sie gewiss nicht willigen; dazu hegen sie zu grosses Misstrauen gegeneinander. Ueberall aber geniesst der Schieds-

κωλύσει] κωλύει I^b. —

Cap. X. §. 2. πρὸς ἄλληλα] πρὸςάλληλα A 1. 2. B 2. 3. Cam. Lut. et sic tacite Goettl.; Camerar. p. 165. dicit: *vel ὑφὲν vel etiam κατὰ διαστολὴν legi potest istud* προςάλληλα. — ἀναλογίαν] ἀπολογίαν Q^b. — εἶναι δημοκρατίαν] post δημοκρατίαν margo I^b. εἴπερ γὰρ οἱ γεωργοὶ ὑπερέχουσι, γίνεται ἡ τῶν γεωργῶν δημοκρατία Bekker.; ineptum hoc additamentum est etiam in Vict. 2. Zw. Conr., in quibus tamen οἱ ante γεωργοὶ omissum est, quod abesse dicit G. etiam a P 2.; Sylburgius (et Casaub.) ea verba [ ], cum in A 2. non invenisset. — τὴν πρώτην δημοκρατίαν] τὴν εἰρημένην ἀναλογίαν, ἐνταῦθα πέφυκεν εἶναι δημοκρατίαν I^b. P 2. —

§. 3. μᾶλλον ὑπερτείνει] μᾶλλον om. I^b. Q^b. V^b. A 1. B 2. B. 3. Inserendam esse particulam primus vidit Camerar. — ἐνταῦθα δὲ] δὲ om. P 1. — προςάγεσθαι τοῖς νόμοις τούτους] brevius Aretin.: *respicere hos debet.* —

§. 4. ἢ καὶ θατέρου] καὶ om. Q^b. V^b. — ἐνταῦθ' ἐνδέχεται] ἐνταῦθα δ' ἐνδέχεται I^b. — πολιτείαν εἶναι μόνιμον] In P 1. litura est, sed ita, ut quid scripserit Demetrius dignosci nequeat. Fortasse voluit νόμιμον, quod *legalem* vertit vetus interpres. In margine legitur μόνιμον. Goettl. — ἐπὶ τούτους] ἐπὶ τούτῳ P 1. — οὐδεμίαν] οὐδὲ μίαν A 1. 2. B 2. 3. Lut. Cas. Vict. 2. Zw. G. — ὅσῳ δ' ἂν ἄμεινον] ὅσῳ γὰρ ἂν ἄμεινον Vet.; Victorius: *multi* (inquit) *non tamquam scriptum foret* quanto melius *sed* quanto magis *interpretantur.* —

ἂν ἄμεινον ἡ πολιτεία μιχθῇ, τοσούτῳ μονιμωτέρα.

5. Διαμαρτάνουσι δὲ πολλοὶ καὶ τῶν τὰς ἀριστοκρατικὰς βουλομένων ποιεῖν πολιτείας, οὐ μόνον ἐν τῷ πλεῖον νέμειν τοῖς εὐπόροις, ἀλλὰ καὶ ἐν τῷ παρακρούεσθαι τὸν δῆμον. ἀνάγκη γὰρ χρόνῳ ποτὲ ἐκ τῶν ψευδῶν ἀγαθῶν ἀληθὲς συμβῆναι κακόν· αἱ γὰρ πλεονεξίαι τῶν πλουσίων ἀπολλύουσι μᾶλλον τὴν πολιτείαν ἢ αἱ τοῦ δήμου.

Cap. 13. Bkk. 6. Ἔστι δ' ὅσα προφάσεως χάριν ἐν ταῖς πολιτείαις σοφίζονται πρὸς τὸν δῆμον πέντε τὸν ἀριθμόν, περὶ ἐκκλησίαν, περὶ τὰς ἀρχάς, περὶ δικαστήρια, περὶ ὅπλισιν, περὶ γυμνασίαν. περὶ ἐκκλησίαν μὲν τὸ ἐξεῖναι ἐκκλησιάζειν πᾶσι, ζημίαν δὲ ἐπικεῖσθαι τοῖς εὐπόροις ἐὰν μὴ ἐκκλησιάζωσιν, ἢ μόνοις ἢ μείζω πολλῷ. περὶ δὲ τὰς ἀρχὰς τὸ τοῖς μὲν ἔχουσι τίμημα μὴ ἐξεῖναι ἐξόμνυσθαι, τοῖς δ' ἀπόροις ἐξεῖναι. καὶ περὶ τὰ δικαστήρια τοῖς μὲν εὐπόροις εἶναι ζημίαν ἂν μὴ δικάζωσι, τοῖς δ' ἀπόροις ἄδειαν, ἢ τοῖς μὲν μεγάλην, τοῖς δὲ μικράν, ὥσπερ ἐν τοῖς Χαρώνδου νόμοις.

7. Ἐνιαχοῦ δ' ἔξεστι μὲν πᾶσιν ἀπογραψαμένοις ἐκκλησιάζειν καὶ δικάζειν, ἐὰν δὲ ἀπογραψάμενοι μήτ' ἐκκλησιάζωσι μήτε δικάζωσιν, ἐπίκεινται μεγάλαι ζημίαι τούτοις, ἵνα διὰ μὲν τὴν ζημίαν φεύγωσι τὸ ἀπογράφεσθαι, διὰ δὲ τὸ μὴ ἀπογράφεσθαι μὴ δικάζωσι μηδ' ἐκκλησιάζωσιν. τὸν αὐτὸν δὲ τρόπον καὶ περὶ τοῦ ὅπλα κεκτῆσθαι καὶ τοῦ γυμνάζεσθαι νομοθετοῦσιν· τοῖς μὲν γὰρ ἀπόροις ἔξεστι μὴ κεκτῆσθαι, τοῖς δ' εὐπόροις ἐπιζήμιον μὴ κεκτημένοις· κἂν μὴ γυμνάζωνται, τοῖς μὲν οὐδεμία ζημία, τοῖς δ' εὐπόροις ἐπιζήμιον, ὅπως οἱ μὲν διὰ τὴν ζημίαν μετέχωσιν, οἱ δὲ διὰ τὸ μὴ φοβεῖσθαι μὴ μετέχωσιν. ταῦτα μὲν οὖν ὀλιγαρχικὰ σοφίσματα τῆς νομοθεσίας.

8. Ἐν δὲ ταῖς δημοκρατίαις πρὸς ταῦτ' ἀντισοφίζονται· τοῖς μὲν γὰρ ἀπόροις μισθὸν πορίζουσιν ἐκκλησιάζουσι καὶ δικάζουσιν, τοῖς δ' εὐπόροις οὐδεμίαν τάττουσι ζημίαν. ὥστε φανερὸν ὅτι εἴ τις βούλεται μιγνύναι δικαίως, δεῖ τὰ παρ' ἑκατέροις συνάγειν καὶ τοῖς μὲν μισθὸν πορίζειν τοῖς δὲ ζημίαν· οὕτω γὰρ ἂν κοινωνοῖεν ἅπαντες, ἐκείνως δ' ἡ πολιτεία γίγνεται τῶν ἑτέρων μόνον. δεῖ δὲ τὴν πολιτείαν εἶναι μὲν ἐκ τῶν τὰ ὅπλα ἐχόντων μόνον· τοῦ δὲ τιμήματος τὸ πλῆθος ἁπλῶς μὲν ὁρισαμένους οὐκ ἔστιν εἰπεῖν τοσοῦτον ὑπάρχειν, ἀλλὰ σκεψαμένους τὸ ποῖον ἐπιβάλλει μακρότατον ὥστε τοὺς μετέχοντας τῆς πολιτείας εἶναι πλείους τῶν μὴ μετεχόντων, τοῦτο τάττειν. ἐθέλουσι γὰρ οἱ πένητες καὶ μὴ μετέχοντες τῶν

richter das meiste Vertrauen; und ein solcher Schiedsrichter ist eben Der, welcher in der Mitte steht. Je besser aber die Verfassung gemischt ist, desto dauerhafter ist sie.

5. Es versehen's aber Viele auch von Denen, welche aristokratische Verfassungen zu machen beabsichtigen, nicht blos darin, dass sie den Reichen zuviel einräumen, sondern auch darin, dass sie das Volk übervortheilen. Denn nothwendig muss mit der Zeit einmal aus dem Scheinguten ein wirklich Uebles hervorgehen; denn die ehr- und habsüchtigen Bestrebungen der Reichen richten die Verfassung eher zu Grunde, als die des Volks.

6. Der Illusionen aber, mit denen man in den Verfassungen das Volk berückt, sind fünf an der Zahl; sie betreffen die Volksversammlung, die Magistraturen, die Gerichte, die Bewaffnung und die Leibesübung. Hinsichtlich der Volksversammlung: dass Alle die Freiheit haben, darin mitzustimmen, dass aber für die Reichen entweder allein, oder doch eine bedeutend grössere Strafe darauf steht, wenn sie nicht mitstimmen. Im Betreff der Magistraturen: dass Die, welche einen bestimmten Census haben, sie nicht ablehnen dürfen, wohl aber die Armen. Hinsichtlich der Gerichte: dass für die Reichen Strafe darauf steht, wenn sie sich dem Richteramt entziehen, die Armen dagegen straflos sind, oder dass jene eine grosse, diese dagegen eine kleine Strafe trifft, wie nach Charondas Gesetzen.

7. An manchen Orten hat zwar Jeder, der sich zuvor gemeldet hat, das Recht, an Volksversammlung und Gerichten Theil zu nehmen; wenn sie aber nach solcher Meldung weder das Eine noch das Andere thun, so stehen schwere Strafen darauf, womit man beabsichtigt, durch die Strafe von der Meldung abzuschrecken, durch die Nichtmeldung aber von der Theilnahme an Volksversammlung und Gericht abzuhalten. Aehnliche gesetzliche Bestimmungen herrschen über den Besitz der Waffen und über die Leibesübungen. Die Armen nämlich brauchen keine zu besitzen, für die Reichen dagegen steht Strafe darauf, wenn sie keine besitzen. Und so steht auf Vernachlässigung der Leibesübung für die Einen keine Strafe, während die Andern dafür bestraft werden, wobei die Absicht ist, diese durch die Strafe zur Gymnastik anzuhalten, jene durch die Straflosigkeit davon abzuhalten. Das sind nun also oligarchische Gesetzgebungskunstgriffe.

8. In den Demokratieen werden nun wieder andere Kunstgriffe dagegen ausgeklügelt. Hier bekommen nämlich die Armen für die Theilnahme an Volksversammlungen und Gerichten Sold, während die Reichen nicht gestraft werden. Offenbar also muss, wer die richtige Mischung treffen will, beide Einrichtungen vereinen, und für die Einen Sold, für die Andern aber Strafe verordnen. Denn nur so wird eine allseitige Theilnahme möglich, während auf jene Art die Verfassung ausschliesslich der einen Partei in die Hände gespielt wird. Zwar sollen freilich die Staatsgewalt nur Die bilden, welche die Waffen haben, dagegen lässt sich im Betreff der Höhe des Census nicht so schlechthin bestimmen, so gross müsse sie sein, sondern man muss erwägen, wie hoch sich der äusserste Satz beläuft, bei dem noch die Zahl Derer, welche Theil an der Verfassung haben, grösser ist als Derer, die davon ausgeschlossen sind, und diesen muss man ansetzen. Denn die Armen, wenn sie

§. 5. παρακρούεσθαι] In Zw. notatum est, quosdam legi velle παρακολούεσθαι et sic vertit Lamb.; παρακούεσθαι (*praeteraudiendo*) Vet.; *in excludendo plebem* Aret. — ψευδῶν ἀγαθῶν] ψευδῶς 1b. Vb. A 1. 2. B 2. G. — συμβῆναι] συμβαίνειν tacite Schn. Cor. —

§. 6. ἔστι δ'] ἔτι δ', *adhuc* Vet. — ὅπλισιν] ὅπλησιν A 1. B 2. B 3. — ἐκκλησιάζειν πᾶσι] πᾶσιν ἐκκλησιάζειν P 1. — δικαστήρια, τοῖς μὲν εὐπόροις] articulum τὸ, quem ante τοῖς desiderabat Schneid., addidit Cor. —

§. 7. ἀπογραψαμένοις ἐκκλησιάζειν] δὲ ante ἐκκλησιάζειν legitur in P 4. — τοῖς μὲν οὐδεμία ζημία] καὶ ante τοῖς est in B 3. — ὀλιγαρχικὰ σοφίσματα] τὰ addit ante σοφίσματα 1b. —

§. 8. μισθὸν πορίζειν, τοῖς δὲ ζημίαν] Repete πορίζειν, quod tamen male congruit vocabulo ζημίαν; igitur verbum τάττειν excidisse puto. Schneid. Sed vide ad cp. XI. §. 8. — ἐπιβάλλει μακρότατον] ἐπιβάλλειν legisse videtur Aret., qui sic habet: *sed considerata qualitate adiungatur largissimus.* „Cor. coniecit μικρότατον vel μετριώτατον. Sed σκεψαμένους τὸ ποῖον ἐπιβάλλει μακρότατον est: curent ut in censorias tabulas quam plurimi referantur." Goettl. — ἐπιβάλλει] Aretinus: *sed considerata qualitate adiun-*

τιμῶν ἡσυχίαν ἔχειν, ἐὰν μὴ ὑβρίζῃ τις αὐτοὺς μήτε ἀφαιρῆται μηθὲν τῆς οὐσίας.

9. Ἀλλὰ τοῦτο οὐ ῥᾴδιον· οὐ γὰρ ἀεὶ συμβαίνει χαρίεντας εἶναι τοὺς μετέχοντας τοῦ πολιτεύματος. καὶ εἰώθασι δέ, ὅταν πόλεμος ᾖ, ὀκνεῖν, ἂν μὴ λαμβάνωσι τροφήν, ἄποροι δὲ ὦσιν· ἐὰν δὲ πορίζῃ τις τροφήν, βούλονται πολεμεῖν. ἔστι δ' ἡ πολιτεία παρ' ἐνίοις οὐ μόνον ἐκ τῶν ὁπλιτευόντων ἀλλὰ καὶ ἐκ τῶν ὡπλιτευκότων· ἐν Μαλιεῦσι δὲ ἡ μὲν πολιτεία ἦν ἐκ τούτων, τὰς δὲ ἀρχὰς ᾑροῦντο ἐκ τῶν στρατευομένων. καὶ ἡ πρώτη δὲ πολιτεία ἐν τοῖς Ἕλλησιν ἐγένετο μετὰ τὰς βασιλείας ἐκ τῶν πολεμούντων, ἡ μὲν ἐξ ἀρχῆς ἐκ τῶν ἱππέων (τὴν γὰρ ἰσχὺν καὶ τὴν ὑπεροχὴν ἐν τοῖς ἱππεῦσιν ὁ πόλεμος εἶχεν· ἄνευ μὲν γὰρ συντάξεως ἄχρηστον τὸ ὁπλιτικόν, αἱ δὲ περὶ τῶν τοιούτων ἐμπειρίαι καὶ τάξεις ἐν τοῖς ἀρχαίοις οὐχ ὑπῆρχον, ὥστ' ἐν τοῖς ἱππεῦσιν εἶναι τὴν ἰσχύν), αὐξανομένων δὲ τῶν πόλεων καὶ τῶν ἐν τοῖς ὅπλοις ἰσχυσάντων μᾶλλον πλείους μετεῖχον τῆς πολιτείας. διόπερ ἃς νῦν καλοῦμεν πολιτείας, οἱ πρότερον ἐκάλουν δημοκρατίας.

10. Ἦσαν δὲ αἱ ἀρχαῖαι πολιτεῖαι εὐλόγως ὀλιγαρχικαὶ καὶ βασιλικαί· δι' ὀλιγανθρωπίαν γὰρ οὐκ εἶχον πολὺ τὸ μέσον, ὥστ' ὀλίγοι τε ὄντες τὸ πλῆθος καὶ κατὰ τὴν σύνταξιν μᾶλλον ὑπέμενον τὸ ἄρχεσθαι. διὰ τίνα μὲν οὖν εἰσὶν αἰτίαν αἱ πολιτεῖαι πλείους, καὶ διὰ τί παρὰ τὰς λεγομένας ἕτεραι (δημοκρατία τε γὰρ οὐ μία τὸν ἀριθμόν ἐστι, καὶ τῶν ἄλλων ὁμοίως), ἔτι δὲ τίνες αἱ διαφοραὶ καὶ διὰ τίνα αἰτίαν συμβαίνει, πρὸς δὲ τούτοις τίς ἀρίστη τῶν πολιτειῶν ὡς ἐπὶ τὸ πλεῖστον εἰπεῖν, καὶ τῶν ἄλλων ποία ποίοις ἁρμόττει τῶν πολιτειῶν, εἴρηται.

CAP. XI.

Cap.14. Bkk. 1. Πάλιν δὲ καὶ κοινῇ καὶ χωρὶς περὶ ἑκάστης λέγωμεν περὶ τῶν ἐφεξῆς, λαβόντες ἀρχὴν τὴν προσήκουσαν αὐτῶν. ἔστι δὴ τρία μόρια τῶν πολιτειῶν πασῶν, περὶ ὧν δεῖ θεωρεῖν τὸν σπουδαῖον νομοθέτην ἑκάστῃ τὸ συμφέρον· ὧν

an den Staatswürden keinen Antheil haben, halten gern Ruhe, wenn man sie nur nicht übermüthig behandelt oder ihnen ihr Eigenthum schmälert.

9. Allein das ist nicht so leicht. Denn nicht immer sind Die, welche am Ruder sind, humane und gebildete Leute. Daher pflegen denn auch die Armen, wenn Krieg ausbricht, ihren Dienst zu weigern, wenn sie trotz ihrer Armuth keinen Unterhalt bekommen; giebt man ihnen aber Unterhalt, so ziehen sie gern ins Feld. Einiger Orten bilden den Stock des Staats nicht blos die zum schweren Waffendienste Fähigen, sondern auch Die, welche ausgedient haben. So war es bei den Maliensern, nur dass sie die Obrigkeiten aus den noch Waffenfähigen wählten. Ja die erste Verfassung bei den Hellenen nach Abschaffung des Königthums bildete sich aus den Kriegern, und zwar zu Anfang aus den Rittern (denn damals bestand im Kriege die Stärke und Uebermacht in der Reiterei; ohne Taktik ist nämlich schweres Fussvolk zu nichts nütze; den alten Zeiten fehlte es nun aber an allen dergleichen Kenntnissen und taktischen Regeln, so dass also die Reiterei nothwendig die Hauptstärke ausmachte); als aber die Staaten grösser wurden, und das schwere Fussvolk mehr Bedeutung gewann, stieg auch die Zahl Derer, welche an der Verfassung Theil nahmen. Was wir daher jetzt Republiken nennen, nannten die Alten Demokratieen.

10. Dass aber die alten Verfassungen oligarchisch und königlich waren, hat seinen guten Grund. Die Bevölkerung war gering, der Mittelstand also nicht zahlreich; unbedeutend also sowohl als Volksmasse, als auch hinsichtlich der militärischen Organisation, liessen sie es sich leichter gefallen, beherrscht zu werden. — Warum es also mehrere Verfassungen giebt, und zwar mehrere noch, als es Namen derselben giebt (denn es giebt nicht blos eine einzige Demokratie u. s. f), ferner welches die Unterschiede sind, und wodurch diese entstehen, dazu welches im Ganzen genommen die beste Verfassung ist, und wie die Beschaffenheit der übrigen Verfassungen je für die Beschaffenheit der Menschen passt, welche sich derselben bedienen sollen, ist gesagt.

Kap. XI.

1. Wir wollen jetzt sowohl allgemein als von jeder im Besondern über die folgenden Punkte sprechen, nachdem wir den dazu passenden Ausgangspunkt gewonnen haben. Es sind bekanntlich drei Stücke in allen Verfassungen, hinsichtlich deren der gute Gesetzgeber wohl in Betrachtung ziehen muss, was jeder einzelnen

---

gatur largissimus. Legit igitur ἐπιβάλλειν. — ὑβρίζῃ τις] τι pro τις V^b. — μήτε ἀφαιρῆται] Coraës μηδέ. Sed vide Hermanni censuram Med. Elmslei. p. 333. p. 401 ed. Lips. Goettl. cfr. Herm. ad Soph. Antig. 542. ad Oed. Col. 1299. Reisig. Coniectaneor. in Arist. I, VI. p. 189. Matth. gr. gr. p. 1224. Cfr. quae disputavimus ad IV, cp. 5, §. 5. —

§. 9. τοὺς μετέχοντας] τοὺς μὴ μετέχοντας Q^b. V^b. — ὅταν πόλεμος ᾖ, ὀκνεῖν] pro ὀκνεῖν expressit κινεῖν (movere) Vet. et sic habet P1., cuius tamen in marg. est ὀκνεῖν. — ἔστι δ' ἡ] ἔστι γὰρ ἡ (ων) Vet. — οὐ μόνον] οὐ μόνον P2. Aret. hic μόνον et paullo post καὶ ante ἐκ om. — ἐγένετο] ἐγίνετο P1. — μετὰ τὰς βασιλείας] τὰς om. Q^b. —

§. 10. ἦσαν δὲ] γὰρ pro δὲ expressit Aret. — αἱ ἀρχαῖαι] αἱ ἀρχαὶ Q^b. V^b. A1. 2. B2.; καὶ ἀρχαῖαι „erant autem et antiquae" Vet. — καὶ κατὰ τὴν σύνταξιν] Suspicatur Schneid. (p. 262 et p. 487), post σύνταξιν excidisse vocabulum, veluti ἀσθενεῖς, quod priori membro ὀλίγοι τε ὄντες τὸ πλῆθος respondeat. Frustra. „πλῆθος est populus; σύνταξις acies militaris. Cfr. Polyb. II, 3. οἱ δὴ Ἰλλυριοὶ τοὺς μὲν ἐλαφροὺς ἐξ ἐφόδου προσπεσόντες, τῷ τε πλήθει καὶ τῷ βάρει τῆς συντάξεως ἐξέωσαν." Goettl. — λεγομένας ἕτεραι] λεγ. ἑτέρα V^b., ἑτέρας I^b. — δημοκρατία τε] τὸ pro τε V^b. — καὶ τῶν ἄλλων ὁμοίως] nam aliarum similiter Aret.; ἑκάστη post ἄλλων excidisse suspicatur Schn. — τῶν ἄλλων ποία] ποία Bekk. et Goettl. tacite. Sed ποῖα A1.2. B2.3. Vict. Zw.; pluralem etiam interpretatione expressit Victorius, singularem primus restituit Lamb. tacite, quem secuti sunt recentiores editores. — ποίοις ἁρμόττει] ἁρμόττει ποίοις Q^b., omisit ποίοις V^b. —

Cap. XI. §. 1. πάλιν δὲ καὶ κοινῇ] καὶ om. tacite Goettl. et abest etiam ab A1.2. B2.3. Lut. — λέγωμεν] λέγομεν Q^b. V^b. — περὶ τῶν ἐφεξῆς] Sylb. ἐπὶ τῶν ἐφ. malebat, quod probatur Conringio. Sed is cum plerisque interpretibus a sensu verbor. aberravit, deceptus vulgari distinctione. Comma enim post λέγωμεν ponendum et verba περὶ τῶν ἐφεξῆς copulanda cum sequentibus λαβόντες κτλ. atque ita locum distinctum habet Aldina [et B2.3. Lut. G.]. Recte igitur Aret. (dicemus, eorum quae posthaec sequuntur convenienti sumto principio) et Ram. locum sunt interpretati. Haec scripseram, antequam inspexissem Veterem Interpr. Ecce autem hic ita: *Rursus autem cum dixerimus et communiter et — dicamus de iis.* Apparet igitur verbum excidisse in libris nostris, et locum ita restituendum esse ut feci, inserto participio λέξαντες post πάλιν δέ. Schneid. πάλιν δὲ λέξαντες cum Schn. edid. Cor. Sed iam ante utrumque idem viderant editores B3., in qua participium εἰπόντες addit. est post περὶ ἑκάστης. —

ἐχόντων καλῶς ἀνάγκη τὴν πολιτείαν ἔχειν καλῶς, καὶ τὰς πολιτείας ἀλλήλων διαφέρειν ἐν τῷ διαφέρειν ἕκαστον τούτων. ἔστι δὲ τῶν τριῶν τούτων ἓν μέν τι τὸ βουλευόμενον περὶ τῶν κοινῶν, δεύτερον δὲ τὸ περὶ τὰς ἀρχάς (τοῦτο δ' ἐστὶν ἃς δεῖ καὶ τίνων εἶναι κυρίας, καὶ ποίαν τινὰ δεῖ γίγνεσθαι τὴν αἵρεσιν αὐτῶν), τρίτον δέ τι τὸ δικάζον. κύριον δ' ἐστὶ τὸ βουλευόμενον περὶ πολέμου καὶ εἰρήνης καὶ συμμαχίας καὶ διαλύσεως, καὶ περὶ νόμων, καὶ περὶ θανάτου καὶ φυγῆς καὶ δημεύσεως, καὶ τῶν εὐθυνῶν.

2. Ἀναγκαῖον δ' ἤτοι πᾶσι τοῖς πολίταις ἀποδεδόσθαι πάσας ταύτας τὰς κρίσεις ἢ τισὶ πάσας (οἷον ἀρχῇ τινὶ μιᾷ ἢ πλείοσιν, ἢ ἑτέραις ἑτέρας), ἢ τινὰς μὲν αὐτῶν πᾶσι τινὰς δὲ τισίν. τὸ μὲν οὖν πάντας καὶ περὶ ἁπάντων δημοτικόν· τὴν τοιαύτην γὰρ ἰσότητα ζητεῖ ὁ δῆμος.

3. Εἰσὶ δὲ οἱ τρόποι τοῦ πάντας πλείους, εἷς μὲν τὸ κατὰ μέρος ἀλλὰ μὴ πάντας ἀθρόους, ὥσπερ ἐν τῇ πολιτείᾳ τῇ Τηλεκλέους ἐστὶ τοῦ Μιλησίου (καὶ ἐν ἄλλαις δὲ πολιτείαις βουλεύονται αἱ συναρχίαι συνιοῦσαι, εἰς δὲ τὰς ἀρχὰς βαδίζουσι πάντες κατὰ μέρος ἐκ τῶν φυλῶν καὶ τῶν μορίων τῶν ἐλαχίστων παντελῶς, ἕως ἂν διέλθῃ διὰ πάντων), συνιέναι δὲ μόνον περί τε νόμων θέσεως καὶ τῶν περὶ τῆς πολιτείας, καὶ τὰ παραγγελλόμενα ἀκουσομένους ὑπὸ τῶν ἀρχόντων.

4. Ἄλλος δὲ τρόπος τὸ πάντας ἀθρόους, συνιέναι δὲ μόνον πρός τε τὰς ἀρχαιρεσίας αἱρησομένους καὶ πρὸς τὰς νομοθεσίας καὶ περὶ πολέμου καὶ εἰρήνης καὶ πρὸς εὐθύνας, τὰ δ' ἄλλα τὰς ἀρχὰς βουλεύεσθαι τὰς ἐφ' ἑκάστοις τεταγμένας, αἱρετὰς οὔσας ἐξ ἁπάντων ἢ κληρωτάς. ἄλλος δὲ τρόπος τὸ περὶ τὰς ἀρχὰς καὶ τὰς εὐθύνας ἀπαντᾶν [πάντας] τοὺς πολίτας, καὶ περὶ πολέμου βουλευσομένους καὶ συμμαχίας, τὰ δ' ἄλλα τὰς ἀρχὰς διοικεῖν αἱρετὰς οὔσας, ὅσας ἐνδέχεται· τοιαῦται δ' εἰσὶν ὅσας ἄρχειν ἀναγκαῖον τοὺς ἐπισταμένους.

5. Τέταρτος δὲ τρόπος τὸ πάντας περὶ πάντων βουλεύεσθαι συνιόντας, τὰς δ' ἀρχὰς περὶ μηθενὸς κρίνειν ἀλλὰ μόνον προανακρίνειν· ὅνπερ ἡ τελευταία δημοκρατία νῦν διοικεῖται τρόπον, ἣν

frommt, da, wenn es mit diesen gut steht, es nothwendig auch mit der Verfassung gut steht, und der Unterschied der Verfassungen voneinander nothwendig auf der Verschiedenheit eines jeden einzelnen dieser Stücke beruht. Diese drei Stücke sind, erstens der über die öffentlichen Angelegenheiten berathende Theil; zweitens die Obrigkeiten (d. h. was für welche sein, und worüber sie Macht haben sollen, und wie ihre Wahl anzustellen); drittens der richtende Theil. Die höchste Staatsgewalt aber ist in den Händen des Theils, welcher über Krieg und Frieden, über Schliessung und Aufhebung eines Bündnisses, über Gesetze, über Todesstrafe, Verbannung und Vermögenseinziehung und über Rechenschaftsablegung berathschlagt.

2. Die Entscheidungen über alle diese Dinge müssen nun entweder den sämmtlichen Bürgern anvertraut sein, oder nur einigen (wie z. B. entweder einer einzigen bestimmten Magistratur oder mehreren, oder einigen diese, anderen jene), oder aber einige davon allen, andere einigen. Entscheiden Alle über Alles, so ist das demokratisch; denn nach einer solchen Gleichheit strebt die Demokratie.

3. Es giebt aber der Arten und Weisen einer solchen Theilnahme Aller an den Entscheidungen mehrere; die eine ist, wenn Einer nach dem Andern, aber nicht Alle *in corpore*, wie es Telekles von Milet in seiner Verfassung vorschlägt (und so bilden denn auch in andern Verfassungen zwar nur die gesammten Magistraten das berathende Collegium; allein zu den Magistraturen selbst gelangen alle Bürger nach einander je aus den Phylen und aus den allerkleinsten Abtheilungen, bis die Reihe durch Alle hindurchgegangen ist), Alle dagegen nur dann zusammenkommen, wenn es gilt, Gesetze zu geben, oder Veränderungen der Verfassung vorzunehmen, oder die Edikte der Magistraten zu vernehmen.

4. Eine zweite Weise ist, wenn Alle *in corpore* die entscheidende Gewalt haben, aber nur dann zusammenkommen, wenn Magistrate zu wählen, Gesetze zu geben, über Krieg und Frieden zu entscheiden und Rechenschaftsabnahmen zu halten sind, dagegen alles Uebrige von den besonders dazu verordneten Behörden berathen wird, die entweder durch Wahl oder durchs Loos aus der Gesammtheit der Bürger gezogen werden. Eine dritte Weise ist, wenn nur Magistrate zu wählen und Rechenschaft abzunehmen, sowie auch zur Berathung über Krieg und Bündnisse Alle Bürger sich versammeln, während das Uebrige die Magistraten besorgen, welche wo möglich durch Wahl ernannt sein müssen; namentlich solche, deren Geschäftskreis gewisse besondere Kenntnisse verlangt.

5. Die vierte Weise ist, wenn alle Bürger in der Volksversammlung vereint über Alles berathen, die Magistraten aber über nichts zu entscheiden, sondern nur vorher zu begutachten haben. Das ist die Weise, wie

---

μέν τι τὸ βουλευόμενον] τοι pro τι Q^b. V^b. — τοῦτο δ' ἐστὶν ἃς] τοῦ δ' ἐστὶν ἃς A 1., quod vitium jam correct. est in B 2.; δ' om. A 2. Ceterum ne quis scribendum esse credat ἐστὶν τίνας, quod olim placuit propter sequens τίνων, adeat Bernhardy Syntax. VI, 3. p. 291. — τρίτον δέ τι τὸ δικάζον] δέ om. I^b. P 2.; τρίτον δὲ τί τὸ δ. A 1. 2. Cas. et sic tacite Bekk.; τρίτον δὲ τὶ τὸ δ. B 2. Vict. 2. Zw. — καὶ τῶν εὐθυνῶν] ante h. v. in B 3. additum καὶ ἀρχαιρεσιῶν, quod additamentum quum neque in interpretationib. vet. neque in edd. reliq. inveniatur ex libro aliquo ms. sumtum esse videri potest. Et revera in P 4. eodem loco addita sunt haec: καὶ περὶ ἀρχῶν αἱρέσεως, quae ab Aristotele addi potuisse propter ea, quae paullo ante dicta sunt, recte negat Goettl. —

§. 2. πάσας ταύτας] πάσας om. Lamb. Sylb. Cas. Conr. — ἢ τισὶ πάσας] πάσας om. Aret. — οἷον ἀρχῇ] ἢ ἀρχῇ Codex Camerarii Q^b. V^b.; οἷον ἀρχὴ vitiose A 1. Ceterum haec verba οἷον ἀρχῇ usque ad ἑτέρας perspicuitatis causa ( ) inclusimus. — ἢ πλείοσιν] ante haec verba colon positum est in Schn. G. Cor., in reliquis, ut in A 1. 2. B 2. 3. Vict. 2. Zw. Cas. Sylb., comma. — ἢ ἑτέραις ἑτέρας] ἢ ἑτέροις ἑτέρας (nisi calami vel typothet. vitium subest) ex vet. libro ms. legi vult Cam. idque receper. Sylb. Schn. Cor.; ἑτέραις ἢ ἑτέρας (omissa particula disiunctiva ante ἑτέραις) A 1. 2. B 2. Denique Goettl. de coniectura edidit ἢ πλείοσι, ἑτέραις ἑτέρας. —

§. 3. τῇ Τηλεκλέους] τοῦ post τῇ add. A 1. 2. B 2. B 3. Lut. — συνιέναι δὲ μόνον] post μόνον Aret. addit: „*populares*". Ad συνιέναι Camerar. sententiae perficiendae causa verbum finitum extrinsecus assumendum esse censet. Non recte! Verum vidit Schneiderus. — καὶ τῶν περὶ τῆς πολιτείας] possis etiam transponere καὶ περὶ τῶν τ. π. SYLBURG. Et sic edidit cum Vet. et Aret. Schn, quem secutus est Cor. —

§. 4. ἐξ ἁπάντων ἢ κληρωτάς] καὶ pro ἢ V^b. — ἀπαντᾶν τοὺς πολίτας] Persuasum habeo antiquitus scriptum exstitisse ἀπαντᾶν πάντας τοὺς πολίτας. Etenim πάντας ut abesse vix potest, ita facillime potuit omitti propter verbi proximi simillimum sonum. — ὅσας ἐνδέχεται] Schneiderus, cui ad concinnitatem et sententiae veritatem aliquid deesse videbatur, legi volebat: ὅσας οὐκ ἐνδέχεται κληρωτάς. Simile quiddam in mentem venerat Schlossero. — τοιαῦται] τοιαῦτα V^b. —

§. 5. διοικεῖται] διοικεῖσαι A 1., quod vitium fideliter servatum est in B 2.

ἀνάλογόν φαμεν εἶναι ὀλιγαρχίᾳ τε δυναστευτικῇ καὶ μοναρχίᾳ τυραννικῇ. οὗτοι μὲν οὖν οἱ τρόποι δημοκρατικοὶ πάντες.

6. Τὸ δὲ τινὰς περὶ πάντων ὀλιγαρχικόν. ἔχει δὲ καὶ τοῦτο διαφορὰς πλείους. ὅταν μὲν γὰρ ἀπὸ τιμημάτων μετριωτέρων αἱρετοί τε ὦσι καὶ πλείους διὰ τὴν μετριότητα τοῦ τιμήματος, καὶ περὶ ὧν ὁ νόμος ἀπαγορεύει μὴ κινῶσιν ἀλλ' ἀκολουθῶσι, καὶ ἐξῇ κτωμένῳ τὸ τίμημα μετέχειν, ὀλιγαρχία μὲν πολιτικὴ δ' ἐστὶν ἡ τοιαύτη διὰ τὸ μετριάζειν· ὅταν δὲ μὴ πάντες τοῦ βουλεύεσθαι μετέχωσιν ἀλλ' αἱρετοί, κατὰ νόμον δ' ἄρχωσιν, ὥςπερ καὶ πρότερον ὀλιγαρχικόν. ὅταν δὲ καὶ αἱρῶνται αὐτοὶ αὑτοὺς οἱ κύριοι τοῦ βουλεύεσθαι, καὶ ὅταν παῖς ἀντὶ πατρὸς εἰςίῃ καὶ κύριοι τῶν νόμων ὦσιν, ὀλιγαρχικὴν ἀναγκαῖον εἶναι τὴν τάξιν ταύτην.

7. Ὅταν δὲ τινῶν τινές, οἷον πολέμου μὲν καὶ εἰρήνης καὶ εὐθυνῶν πάντες, τῶν δὲ ἄλλων ἄρχοντες, καὶ οὗτοι αἱρετοὶ ἢ κληρωτοί, ἀριστοκρατία μὲν ἡ πολιτεία· ἐὰν δ' ἐνίων μὲν αἱρετοὶ ἐνίων δὲ κληρωτοί, (καὶ κληρωτοὶ ἢ ἁπλῶς ἢ ἐκ προκρίτων) ἢ κοινῇ αἱρετοὶ καὶ κληρωτοί, τὰ μὲν πολιτείας ἀριστοκρατικῆς ἐστὶ τούτων, τὰ δὲ πολιτείας αὐτῆς. διῄρηται μὲν οὖν τὸ βουλευόμενον πρὸς τὰς πολιτείας τοῦτον τὸν τρόπον, καὶ διοικεῖ ἑκάστη πολιτεία κατὰ τὸν εἰρημένον διορισμόν.

8. *Συμφέρει* δὲ δημοκρατίᾳ τε τῇ μάλιστ' εἶναι δοκούσῃ δημοκρατίᾳ νῦν (λέγω δὲ τοιαύτην ἐν ᾗ κύριος ὁ δῆμος καὶ τῶν νόμων ἐστίν) πρὸς τὸ βουλεύεσθαι βέλτιον τὸ αὐτὸ ποιεῖν ὅπερ ἐπὶ τῶν

jetzt die äusserste Demokratie verwaltet wird, welche wir der dynastischen Oligarchie und der tyrannischen Monarchie für entsprechend halten. Das sind also, wie gesagt, lauter demokratische Weisen.

6. Oligarchisch dagegen ist es, wenn Einige über Alles berathen. Allein auch hier sind noch mehrere Verschiedenheiten. Denn wenn z. B. diese Einigen nach einem mässigen Census gewählt werden, und ihre Anzahl eben wegen dieses mässigen Census eine grössere ist, und wenn sie sich keine Aenderungen gesetzlicher Bestimmungen erlauben, sondern denselben Folge leisten, wenn ferner die Erwerbung des Census Anspruch zur Theilnahme an der Staatsverwaltung gewährt, so ist das zwar eine Oligarchie, aber es ist eine republikanische, weil sie das Maass beobachtet. Wenn dagegen nicht Alle an der Berathung Theil haben, sondern nur Auserwählte, übrigens aber ihre Herrschaft in den Schranken des Gesetzes bleibt, so ist die Regierungsform in der Weise wie zuvor oligarchisch. Wenn aber Die, in deren Händen die Berathung der öffentlichen Angelegenheiten liegt, sich selbst erwählen, oder wenn der Sohn in die Stelle des Vaters eintritt, und ihre Gewalt sich auch über die Gesetze erstreckt, so ist diese Verfassung nothwendig oligarchisch.

7. Wenn dagegen gewisse bestimmte Gegenstände auch der Berathung gewisser bestimmter Personen zufallen, wie z. B. wenn über Krieg und Frieden und Rechenschaftsablegung Alle, über alles Andre aber Magistraten, und zwar entweder durch Wahl oder durchs Loos ernannte berathen, so ist die Verfassung Aristokratie. Berathen aber über einige Dinge erwählte, über andere erloosete Magistraten — und erlooset können sie sein entweder aus Allen ohne Unterschied, oder aus solchen, die vorher dazu ausgewählt sind, — oder erwählte und erloosete gemeinschaftlich, so ist die Verfassung halb aristokratisch-republikanisch, halb eigentlich republikanisch. Dies sind also je nach den verschiedenen Verfassungen die verschiedenen Stellungen des berathenden Theils, und jede Verfassung richtet sich in ihrer Verwaltung nach dem angegebenen Unterschiede.

8. Es wäre aber vortheilhaft auch für die Demokratie, welche gegenwärtig diesen Namen vorzugsweise führt (ich meine die, in welcher das Volk souveräne Macht auch über die Gesetze hat), wenn sie zur Verbesserung der Berathungen eine Einrichtung der Olig-

---

§ 6. *ὥςπερ καὶ πρότερον*] Bekkerus, qui comma posuit post *πρότερον*, Lambinum secutus est, qui haec verba ad *κατὰ νόμον ἄρχ.* retulit. Rectius Victorius (p. 388. Zw.) et Schneid. ea cum sequente *ὀλιγαρχικόν* coniungunt. Goettl. et ante *ὥςπερ* et post *πρότερον* comma posuit. — *ὀλιγαρχικὴν ἀναγκαῖον τὴν τάξιν*] Equidem memor eorum quae supra cp. V. ab initio dicta fuerant, exspectabam *δυναστείαν* vel *δυναστευτικὴν τάξιν*. SCHNEID. *ὀλιγαρχικωτάτην* coni. Cor., comparativum expressit Garve. —

§. 7. *ὅταν δὲ τινῶν τινές*] Inculcatum est hoc *τινές* et inducendum, astipulante et interpretatione latina et postulante huius loci sententia. CAMER. Cum Camerar. Sylb. et Conringio seclusi *τινὲς* quod alienum in locum nescio quo casu immigravit. Camerarius nescio quam versionem latinam emendationis huius cognitorem laudet. Aretinus quidem reddidit *τινές*, sed Vet. omisit. SCHN. delevit pronomen etiam Cor., restituerunt Goettl. et Bekk. e libris mss. et edd. vett. omnibus. — *πολέμου μὲν καὶ εἰρήνης*] *π. μὲν καὶ ὑπὲρ εἰρήνης* Q^{b}. V^{b}. A 1. 2. B 2. B 3. Schn. Goettl. *μὲν ὑπὲρ εἰρ.* I^{b}. — *ἀριστοκρατία μὲν ἡ πολιτεία*] *μὲν* om. I^{b}. *ἀριστοκρατία, ἣ πολιτεία* P 2. 3. 4. I^{b}. Q^{b}. V^{b}. (sed in Q^{b}. V^{b}. *μὲν* legitur quod abest ab I^{b}.) et sic editum est in A 1. 2. B 2. B 3. G. *ἀριστοκρ. μέν ἐστιν ἣ πολιτεία* Vict. 2. Zw. Giph. Ram. Conr. Schn. Cor. *ἀριστ. μέν ἐστι* [*ἡ*] *πολιτεία* Sylb. (addens: demonstrativum articulum *ἡ* probare cum Cam. etiam Lambini versionem). Verum primus vidit Camerar. pag. 168. idemque expressit Lamb. et Goettling. quoque scripturam nostram, in P 1. inventam prae ceteris probandam esse censuit. — *τὰ δὲ πολιτείας αὐτῆς*] *αὐτοῖς* A 1. 2. Sed hoc vitium iam correxerunt editores B 2. et Camerar., qui p. 168. *αὐτοῖς* (inquit) non extat in vetere libro et fortasse vèrum sit *αὐτῆς*. — *τὸ βουλευόμενον*] *τὸ βουόμενον* prave A 1., *βουλόμενον* B 2. — *πρὸς τὰς πολιτείας*] *pro natura rerumpublicarum* Aret. — *καὶ διοικεῖ*] *διοικεῖται* Vet. (*disponitur*) Aret. B 3. Lamb. Victor. Lut. Sylb. Conr. Cas. Schn. Cor.; Camerar. p. 169. „*διοικεῖται* esset aptius et fortasse pro illo hoc exaratum est, nisi *ἐλλειπτικῶς* istud dicitur, ut: tum prora avertit. Singulae, inquit, resp. administrantur secundum expositam distinctionem.“ —

§. 8. *δημοκρατίᾳ τε*] *τε*, quod supervacaneum dixerat Schn., delevit Cor., *δημοκρατία* omisso iota subscr. A 1. — *δημοκρατίᾳ νῦν*] *τῇ* ante *νῦν* ex Vet. addidit Schn. — *πρὸς τὸ βουλεύεσθαι βέλτιον τὸ αὐτὸ ποιεῖν*] Codices et edd. veteres omnes habent *τε αὐτό*. Correctionis laus debetur Schneidero. Qui quum in Commentar. p. 265 sqq. Aretini interpretatione ductus scripturam hanc proposuisset: *πρὸς τὸ βουλεύεσθαι βέλτιόν τε, τὸ αὐτὸ ποιεῖν καὶ περὶ τὰς ἐκκλησίας, ὅπερ ἐπὶ τῶν δικαστηρίων ἐν ταῖς ὀλιγαρχίαις*, in Addend. p. 488. „*Pudet me nunc* (inquit) *obsequii, quod editionibus vulgaribus praestiti, quod ipsum me a recta deinceps via emendandi deduxit. In vulgata enim nihil mutandum est praeter scripturam* *πρὸς τὸ βουλεύεσθαι βέλτιόν τε αὐτό.* *Simpliciter scribendum erat:* *πρὸς τὸ βουλεύεσθαι βέλτιον, τὸ αὐτὸ ποιεῖν ὅπερ.* — *Manifesto scripturam hanc reddidit* Vet.: ad consiliari melius quod ipsum facere, quod quidem in praetoriis in oligarchiis. *Quamquam Editio* Thomae *habeat:* meliusque ipsum, *quasi* *τὸ αὐτὸ* significet *τὸ βουλεύεσθαι.* *Et verba* *τοῦτο δὲ καὶ — ποιεῖν* *apertissime demonstrant,*

δικαστηρίων ἐν ταῖς ὀλιγαρχίαις (τάττουσι γὰρ ζημίαν τούτοις οὓς βούλονται δικάζειν, ἵνα δικάζωσιν, οἱ δὲ δημοτικοὶ μισθὸν τοῖς ἀπόροις), τοῦτο δὲ καὶ περὶ τὰς ἐκκλησίας ποιεῖν· βουλεύσονται γὰρ βέλτιον κοινῇ βουλευόμενοι πάντες, ὁ μὲν δῆμος μετὰ τῶν γνωρίμων, οὗτοι δὲ μετὰ τοῦ πλήθους. συμφέρει δὲ καὶ τὸ αἱρετοὺς εἶναι τοὺς βουλευομένους ἢ κληρωτοὺς ἴσως ἐκ τῶν μορίων. συμφέρει δὲ κἂν ὑπερβάλλωσι πολὺ κατὰ τὸ πλῆθος οἱ δημοτικοὶ τῶν πολιτικῶν, ἢ μὴ πᾶσι διδόναι μισθόν, ἀλλ' ὅσοι σύμμετροι πρὸς τὸ τῶν γνωρίμων πλῆθος, ἢ ἀποκληροῦν τοὺς πλείους.

archieen im Betreff der Gerichtshöfe einführte (dort stehen nämlich für Diejenigen, welche nach dem Geiste der Verfassung Richter sein sollen, Strafen darauf, um sie zur Verrichtung dieser Funktion anzuhalten, während die Demokraten den Armen dafür Sold bestimmen), wenn sie, sage ich, diese Einrichtung auch für die Volksversammlungen einführte. Denn die Berathung wird offenbar besser von Statten gehen, wenn Alle gemeinschaftlich sich dazu vereinigen, das Volk mit den Vornehmen und diese mit der Menge. Vortheilhaft ist es ferner auch, dass die Berathenden entweder gewählt, oder durchs Loos gleichmässig aus den Gliedern des Staats genommen werden. Vortheilhaft endlich ist es, wenn das demokratische Element das republikanische an Anzahl übertrifft, entweder nicht Allen Sold zu geben, sondern nur einer der Menge der Vornehmen entsprechenden Anzahl, oder die Ueberzahl durchs Loos auszuscheiden.

9. Ἐν δὲ ταῖς ὀλιγαρχίαις ἢ προαιρεῖσθαί τινας ἐκ τοῦ πλήθους, ἢ κατασκευάσαντας ἀρχεῖον οἷον ἐν ἐνίαις πολιτείαις ἐστὶν οὓς καλοῦσι προβούλους καὶ νομοφύλακας, καὶ περὶ τούτων χρηματίζειν περὶ ὧν ἂν οὗτοι προβουλεύσωσιν· οὕτω γὰρ μεθέξει ὁ δῆμος τοῦ βουλεύεσθαι, καὶ λύειν οὐθὲν δυνήσεται τῶν περὶ τὴν πολιτείαν. ἔτι ἢ ταὐτὰ ψηφίζεσθαι τὸν δῆμον ἢ μηθὲν ἐναντίον τοῖς εἰσφερομένοις, ἢ τῆς συμβουλῆς μὲν μεταδιδόναι πᾶσι, βουλεύεσθαι δὲ τοὺς ἄρχοντας.

9. In den Oligarchieen dagegen ist es zuträglich, dass entweder aus dem Volke Einige ausgewählt werden, oder dass man ein Collegium ähnlich den in gewissen Staaten bestehenden Gesetzeswächtern und Vorberathungscommissionen einrichte und nur über Das verhandle, was von jenen zuvor berathen ist. So bekommt das Volk einen Antheil an der Berathung, ohne dass es die Macht hat, etwas an der Verfassung zu ändern. Ferner muss das Volk entweder Dasselbe beschliessen, oder doch nichts, was den gemachten Vorschlägen entgegengesetzt wäre; oder man kann auch dem Volke Antheil an der Berathung lassen, die Entscheidung aber allein den Magistraten vorbehalten.

10. Καὶ τὸ ἀντικείμενον δὲ τοῦ ἐν ταῖς πολιτείαις γιγνομένου δεῖ ποιεῖν· ἀποψηφιζόμενον μὲν γὰρ κύριον δεῖ ποιεῖν τὸ πλῆθος, καταψηφιζόμενον δὲ μὴ κύριον, ἀλλ' ἐπαναγέσθω πάλιν ἐπὶ τοὺς ἄρχοντας. ἐν γὰρ ταῖς πολιτείαις ἀντεστραμμένως ποιοῦσιν· οἱ γὰρ ὀλίγοι ἀποψηφισάμενοι μὲν κύριοι, καταψηφισάμενοι δὲ οὐ κύριοι, ἀλλ' ἐπανάγεται εἰς τοὺς πλείστους αἰεί. περὶ μὲν οὖν τοῦ βουλευομένου καὶ τοῦ κυρίου δὴ τῆς πολιτείας τοῦτον διωρίσθω τὸν τρόπον.

10. Auch muss man gerade das Entgegengesetzte thun von dem in den Republiken üblichen Verfahren; man muss nämlich dem Volke zwar das Recht ertheilen zu verwerfen, aber nicht das Recht etwas zu bestimmen, sondern im erstern Falle muss die Sache wieder vor die obrigkeitlichen Collegia gebracht werden. In den Republiken verfährt man nämlich gerade umgekehrt. Die Wenigen haben das Recht zu verwerfen, das Recht aber etwas festzusetzen haben sie nicht, sondern die Sache wird immer wieder vor die Menge gebracht. Soviel über den berathenden und über den die souveräne Gewalt in der Verfassung ausübenden Theil.

CAP. XII.

Cap. 15. Bkk. 1. Ἐχομένη δὲ τούτων ἐστὶν ἡ περὶ τὰς ἀρχὰς διαίρεσις· ἔχει γὰρ καὶ τοῦτο τὸ μόριον τῆς πολιτείας πολλὰς διαφοράς, πόσαι τε ἀρχαί,

Kap. XII.

1. Hieran schliesst sich zunächst die Untersuchung über die Obrigkeiten. Denn auch dieser Theil der Verfassung giebt zu verschiedenen Fragen Anlass: wieviel ihrer sein, und worüber sie Macht haben müssen, und

---

priora verba τὸ αὐτὸ ποιεῖν scribi debere, nec vulgatum βέλτιόν τε αὐτὸ ποιεῖν ullo modo defendi posse." Haec Schneid., cuius emendationem post Cor. recepit Bekk. (hac nota addita: „τὸ αὐτὸ] τε αὐτὸ codices"). Vulgatam scripturam servavit Goettl., cui tamen Aristoteles scripsisse videtur: συμφέρει δὲ — δημοκρατίᾳ νῦν (λέγω δὲ — καὶ νόμων ἐστὶ πρὸς τὸ βουλεύεσθαι) βέλτιόν τε αὐτὸ ποιεῖν, ὅπερ κτλ., quam scripturam ex A 2. sumtam comprobare non possum. — οὓς βούλονται] οὓς βουλεύονται Q^b. V^b. — οἱ δὲ δημοτικοὶ] ἡ δὲ δημοκρατία nulla auctoritate Lamb. („at democratia") Sylb. (qui eam scripturam fortasse ex Lut. sumpsit) Casaub. recentiores Schn. Cor. — Conring. aut ἐν δὲ δημοκρατίᾳ scribendum, aut Aldinarum scripturam recipiendam esse censet. — τοῦτο δὲ καὶ] ταὐτὸ δὲ καὶ maluere Lamb. Conr. — βουλεύσονται] βουλεύονται Schn. Cor. tacite. — συμφέρει δὲ καὶ τὸ] τὸ om. A 2. — τοὺς βουλευομένους] futurum expressit Lambin. — ἴσως ἐκ τῶν] ἴσους ἴσως P 1., ἴσους Vict. 2. Zw. Schn. — τῶν πολιτικῶν] Forte τῶν πολιτῶν scribendum est, πολιτικῶν enim habet ambiguitatem in hac de democratia disputatione. Schneid. — διδόναι] διοιόναι V^b. —

§. 9. κατασκευάσαντας] κατασκευάσαι Schn. Cor., κατασκευάσασθαι Lamb., κατασκευάσαι τοιοῦτόν τι (*tale aliquid constituere quale*) videtur legisse Aret. — οἷον ἐν ἐνίαις] ἐν om. Q^b. V^b. A 1. 2. B 2. 3. et Goettl. cum codd. suis omnibus; dicit enim: „quidam ante ἐνίαις addunt ἐν sed nescio quo auctore." ἐνίαι V^b. — ἢ τῆς συμβουλῆς] ἢ τοῖς συμβουλῆς A 1. 2. —

§. 10. γιγνομένου δεῖ ποιεῖν] P 2. I^b. P 3. add. τὸ πλῆθος, quod paullo post male ab eis abest. Goettl. — ἀποψηφιζόμενον μὲν γὰρ κύριον δεῖ ποιεῖν] haec om. V^b. P 4. cod. Camerar. A 1. 2. B 2. Causa erroris aperta. Defectum supplevit Camerar. (omissa tamen γὰρ particula) ex edit. Argentoratensi, et ante Cam. B 3. μὲν om. I^b. Q^b. B 3. Schn. Cor. Goettl. — κύριον δεῖ ποιεῖν] δεῖ κύριον εἶναι ποιεῖν I^b. — ἐπαναγέσθω] forsan rectius ἐπανάγεσθαι. Sylb., recep. Schn. Cor. — ἐπὶ τοὺς ἄρχοντας] ἐπὶ τοῖς ἄρχ. Bekk. maior vitiose. — ἀντεστραμμένως] ἀνεστραμμένως I^b. A 1. 2. B 2. 3. — εἰς τοὺς πλείστους] *ad populum* Aret., *ad plures* Vet. — δὴ τῆς πολιτείας] δεῖ pro δὴ I^b. Q^b. V^b. P 1. 2. 3. A 1. 2. B 2. 3. δὴ prim. ex Cod. suo restituit Camerar. et sic Victor. tacite. Sylburgius: „si quis δὲ malit, per me licet." — διωρίσθω] διωρίσθαι I^b. V^b. P 1. 2. 3. A 1. 2. B 2. 3. et idem videtur legisse in codice suo Camerarius, qui p. 169.: „in vetere libro (inquit) scriptum est δή, ut διωρίσθω verum esse videatur, non διωρίσθαι." Miror Goettlingium in Adnot. probare scripturam Aldinarum, quae Aristotelis loquendi usui repugnat. Videtur tamen eam etiam in Vet. invenisse Schneid. —

καὶ κύριαι τίνων, καὶ περὶ χρόνου, πόσος ἑκάστης ἀρχῆς (οἱ μὲν γὰρ ἑξαμήνους, οἱ δὲ δι' ἐλάττονος, οἱ δ' ἐνιαυσίας, οἱ δὲ πολυχρονιωτέρας ποιοῦσι τὰς ἀρχάς), καὶ πότερον εἶναι δεῖ τὰς ἀρχὰς ἀϊδίους ἢ πολυχρονίους ἢ μηδέτερον ἀλλὰ πλεονάκις τοὺς αὐτούς, ἢ μὴ τὸν αὐτὸν δὶς ἀλλ' ἅπαξ μόνον.

2. Ἔτι δὲ περὶ τὴν κατάστασιν τῶν ἀρχῶν, ἐκ τίνων δεῖ γίνεσθαι καὶ ὑπὸ τίνων καὶ πῶς. περὶ πάντων γὰρ τούτων δεῖ δύνασθαι διελεῖν κατὰ πόσους ἐνδέχεται γενέσθαι τρόπους, κἄπειτα προςαρμόσαι, ποίαις ποῖαι πολιτείαις συμφέρουσιν. ἔστι δὲ οὐδὲ τοῦτο διορίσαι ῥᾴδιον, ποίας δεῖ καλεῖν ἀρχάς· πολλῶν γὰρ ἐπιστατῶν ἡ πολιτικὴ κοινωνία δεῖται, διόπερ πάντας οὔτε τοὺς αἱρετοὺς οὔτε τοὺς κληρωτοὺς ἄρχοντας θετέον, οἷον τοὺς ἱερεῖς πρῶτον· τοῦτο γὰρ ἕτερόν τι παρὰ τὰς πολιτικὰς ἀρχὰς θετέον. ἔτι δὲ χορηγοὶ καὶ κήρυκες· αἱροῦνται δὲ καὶ πρεσβευταί.

3. Εἰσὶ δὲ αἱ μὲν πολιτικαὶ τῶν ἐπιμελειῶν, ἢ πάντων τῶν πολιτῶν πρός τινα πρᾶξιν, οἷον στρατηγὸς στρατευομένων, ἢ κατὰ μέρος, οἷον ὁ γυναικονόμος ἢ παιδονόμος· αἱ δ' οἰκονομικαὶ (πολλάκις γὰρ αἱροῦνται σιτομέτρας), αἱ δ' ὑπηρετικαί, πρὸς ἅς, ἂν εὐπορῶσι, τάττουσι δούλους. μάλιστα δ' ὡς ἁπλῶς εἰπεῖν ἀρχὰς λεκτέον ταύτας, ὅσαις ἀποδέδοται βουλεύσασθαί τε περὶ τινῶν καὶ κρῖναι καὶ ἐπιτάξαι, καὶ μάλιστα τοῦτο· τὸ γὰρ ἐπιτάττειν ἀρχικώτερόν ἐστιν. ἀλλὰ ταῦτα διαφέρει πρὸς μὲν τὰς χρήσεις οὐθὲν ὡς εἰπεῖν· οὐ γάρ πω κρίσις γέγονεν ἀμφισβητούντων περὶ τοῦ ὀνόματος· ἔχει δέ τιν' ἄλλην διανοητικὴν πραγματείαν.

4. Ποῖαι δ' ἀρχαὶ καὶ πόσαι ἀναγκαῖαι εἰ ἔσται πόλις, καὶ ποῖαι ἀναγκαῖαι μὲν οὔ, χρήσιμοι δὲ πρὸς σπουδαίαν πολιτείαν, μᾶλλον ἄν τις ἀπορήσειε πρὸς ἅπασάν τε δὴ πολιτείαν καὶ δὴ καὶ τὰς μικρὰς πόλεις. ἐν μὲν γὰρ δὴ ταῖς μεγάλαις ἐνδέχεταί τε καὶ δεῖ μίαν τετάχθαι πρὸς ἓν ἔργον·

über die Zeit, wie lang sie für jede Magistratur sein müsse (denn hier erwählt man die Magistraten auf sechs Monate, dort auf noch kürzere Zeit, hier auf ein Jahr, dort auf noch längere Zeit), und ob die Magistraturen lebenslängliche oder langdauernde sein müssen, oder keins von beiden, aber doch ein und dieselben mehrmals dazu erwählt werden können, oder ob ein und derselbe nicht zweimal, sondern nur einmal.

2. Ferner hinsichtlich der Besetzung der Magistraturen, wer gewählt werden, wer wählen, und wie man dabei verfahren soll. In Betreff aller dieser Fragen muss man im Stande sein, die sämmtlichen möglichen Arten und Weisen zu scheiden, um dann anzugeben, was der einen, und was der andern Verfassung gemäss ist. Schon das ist nicht leicht zu bestimmen, welche öffentlichen Verrichtungen eigentlich **Magistraturen** zu nennen sind. Denn die bürgerliche Gesellschaft bedarf gar vieler Vorsteher, weshalb man nicht Alle, weder die durch Wahl noch die durch's Loos ernannten, zu den Magistraten rechnen kann, wie z. B. gleich die Priester, die man doch gewiss für etwas von den politischen Magistraturen ganz Verschiedenes zu halten hat. Ferner die Choregen und Herolde; auch Gesandte werden erwählt.

3. Die öffentlichen Verrichtungen sind entweder von politischer Bedeutung, und haben da entweder Macht über **alle** Bürger, wie z. B. der Feldherr im Felde, oder nur über einen Theil, wie die Aufseher über die Zucht der Weiber und der Knaben; — oder sie sind ökonomischer Art (wie man hier und da Marktmeister wählt), oder es sind niedrige Dienste, wozu man, wenn man die Mittel dazu hat, Sklaven nimmt. Im eigentlichsten Verstande hat man nun aber im Allgemeinen diejenigen Magistraturen zu nennen, welchen die Macht gegeben ist, über gewisse Dinge zu berathen, zu entscheiden und Befehle zu geben, und vorzüglich das Letztere. Denn das Befehlen ist noch eigentlicher das unterscheidende Merkmal einer Obrigkeit. Indess kommen diese genauen Bestimmungen genau genommen in der Realität in keinen Betracht, denn ein Streit über den Namen hat noch nie stattgefunden, allein sie haben doch ihr eignes Interesse für den Gedanken.

4. Dagegen dürfte in höherem Grade die Frage: welche und wie viele Magistraturen ein Staat zu seiner Existenz bedarf, und welche zwar nicht unentbehrlich, aber doch zur Vollkommenheit des Staatszustandes erforderlich sind, mit Recht wie im Allgemeinen bei jedem so insbesondere bei den kleinen Staaten in Betracht kommen. In den grossen nämlich ist es möglich und

---

Cap. XII. §. 1. *οἱ δὲ δι' ἐλάττονος*] δὲ om. A 2., *οἱ δ' ἐλάττονος* Schn. Cor. vitiose. —

§. 2. *ἔτι δὲ*] δὲ om. Schn. tacite. — *ποίαις ποῖαι πολιτείαις*] Sic edidimus cum P 1. Aret. B 3. Lamb. Cam. Vict. 2. Zw. (Victorius autem hanc scripturam in omnibus libris mss. videtur invenisse.) Schn. Cor. G. *ποίαις ποῖαι πολιτεῖαι* P 2. 3. A 1. 2. Vet. B 2. Sylb. Conr. Lut. idemque retinuit Bekk. (qui nullam codd. suorum notat discrepantiam praeterquam quod *ποίαις* absit a V^b.); *ποῖαι ποίαις πολιτείαις*, quod convenientius dixerat Sylb., recepit Cas. — *δεῖται*] *δύναται* Q^b. V^b. — *πάντας οὔτε τοὺς*] Nihili est quod dicit Schn. Aretinum et Victorium (addas etiam Lamb. et Cas.) haec ita vertisse quasi *οὔτε πάντας τοὺς* scriptum legissent: ipse enim iisdem plane verbis quibus illi usus est in interpretatione latina. — *ἄρχοντας θετέον, οἷον τοὺς ἱερεῖς — παρὰ τὰς πολιτικάς*] om. pr. I^b. — *ἔτι δὲ χορηγοί*] *ἔτι δὲ καὶ χορηγ.* addita *καὶ* particula P 1. 2. 3. 4. Aret. Vet. (ut ex Schneideri silentio coniici potest) Vict. 2. Zw. Lut. Sylb. Cas. Conr. Schn. Cor. — *κήρυκες*] *κύρηκες* B 3. 2. —

§. 3. *εἰσὶ δὲ αἱ μὲν*] ***huiusmodi enim curae civiles*** Aret. — *πάντων τῶν πολιτῶν*] *πολιτικῶν* B 3. Goettl. tacite f. operar. errore. — *στρατηγὸς*] *στρατηγοὺς* I^b. — *στρατευομένων*] *στρατωμένων* V^b. — *πρὸς ἅς*] *καὶ πρὸς ἅς* Vet. I^b. Q^b. V^b. A 1. 2. B 2. 3. Quid Goettlingii Codd. habeant incertum est. Sic enim ille: „*καὶ πρὸς ἅς* A 1. 2. neque opus erat ut omitterem particulam.“ Videtur igitur a P 1. 2. 3. 4. abesse *καὶ*, id quod de P 2. verum esse non posse docuit nota Bekkeri, et de P 1. probabile non esse Schneideri de Vet. testimonium. — *ἔχει δέ τιν' ἄλλην*] *ἔχει δ' ἔτι γ' ἄλλην* Q^b. —

§. 4. *ποῖαι δ' ἀρχαὶ*] *ποῖαι δ' αἱ ἀρχαὶ* Goettl. tacite, et sic inveni scriptum in A 1. 2. B 2. B 3., cuius discrepantiae etiam Schneid. nullam facit mentionem. — *ἀναγκαῖαι μὲν οὔ, χρήσιμοι δὲ*] *ἀναγκαῖαι μὲν οὐ χρήσιμοι δὲ* sine interpunct. tacite Bkk.; *ἀναγκαῖαι μέν, οὐ χρήσ. δὲ* commate post *μὲν* posito A 1. 2. P 2. B 2. B. Zwing. Heins. Ram. Aret., quo in luto etiam Camerarium (p. 171) haesisse nec se inde explicare potuisse iure miratur Schneiderus. Veram scripturam dederunt P 1. P 4. Vet. Sylb. Lut. Victor. Lamb. Cas. (qui tamen male *ου* sine accentu) Conr. Schn. Cor. Goettl. Prudenter Victorius (p. 395. exempl. Zw.): „Adnotanda est oratio haec, in qua facile laberetur aliquis, nisi suo loco interpunctiones positae forent, putaretque falso contrarium ipsam ostendere, extrema autem superioris clausulae negandi particula debet esse. Eodem pacto Xenophon locutus est (Anab. IV, 4, 3.), cum amnem lepidum sane, eundem tamen pusillum describeret, *μέγας μὲν οὔ, καλὸς δέ*, ita vero legi locum debere significat Demetrius.“ — *καὶ τὰς μικρὰς*] *καὶ πρὸς τὰς μικρὰς* plenius et rectius Vet. Schneid. — *δεῖ μίαν*] *δεῖ καὶ μίαν* V^b. —

πολλούς τε γὰρ εἰς τὰ ἀρχεῖα ἐνδέχεται βαδίζειν διὰ τὸ πολλοὺς εἶναι τοὺς πολίτας, ὥστε τὰς μὲν διαλείπειν πολὺν χρόνον τὰς δ' ἅπαξ ἄρχειν· καὶ βέλτιον ἕκαστον ἔργον τυγχάνει τῆς ἐπιμελείας μονοπραγματούσης ἢ πολυπραγματούσης.

5. Ἐν δὲ ταῖς μικραῖς ἀνάγκη συνάγειν εἰς ὀλίγους πολλὰς ἀρχάς· διὰ γὰρ ὀλιγανθρωπίαν οὐ ῥᾴδιόν ἐστι πολλοὺς ἐν ταῖς ἀρχαῖς εἶναι· τίνες γὰρ οἱ τούτους ἔσονται διαδεξόμενοι πάλιν; δέονται δ' ἐνίοτε τῶν αὐτῶν ἀρχῶν καὶ νόμων αἱ μικραὶ ταῖς μεγάλαις· πλὴν αἱ μὲν δέονται πολλάκις τῶν αὐτῶν, ταῖς δ' ἐν πολλῷ χρόνῳ τοῦτο συμβαίνει. διόπερ οὐθὲν κωλύει πολλὰς ἐπιμελείας ἅμα προστάττειν· οὐ γὰρ ἐμποδιοῦσιν ἀλλήλαις, καὶ πρὸς τὴν ὀλιγανθρωπίαν ἀναγκαῖον τὰ ἀρχεῖα οἷον ὀβελισκολύχνια ποιεῖν.

6. Ἐὰν οὖν ἔχωμεν λέγειν πόσας ἀναγκαῖον ὑπάρχειν πάσῃ πόλει, καὶ πόσας οὐκ ἀναγκαῖον μὲν δεῖ δ' ὑπάρχειν, ῥᾷον ἄν τις εἰδὼς ταῦτα συνάγοι ποίας ἁρμόττει συνάγειν ἀρχὰς εἰς μίαν ἀρχήν. ἁρμόττει δὲ καὶ τοῦτο μὴ λεληθέναι, ποῖα δεῖ κατὰ τόπον ἀρχεῖα πολλῶν ἐπιμελεῖσθαι καὶ ποίων πανταχοῦ μίαν ἀρχὴν εἶναι κυρίαν, οἷον εὐκοσμίας πότερον ἐν ἀγορᾷ μὲν ἀγορανόμον, ἄλλον δὲ κατ' ἄλλον τόπον, ἢ πανταχοῦ τὸν αὐτόν. καὶ πότερον κατὰ τὸ πρᾶγμα δεῖ διαιρεῖν ἢ κατὰ τοὺς ἀνθρώπους, λέγω δ' οἷον ἕνα τῆς εὐκοσμίας, ἢ παίδων ἄλλον καὶ γυναικῶν.

7. Καὶ κατὰ τὰς πολιτείας δέ, πότερον διαφέρει καθ' ἑκάστην καὶ τὸ τῶν ἀρχῶν γένος ἢ οὐθέν, οἷον ἐν δημοκρατίᾳ καὶ ὀλιγαρχίᾳ καὶ ἀριστοκρατίᾳ καὶ μοναρχίᾳ πότερον αἱ αὐταὶ μέν εἰσιν ἀρχαὶ κύριαι, οὐκ ἐξ ἴσων δ' οὐδ' ἐξ ὁμοίων, ἀλλ' ἕτεραι ἐν

auch nothwendig, dass eine Obrigkeit für **ein** bestimmtes Geschäft angeordnet werde. Denn da die Anzahl der Bürger gross ist, so kann auch die Anzahl derer gross sein, welche in obrigkeitliche Aemter eintreten, so dass denn ein und dasselbe Amt entweder erst nach langer Zeit wieder, oder überhaupt nur einmal an dieselbe Person kommt. Auch ist es für jedes Geschäft besser, wenn der, welcher es besorgt, nur Eins, als wenn er vielerlei zu thun hat.

5. In kleinen Staaten dagegen muss man viele Aemter Wenigen auftragen, da es bei der geringen Bürgerzahl nicht wohl angeht, dass Viele in obrigkeitlichen Aemtern sind. Denn wo soll man Nachfolger für sie hernehmen. Nun haben aber zuweilen die kleinen dieselben Aemter und Gesetze nöthig, wie die grossen, nur dass diese dieselben oft nöthig haben, während der Fall bei jenen nur von Zeit zu Zeit einmal eintritt. Hier kann man daher recht wohl einer Person mehrere Geschäfte auftragen, ohne dass sich diese einander im Wege sein werden, und der geringen Bürgerzahl gemäss ist es selbst nothwendig, die Magistraturen wie gewisse Instrumente einzurichten, die zugleich als Leuchter und Bratspiess dienen.

6. Sind wir also nur erst im Stande zu bestimmen, wie viele Magistraturen nothwendig jeder Staat haben muss, und wie viele zwar nicht nothwendig, aber doch nöthig sind, so kann man daraus leichter den Schluss ziehen, welche Aemter sich passend in eins zusammenziehen lassen. Man darf aber auch die Frage nicht übergehen, welche Magistratscollegia bei örtlicher Beschränkung Vieles besorgen müssen, und welche Dinge von der Art sind, dass **ein** Magistrat überall darüber Gewalt haben muss, z. B. ob für gute Ordnung etwa auf dem Markte ein Marktmeister, für einen andern Ort aber ein anderer da sein muss, oder Einer für die ganze Stadt. Ferner, ob man sie nach den Objecten ihrer Aufsicht zu scheiden hat, oder nach den Menschen, mit denen sie zu thun haben; ich meine so: ob Einer da sein muss für gute Ordnung im Allgemeinen, oder ob für Kinder und Weiber verschiedene.

7. Auch hinsichtlich der Verfassungen fragt es sich, ob je nach der Beschaffenheit jeder einzelnen auch die Art der Obrigkeiten verschieden ist oder nicht, d. h. ob in der Demokratie, Oligarchie, Aristokratie und Monarchie dieselben Magistraturen dieselbe Macht haben, nur dass sie nicht mit gleichen Personen und aus ähn-

---

ὥστε τὰς μὲν] ὥστε τοὺς μὲν fortasse I^b. Bekker. τοὺς μὲν — τοὺς δὲ Victor. 2. Zw. (tacite) Schn. Cor.; Sylburgius (qui τὰς μὲν — τὰς δὲ edidit) haec addit: „*subaudiendum esse ἀρχὰς declarat etiam Lambini versio. Alioquin etiam τοὺς scribi posset et ad πολίτας referri.*" Vides igitur et Schneiderum et Goettl. falsa referre, quorum alter Sylburgium τοὺς edidisse, alter eum sic scribere voluisse dicit. Haec enim Schn.: *Aldinae τὰς μὲν — τὰς δὲ casu in Sylburgianam translatum corrigi quidem iusserat Editor, sed non paruerunt sequiores editores. Hinc de oratione hiulca questus est Conring., qui Sylburgii admonitionem non legerat.* — πολυπραγματούσης] Sic Bkk. tacite. Sed πολυπραγμονούσης G. cum A 1. 2. B 2. 3.; Schneider. „κακοπραγματέω (inquit) habet Polybius et Plutarchus; sed formae μονοπραγματεῖν et πολυπραγματεῖν unicum ex h. l. exemplum posuit Stephanus; quare haud scio an utraque forma admonitu Aldini Codicis corrigenda sit. Vet.: *cura circa unum intenta quam circa multa.*" —

§. 5. τίνες γὰρ οἱ τούτους] τούτοις A 1. 2. B 2. 3. Goettl. τίνες γὰρ τούτοις ἔσονται οἱ διαδεξόμενοι coniecit Goettl. — συμβαίνει] post h. v. I^b. P 2. add. διὰ τὸ διὰ πολλοῦ συμβαίνειν την τούτων χρῆσιν. — ἐμποδιοῦσιν ἀλλήλαις] Puto verum esse ἀλλήλας, sic enim Plato Phaedone [p. 66. C.] Camer. Sed duo alia dativi exempla e Stephano affert Schneiderus Ethic. Nic. VII. (cp. 11, §. 4. ed. Zell.) οὐκ ἐμποδίζει φρονήσει, de Generat. Animal. III, cp. 5. ὅσοις ἐμποδίζει τὸ οὐραῖον; quibus ipse addit tertium Eth. Nic. I, cp. 10. (§. 12.) καὶ ἐμποδίζει πολλαῖς ἐνεργείαις. Recte; ἐμποδίζειν enim apud Aristot. saepe absolute positum est pro ἐμποδὼν εἶναι, velut Eudem. Eth. VII. p. 1236. B. 27.; p. 1237. B. 5. Vide etiam Matth. gramm. gr. p. 721. ed. 2. Bernhardy Synt. p. 91. —

§. 6. οὐκ ἀναγκαῖον μὲν] μὲν om. A 1. 2. B 2. Goettl. *Non necessarii quidem sed opportuni* Aret. — δεῖ δ' ὑπάρχειν] In his merito haesit Camerarius, cum expectet lector χρήσιμον δὲ ὑπάρχειν ut fuit antea συνάγοι §. 4. Schn. — συνάγοι] συνάγει Q^b. V^b. συνάγῃ P 1. — ἀρχήν. ἁρμόττει δὲ καὶ] Mihi scriptura huius loci suspecta est et non possum agnoscere eam pro emendata. Atque coniicio vel aliud quidpiam in archetypo fuisse, vel tale: ποίας ἁρμόττει συνάγειν ἀρχὰς εἰς μίαν ἀρχην, ἢ μὴ ἁρμόττει. δεῖ δὲ καί. De quo qui volet, quaerat cogitetque amplius. Camerar. Vulgatam ex Camerarii egregia coniectura correxissem, nisi faciliorem et commodiorem Aretini versio suppeditasset ubi est: *debet etiam hoc non latuisse, quales conveniant secundum locum magistratus plurium curam habere.* Schneid. Schneideri scripturam: ἀρχήν· δεῖ δὲ καὶ recep. etiam Cor. neque improbat eam Goettling., qui in P 3. intervallum post ἀρχὴν esse narrat. Sed rectissimum est ἁρμόττει, cf. Polit. VII, cp. 11, §. 1. τὰς δὲ τοῖς θείοις ἀποδεδομένας οἰκήσεις καὶ τὰ κυριώτατα τῶν ἀρχείων συσσίτια ἁρμόττει τόπον ἐπιτήδειόν τε ἔχειν κτλ. Et sic ἁρμόττει etiam §. 7 extr. huius capitis. — κατὰ τὸ πρᾶγμα] κατὰ τὰ πράγματα Lamb. Aret. prob. Cas. —

§. 7. οὐκ ἐξ ἴσων δὲ] δὲ particulam om. A 2. (non A 1. ut falso dicit Schn.) Vet. Goettl. prim. addidit B 3. Vict. — οὐδ' ἐξ ὁμοίων] οὐκ pro οὐδ' I^b. Q^b. V^b. et sic A 1. (quam οὐδ' habere dicit G. non recte.) B 2. — ἕτεραι] ἑτέρων P 1., in margine

ἑτέραις, οἷον ἐν μὲν ταῖς ἀριστοκρατίαις ἐκ πεπαιδευμένων, ἐν δὲ ταῖς ὀλιγαρχίαις ἐκ τῶν πλουσίων, ἐν δὲ ταῖς δημοκρατίαις ἐκ τῶν ἐλευθέρων, ἢ τυγχάνουσι μέν τινες οὖσαι καὶ κατ' αὐτὰς τὰς διαφορὰς τῶν ἀρχῶν, ἔστι δ' ὅπου συμφέρουσιν αἱ αὐταὶ καὶ ὅπου διαφέρουσιν· ἔνθα μὲν γὰρ ἁρμόττει μεγάλας, ἔνθα δ' εἶναι μικρὰς τὰς αὐτάς.

8. Οὐ μὴν ἀλλὰ καὶ ἴδιαί τινές εἰσιν, οἷον ἡ τῶν προβούλων· αὕτη γὰρ οὐ δημοκρατική, βουλὴ δὲ δημοτικόν. δεῖ μὲν γὰρ εἶναί τι τοιοῦτον ᾧ ἐπιμελὲς ἔσται τοῦ δήμου προβουλεύειν, ὅπως ἀσχολῶν ἔσται· τοῦτο δ', ἐὰν ὀλίγοι τὸν ἀριθμὸν ὦσιν, ὀλιγαρχικόν· τοὺς δὲ προβούλους ὀλίγους ἀναγκαῖον εἶναι τὸ πλῆθος, ὥστ' ὀλιγαρχικόν. ἀλλ' ὅπου ἄμφω αὗται αἱ ἀρχαί, οἱ πρόβουλοι καθεστᾶσιν ἐπὶ τοῖς βουλευταῖς· ὁ μὲν γὰρ βουλευτὴς δημοτικόν, ὁ δὲ πρόβουλος ὀλιγαρχικόν.

9. Καταλύεται δὲ καὶ τῆς βουλῆς ἡ δύναμις ἐν ταῖς τοιαύταις δημοκρατίαις ἐν αἷς αὐτὸς συνιὼν ὁ δῆμος χρηματίζει περὶ πάντων. τοῦτο δὲ συμβαίνειν εἴωθεν, ὅταν εὐπορία τις ᾖ ἢ μισθὸς τοῖς ἐκκλησιάζουσιν· σχολάζοντες γὰρ συλλέγονταί τε πολλάκις καὶ ἅπαντα αὐτοὶ κρίνουσιν. παιδονόμος δὲ καὶ γυναικονόμος, καὶ εἴ τις ἄλλος ἄρχων κύριός ἐστι τοιαύτης ἐπιμελείας, ἀριστοκρατικόν, δημοκρατικὸν δ' οὔ· πῶς γὰρ οἷόν τε κωλύειν ἐξιέναι τας τῶν ἀπόρων; οὐδ' ὀλιγαρχικόν· τρυφῶσι γὰρ αἱ τῶν ὀλιγαρχούντων. ἀλλὰ περὶ μὲν τούτων ἐπὶ τοσοῦτον εἰρήσθω νῦν.

10. Περὶ δὲ τὰς τῶν ἀρχῶν καταστάσεις πειρατέον ἐξ ἀρχῆς διελθεῖν. εἰσὶ δ' αἱ διαφοραὶ ἐν τρισὶν ὅροις, ὧν συντιθεμένων ἀναγκαῖον πάντας εἰλῆφθαι τοὺς τρόπους. ἔστι δὲ τῶν τριῶν τούτων ἓν μὲν τίνες οἱ καθιστάντες τὰς ἀρχάς, δεύτερον δ' ἐκ τίνων, λοιπὸν δὲ τίνα τρόπον. ἑκάστου δὲ τῶν τριῶν τούτων διαφοραὶ τρεῖς εἰσίν· ἢ γὰρ πάντες οἱ πολῖται καθιστᾶσιν ἢ τινές, καὶ ἢ ἐκ πάντων ἢ ἐκ τινῶν ἀφωρισμένων, οἷον ἢ

lichen Klassen besetzt werden, sondern hierin je in den einzelnen Verschiedenheit obwaltet, also, dass sie in Aristokraticen aus den Gebildeten, in den Oligarchieen aus den Reichen, in den Demokraticen aus den Freien; — oder ob es je nach eben diesen Unterschieden der Verfassung auch gewisse besondere Magistraturen giebt, so jedoch, dass eben dieselben hier gleich, dort verschieden sind; denn es kann ja in dem einen Staate angemessen sein, dass dieselben Magistraturen grosse Bedeutung haben, welche in dem andern unbedeutend sind.

8. Allein es giebt auch gewisse, jeder Verfassungsform eigenthümliche Magistraturen, z. B. die der Probulen (der vorberathenden Behörde), denn diese ist nicht demokratisch, der Volksrath dagegen ist ein demokratisches Institut. Es muss nämlich ein solches Collegium da sein, dem es obliegt, die Sachen, ehe sie vor das Volk kommen, vorher zu berathen, damit dieses seinen Beschäftigungen nachgehen kann. Besteht nun ein solches aus Wenigen, so ist es oligarchisch. Der Probulen aber müssen nothwendig nur wenige sein, es ist also ein oligarchisches Institut. Wo aber diese Institute beide vorhanden sind, da kontroliren die Probulen gewissermassen den Volksrath. Denn das Institut der Letztern ist ein demokratisches, das der Erstern hingegen ein oligarchisches.

9. Auch die Macht des Volksrathes wird in solchen Demokraticen gebrochen, wo das Volk selbst in seinen Versammlungen über alle Angelegenheiten verhandelt. Dies pflegt dann zu geschehen, wenn entweder eine gewisse Wohlhabenheit herrscht, oder die Mitglieder der Volksversammlung Sold erhalten. Denn wenn das Volk nicht zu arbeiten braucht, so versammelt es sich häufig und entscheidet selbst über Alles. Aufseher über die Zucht der Knaben und der Weiber und andere Magistratspersonen, denen eine ähnliche Aufsicht zu führen obliegt, sind dagegen wohl einer Aristokratie angemessen, nicht aber einer Demokratie. Denn wie wäre es möglich, den Weibern der Armen das Ausgehen zu verbieten. Auch oligarchisch sind solche Institute nicht. Denn dort führen die Weiber der Oligarchen ein zu lockeres Leben. Doch diese Andeutungen mögen hier genügen.

10. Jetzt muss ich aber über die verschiedenen Arten und Weisen der Besetzung der Magistraturen handeln, und zwar von den ersten Grundbegriffen ausgehend. Die Unterschiede liegen in drei Punkten, aus deren Kombination sich nothwendig die sämmtlichen möglichen Fälle ergeben müssen. Diese drei Punkte sind: erstens, **wer sind die Ernennenden?** zweitens, **wer sind Die, aus welchen ernannt wird?** und endlich, **wie geschieht es?** Jeder dieser drei enthält drei Unterschiede. Entweder nämlich ernennen **alle** Bürger, oder nur **einige** — und zwar entweder **aus allen**,

---

tamen ἕτεραι. — *ἐκ τῶν πλουσίων*] τῶν abest ab Lut. Sylb. Vict. 2. Zw. Cas. P 1. 2. 3. In notis tamen Sylburg.: „malim (inquit) cum articulo ἐκ τῶν πλ., ut postea ἐκ τῶν ἐλευθέρων.“ Unde planum fit eum nec Aldina exemplaria nec Bass. inspexisse, in quibus est articulus. — *καὶ κατ' αὐτὰς τὰς διαφορὰς τῶν ἀρχῶν*] Primus haesit in h. l. Camerarius p. 172., qui tamen medelam se reperire nullam confitetur. Giphan. totum locum spurium et inducendum putat. Victorius (p. 395. Zw.): „*destitutus* (inquit) *ope librorum mss. ad coniecturam confugi existimavique, si pro* τὰς διαφορὰς *scribatur* διαφοραί, *locum purgatum esse. Articulum enim — arbitror esse extremam syllabam prioris vocis, iteratam negligentia librarii, ut fit.*“ Victorii coniecturam receper. Schn. Cor. Goettl.; ταύτας pro αὐτὰς margo I^b. (Goettling. καὶ ταύτας in marg. P 2. esse dicit); κατὰ ταύτας τὰς διαφορὰς P 1., quam scripturam unice veram dicit Goettl. Nos vulgatam interpretatione nostra defendere conati sumus. — *διαφέρουσιν*] post hoc verbum Vet. addit: *propter hoc.* —

§. 8. *προβούλων*] *proconsulum* Vet. — *δεῖ μὲν γάρ*] μὲν γὰρ om. Aret. — *ὅπως ἀσχολῶν ἔσται*] *ne otiosus sit* Aret.; *quatenus non vacans erit* Vet.; *ut ei liceat esse in suis negotiis occupato* Lamb. —

τοῦτο δ', ἐάν] τοῦτο δέ, ἂν G. Schn. A 1. 2. B 2. 3. Sylb. Cas. Conr. Lut. Vict. 2. Zwing. et edd. reliqq. omnes. — *ἄμφω αὗται αἱ ἀρχαί*] αὗται I^b. Q^b. V^b. P 4. A 1. 2. B 2. 3., ἄμφω αἱ αὗται ἀρχαὶ P 1., sed in marg. est nostra scriptura. — *καθεστᾶσιν*] καθιστᾶσιν (sic) A 1. (sed in eadem paullo post §. 10. recte legitur καθιστᾶσι) καθιστᾶσιν B 2. B 3., κατεστᾶσιν Zw. —

§. 9. *ὅταν εὐπορία τις ᾖ*] Vetus illa translatio secuta est exemplar, in quo erat ἀπορία, non ut nunc in excusis et scriptis etiam, quos vidi, legitur εὐπορία. Unde D. Thomas ita hunc locum accepit: *maxime quando ordinatur damnum vocatis si non venerint.* Victor. In exemplo Versoris *pecunia*, in Thomae *penuria* reperi. Schneid. — *πῶς γὰρ οἷόν τε κωλύειν ἐξιέναι*] *Fieri enim non potest, ut prohibere pauperum mulieres alterius sit quam paucorum potentiae, cum mulieres ipsorum in deliciis vivant.* Aret. plane diversam scripturam secutus. —

§. 10. *διαφοραὶ τρεῖς*] in τρεῖς mendum esse videbatur Camerar.; τινες pro τρεῖς scribi voluit Heins. Aut τινες aut δύο scribendum esse iudicat Schneiderus. — *ἐκ τινῶν*] τίνων hic et in seqq. male B 3. B 2., ἐκ τινων A 1. —

τιμήματι ἢ γένει ἢ ἀρετῇ ἤ τινι τοιούτῳ ἄλλῳ, ὥσπερ ἐν Μεγάροις ἐκ τῶν συγκατελθόντων καὶ συμμαχεσαμένων πρὸς τὸν δῆμον, καὶ ταῦτα ἢ αἱρέσει ἢ κλήρῳ.

oder aus gewissen dazu bestimmten; z. B. aus Denen, die sich durch ihren Census, oder durch ihr Geschlecht, oder durch ihre persönliche Vorzüglichkeit, oder durch sonst einen Vorzug der Art auszeichnen, wie in Megara aus Denen, welche zusammen emigrirt gewesen waren und gegen das Volk mitgefochten hatten; — endlich geschieht die Besetzung entweder durch Wahl oder durch's Loos.

11. Πάλιν ταῦτα συνδυαζόμενα, λέγω δὲ τὰς μὲν τινὲς τὰς δὲ πάντες, καὶ τὰς μὲν ἐκ πάντων τὰς δ' ἐκ τινῶν, καὶ τὰς μὲν αἱρέσει τὰς δὲ κλήρῳ. τούτων δ' ἑκάστης ἔσονται τῆς διαφορᾶς τρόποι τέσσαρες. ἢ γὰρ πάντες ἐκ πάντων αἱρέσει, ἢ πάντες ἐκ πάντων κλήρῳ, καὶ εἰ ἐξ ἁπάντων, ἢ ὡς ἀνὰ μέρος, οἷον κατὰ φυλὰς καὶ δήμους καὶ φρατρίας, ἕως ἂν διέλθῃ διὰ πάντων τῶν πολιτῶν· ἢ ἀεὶ ἐξ ἁπάντων * καὶ τὰ μὲν οὕτω τὰ δὲ ἐκείνως. πάλιν εἰ τινὲς οἱ καθιστάντες, ἢ ἐκ πάντων αἱρέσει ἢ ἐκ πάντων κλήρῳ, ἢ ἐκ τινῶν αἱρέσει ἢ ἐκ τινῶν κλήρῳ, ἢ τὰ μὲν οὕτω τὰ δ' ἐκείνως, λέγω δὲ τὰ μὲν ἐκ πάντων αἱρέσει τὰ δὲ κλήρῳ. ὥστε δώδεκα οἱ τρόποι γίνονται χωρὶς τῶν δύο συνδυασμῶν.

11. Wiederum diese Unterschiede zusammengefasst, ergiebt die dritten Unterschiede, d. h. einen Theil der Magistraten ernennen Einige, den andern Alle, und: einen Theil aus Allen, den andern aus Einigen, und: den Einen durch Wahl, den Andern durch's Loos. Für jeden von diesen drei Unterschieden würden sich wieder vier Fälle ergeben. Entweder nämlich ernennen Alle aus Allen durch Wahl, oder Alle aus Allen durch's Loos; und wenn aus Allen, entweder je nach der Eintheilung des Volks, z. B. nach Phylen, Demen und Phratrien, bis die Reihe durch alle Bürger hindurch gegangen ist, oder jederzeit aus der Gesammtmasse*; oder auch, es werden einige Magistraten auf diese, andere auf jene Weise ernannt. Sind dagegen nur Einige die Wähler, so ernennen sie entweder aus Allen durch Wahl, oder aus Allen durch's Loos, oder aus Einigen durch Wahl, und aus Einigen durch's Loos, oder sie ernennen die Einen auf diese, die Andern auf jene Art, d. h. aus Allen Einige durch Wahl, Andere durch's Loos. Somit ergeben sich also zwölf Fälle, mit Ausschluss der beiden Kombinationen.

12. Τούτων δ' αἱ μὲν δύο καταστάσεις δημοτικαί, τὸ πάντας ἐκ πάντων αἱρέσει ἢ κλήρῳ γίνεσθαι ἢ ἀμφοῖν, τὰς μὲν κλήρῳ τὰς δ' αἱρέσει τῶν ἀρχῶν· τὸ δὲ μὴ πάντας ἅμα μὲν καθιστάναι, ἐξ ἁπάντων δ' ἢ ἐκ τινῶν, ἢ κλήρῳ ἢ αἱρέσει ἢ ἀμφοῖν, ἢ τὰς μὲν ἐκ πάντων τὰς δ' ἐκ τινῶν ἀμφοῖν (τὸ δὲ ἀμφοῖν λέγω τὰς μὲν κλήρῳ τὰς δ' αἱρέσει), πολιτικόν. καὶ τὸ τινὰς ἐκ πάντων τὰς μὲν αἱρέσει καθιστάναι τὰς δὲ κλήρῳ ἢ ἀμφοῖν, τὰς μὲν κλήρῳ τὰς δ' αἱρέσει, ὀλιγαρχικόν· ὀλιγαρχικώτερον δὲ καὶ τὸ ἐξ ἀμφοῖν.

12. Von diesen sind nur die zwei Besetzungsarten, wo alle Magistraturen aus Allen entweder durch Wahl, oder durch's Loos, oder durch Beides, die Einen durch Wahl, die Andern durch's Loos, besetzt werden, demokratisch. Diejenigen aber, wo nicht Alle auf einmal ernennen, wohl aber entweder aus Allen und aus Einigen, durch's Loos oder durch Wahl, oder durch Beides; oder wo man die Einen aus Allen, die Andern aus Einigen auf beide Weise (d. h. die Einen durch's Loos, die Andern durch Wahl) ernennt, sind republikanisch. Und die, wo Einige aus Allen diese Aemter durch Wahl, jene durch's Loos besetzen, oder wo diese Einigen sie aus Beiden (d. h. sowohl aus Allen als aus einer gewissen Klasse) theils durch's Loos, theils durch Wahl ernennen, sind oligarchisch. Doch ist dabei das letztere Verfahren der Oligarchie noch entsprechender.

13. Τὸ δὲ τὰς μὲν ἐκ πάντων τὰς δ' ἐκ τινῶν πολιτικὸν ἀριστοκρατικῶς, ἢ τὰς μὲν αἱρέσει τὰς

13. Das Verfahren ferner, wo man einige Magistraturen aus Allen, die andern aus Einigen ernennt, ist

---

καὶ συμμαχεσαμένων πρὸς τὸν δῆμον] *qui una cum populo coniuncti redierunt* Aret. —

§. 11. συνδυαζόμενα] συνδυάζονται scribamus dum Codex integrior aliam nobis medelam suppeditaverit, ut concinnetur structura. Retinet tamen conatum mutandi similis locus infra (cp. 13, §. 4.) de iudiciis, ubi est ἔτι δὲ τὰ αὐτὰ συνδυαζόμενα, λέγω δέ. Schneid. — τέσσαρες] sic cum Bkk. B 3. 2. A 1. 2. rell. Schn., τέτταρες G. tacito. — καὶ εἰ ἐξ ἁπάντων] εἰ edidi c. Cor. et Goettl. e marg. P 1. Vulgo ἤ. — ἢ ὡς ἀνὰ μέρος] ἢ ut supervacaneum cum Schlossero [ ] Schn. Idem fecit Goettlingius, sed mutavit sententiam in Adnotatione. — φρατρίας] φατρίας Ib. Vb. — τῶν πολιτῶν] Sic A 2. Sylb. Lamb. Cas. Heins. Conr. Schn. Cor. Goettl. Bkk. πολιτικῶν Codd. Bekkeri et Goettl. omnes Vet. (*civiles*) A 1. B 2. B 3. (in qua πολιτῶν se invenisse dicit Schn.!) Vict. 2. Lut. Zw. rell.; Victorius „cives" vertit, de scripturae discrepantia nihil notans. — τὰ δ' ἐκείνως] Bekk., qui hic δὲ plene, paullo infra scripsit τὰ δ' ἐκείνως, secutus exemplum A 1. 2. B 2. 3. Zw. Vict. 2. Goettl. — *Ceterum in hoc loco verissime observavit Goettlingius, duo membra haec: καὶ πάντες ἐκ τινῶν αἱρέσει, ἢ πάντες ἐκ τινῶν κλήρῳ aut librariorum incuria excidisse post ἀεὶ ἐξ ἁπάντων, aut quod magis verisimile etiam nobis videtur, Aristotelem sagacitati legentium ea reliquisse supplenda. — πάλιν εἰ τινὲς] δὲ post πάλιν addit Aret., οἱ pro εἰ Qb. Vb. — ἐκ τινῶν] τίνων utroque loco mendose B 3., sed in hoc genere nec Aldinae nec Bass. ullius sunt auctoritatis. ἐκ τινων A 1. 2. B 2. Vict. 2. Zw. rell. Schn. Cor. — χωρὶς τῶν δύο] δύο est additamentum librarii alicuius, qui sententiam Aristotelis non perceperat. Igitur seclusimus, quod necessario abesse debebat. Goettl. Omisit vocabulum etiam Garvius, neque expressit Victor. At verissima est librorum mss. et edd. omnium scriptura prorsusque necessaria. Etenim duo συνδυασμοὶ oriantur necesse est, quatuor illis τρόποις uniuscuiusque διαφορᾶς ita inter se coniunctis et copulatis, ut utrique addatur τὰ μὲν αἱρέσει τὰ δὲ κλήρῳ. Velut: πάντες ἐκ πάντων τὰ μὲν αἱρέσει, τὰ δὲ κλήρῳ et sic deinceps. —

Cap. 3. Bkk. 11. Τὸ δὲ μετὰ τοῦτο ἀπορεῖται πῶς ἕξουσι τὸ ἴσον, πότερον δεῖ τὰ τιμήματα διελεῖν χιλίοις τὰ τῶν πεντακοσίων καὶ τοὺς χιλίους ἴσον δύνασθαι τοῖς πεντακοσίοις, ἢ οὐχ οὕτω δεῖ τιθέναι τὴν κατὰ τοῦτο ἰσότητα, ἀλλὰ διελεῖν μὲν οὕτως, ἔπειτα ἐκ τῶν πεντακοσίων ἴσους λαβόντα καὶ ἐκ τῶν χιλίων, τούτους κυρίους εἶναι τῶν διαιρέσεων καὶ τῶν δικαστηρίων. πότερον οὖν αὕτη ἡ πολιτεία δικαιοτάτη κατὰ τὸ δημοτικὸν δίκαιον, ἢ μᾶλλον ἡ κατὰ τὸ πλῆθος; φασὶ γὰρ οἱ δημοτικοὶ τοῦτο δίκαιον ὅ τι ἂν δόξῃ τοῖς πλείοσιν, οἱ δ' ὀλιγαρχικοὶ ὅ τι ἂν δόξῃ τῇ πλείονι οὐσίᾳ· κατὰ πλῆθος γὰρ οὐσίας φασὶ κρίνεσθαι δεῖν.

12. Ἔχει δ' ἀμφότερα ἀνισότητα καὶ ἀδικίαν· εἰ μὲν γὰρ ὅ τι ἂν οἱ ὀλίγοι, τυραννίς (καὶ γὰρ ἐὰν εἷς ἔχῃ πλείω τῶν ἄλλων εὐπόρων, κατὰ τὸ ὀλιγαρχικὸν δίκαιον ἄρχειν δίκαιος μόνος), εἰ δ' ὅ τι ἂν οἱ πλείους κατ' ἀριθμόν, [οὐκ] ἀδικήσουσι δημεύοντες τὰ τῶν πλουσίων καὶ ἐλαττόνων, καθάπερ εἴρηται πρότερον.

13. Τίς ἂν οὖν εἴη ἰσότης ἣν ὁμολογήσουσιν ἀμφότεροι, σκεπτέον ἐξ ὧν ὁρίζονται δικαίων ἀμφότεροι. λέγουσι γὰρ ὡς ὅ τι ἂν δόξῃ τοῖς πλείοσι τῶν πολιτῶν, τοῦτ' εἶναι δεῖ κύριον. ἔστω δὴ τοῦτο, μὴ μέντοι πάντως, ἀλλ' ἐπειδὴ δύο μέρη τετύχηκεν ἐξ ὧν ἡ πόλις, πλούσιοι καὶ πένητες, ὅ τι ἂν ἀμφοτέροις δόξῃ ἢ τοῖς πλείοσι, τοῦτο κύριον ἔστω· ἐὰν δὲ τἀναντία δόξῃ, ὅ τι ἂν οἱ πλείους καὶ ὧν τὸ τίμημα πλεῖον. οἷον οἱ μὲν δέκα οἱ δ' εἴκοσιν, ἔδοξε δὲ τῶν μὲν πλουσίων τοῖς ἕξ, τῶν δ' ἀπορωτέρων τοῖς πεντεκαίδεκα· προσγεγένηνται τοῖς μὲν πένησι τέτταρες τῶν πλουσίων, τοῖς δὲ πλουσίοις πέντε τῶν

merischem Verhältnisse gleiche Rechte haben) ergeben sich auch die Demokratie und die demokratische Volksgemeinde, die am meisten als solche gelten. Die Gleichheit der Rechte besteht nämlich darin, dass die Armen eben so gut wie die Reichen herrschen, und kein Theil allein die Souveränetät hat, sondern Alle insgesammt gleichmässig nach numerischem Verhältnisse. So nämlich, meinen die Demokraten, besitze der Staat Gleichheit und Freiheit.

11. Die nächste Frage ist nun: wie wird man diese Gleichheit erreichen? Soll man das Steuerkapital so eintheilen, dass z. B. Tausend so viel haben als Fünfhundert, und sollen dann die Tausend so viel politische Macht haben, als die Fünfhundert? oder soll man die Gleichheit nach diesem Princip nicht so festsetzen, sondern jene Abtheilung zwar beibehalten, dann aber aus den Tausend und aus den Fünfhundert eine gleiche Anzahl herausnehmen, welche dann die höchste Gewalt bei allen Berathungen und Gerichten haben würden? Es fragt sich also: ob diese Verfassung die gerechteste nach demokratischem Rechtsbegriffe ist oder vielmehr die, in welcher die Gesammtmasse des Volks regiert. Denn die Demokraten behaupten doch: gerecht sei, was die Mehrzahl beschliesse; die Oligarchen dagegen: was die Partei beschliesse, welche das meiste Vermögen besitze; sie behaupten nämlich, die Masse des Vermögens müsse die Entscheidung geben.

12. In beiden Principien aber ist Ungleichheit und Ungerechtigkeit. Soll das oligarchische gelten, so führt das zur Tyrannei (denn sobald dann Einer mehr Vermögen besitzt, als die übrigen Reichen zusammen, so hat er auch, eben nach dem oligarchischen Rechte, allein die Berechtigung zu herrschen); soll aber, was die Mehrzahl beschliesst, Recht sein, so wird sie nicht Unrecht thun, wenn sie sich das Vermögen der Reichen und an Zahl Geringeren aneignet, wie das früher gesagt worden ist.

13. Zur Beantwortung der Frage, welches die Gleichheit sei, in welcher beide Parteien übereinstimmen, müssen wir also von den beiderseitigen Definitionen des Gerechten ausgehen. Beide sagen nämlich: was die Mehrzahl der Bürger beschliesst, das muss Gesetz sein. Wir nehmen diesen Grundsatz an, nur freilich nicht in seiner ganzen Ausdehnung; da es zwei Theile sind, aus denen der Staat besteht, Reiche und Arme, so sei Das, was beide zusammen oder die Mehrzahl von beiden will, Gesetz; wenn aber die Meinungen entgegengesetzt sind, Das, was die Mehrzahl will, auf deren Seite zugleich das grössere Steuerkapital ist. Z. B. der Reichen sind zehn, der Armen zwanzig. Die eine Meinung vertreten sechs Reiche, die andere funfzehn Arme; den Armen haben sich vier Reiche, den Reichen fünf Arme angeschlossen. Auf welcher von beiden Seiten nun nach ge-

---

§. 10. ἡ μάλιστ'] ἢ pro ἡ Wb. — Ἴσον γὰρ τὸ μηθὲν μᾶλλον ἄρχειν τοὺς ἀπόρους ἢ τοὺς εὐπόρους] τοὺς ἀπόρους ἢ om. Rb. „Non me fallit Aretinum interpretem videri aliter legisse, i. e. τοὺς εὐπόρους ἢ τοὺς ἀπόρους, qui reddidit: *divites quam pauperes*; et sane in omni civitate locupletes se putant anteponendos. Ipse vero receptam lectionem mutare ausus non sum." Victor. p. 480. Aretini scriptura commodior videtur etiam Schneidero recepitque eam Cor. Sed cf. ea, quae diximus ad IV. cp. 4. §. 2. p. 97. — τῇ πολιτείᾳ] τῇ πόλει P 1. —

§. 11. τὰ τιμήματα] τὰ ἱμήματα A 1. Rb. Wb. — τούτους κυρίους εἶναι τῶν διαιρέσεων] Cum in omnibus libris, quos vidi, et scriptis et excusis legatur διαιρέσεων, puto hanc vocem mendum continere, sublataque praepositione legi debere αἱρέσεων, quemadmodum etiam non multo post auctor locutus est, cum inquit: μὴ μετέχωσι τῆς αἱρέσεως τῶν ἀρχῶν (cfr. cp. 2. §. 2.). Nam divisionibus locum hic non esse vidit etiam Sepulveda subtiliter, qui tamen vocem hanc maculosam esse non putavit, sed aliter accipiendam hoc loco, ac vulgo capi solet, censuit. Victor. Mendosum esse vulgatum censuit etiam Lamb., qui ἀρχαιρεσιῶν coniecit. αἱρέσεων ex A 2. recep. Schn. Cor. Goettl. Sed recte Sepulveda (ap. Schneider. Addend. p. 501.) „vulgatum ad consultandi intelligentiam vertendo retulit, et annotavit διαιρεῖν saepius ab Aristotele usurpari pro disserere et disceptare [cfr. Polit. IV, 3, 2. Eth. Nic. VI, cp. 1. §. 1.], διαίρεσιν autem pro disputatione et disceptatione; hic autem esse pro deliberatione et consultatione. Nam consultationem esse disputationem et disceptationem quandam." cfr. Dorvill. ad Chariton. p. 645. — πότερον οὖν αὕτη ἡ πολιτεία] Veterem versionem scripturam hanc: αὕτη ἡ κατὰ τὸ πλῆθος τῶν τιμημάτων reddidisse admonuit Victorius in priore editione. Schneid. — ἡ κατὰ τὸ πλῆθος] ἡ om Rb. —

§. 12. δίκαιον ἄρχειν δίκαιος μόνος] ἄρχοι Wb. A 1. 2. B 2. Goettl. — [οὐκ] ἀδικήσουσιν] οὐκ addidi de coniectura cum propter sententiae totius rationem universam tum propter locum illum, quem hic citat Aristoteles ipse III, cp. 6, §. 1. τί γάρ; ἂν οἱ πένητες διὰ τὸ πλείους εἶναι διανέμωνται τὰ τῶν πλουσίων τοῦτ' οὐκ ἄδικόν ἐστιν· ἔδοξε γάρ, νὴ Δία, τῷ κυρίῳ δικαίως.

§. 13. ὁμολογήσουσιν] ὁμολογοῦσιν Ib. — σκεπτέον ἐξ ὧν — ἀμφότεροι] om. Rb. et pr. Ib. — τοῦτ' εἶναι] Sic cum P 1. Ceteri τοῦτο εἶναι. Goettl. τοῦτ' etiam Bkk. tacite. — οἷον οἱ μὲν δέκα] εἰ post οἷον addunt P 1. Vict. 2. Zw. Schn. Cor. — προσγεγένηνται] προσγε-

πενήτων. ὁποτέρων οὖν τὸ τίμημα ὑπερτείνει συναριθμουμένων ἀμφοτέρων ἑκατέροις, τοῦτο κύριον.

schehener Zusammenrechnung das grössere Steuerkapital sich befindet, deren Wille ist Gesetz.

14. *Ἐὰν δὲ ἴσοι συμπέσωσι κοινὴν εἶναι ταύτην νομιστέον ἀπορίαν ὥςπερ νῦν, ἐὰν δίχα ἡ ἐκκλησία γένηται ἢ τὸ δικαστήριον· ἢ γὰρ ἀποκληρωτέον ἢ ἄλλο τι τοιοῦτον ποιητέον. ἀλλὰ περὶ μὲν τοῦ ἴσου καὶ τοῦ δικαίου, κἂν ᾖ πάνυ χαλεπὸν εὑρεῖν τὴν ἀλήθειαν περὶ αὐτῶν, ὅμως ῥᾷον τυχεῖν ἢ συμπεῖσαι τοὺς δυναμένους πλεονεκτεῖν· ἀεὶ γὰρ ζητοῦσι τὸ ἴσον καὶ τὸ δίκαιον οἱ ἥττους, οἱ δὲ κρατοῦντες οὐδὲν φροντίζουσιν.*

14. Sollte dasselbe aber auf beiden Seiten gleich sein, so hatte man dies für dieselbe Schwierigkeit anzusehn, welche auch heutzutage eintritt, wenn die Volksversammlung oder der Gerichtshof sich in zwei gleiche Hälften spaltet; es muss dann nämlich entweder durchs Loos entschieden, oder sonst ein ähnliches Auskunftsmittel angewendet werden. Allein ob es gleich schon schwer genug ist, im Betreff Dessen, was gleich und gerecht sei, die Wahrheit zu finden, so ist es doch noch leichter dies zu erreichen, als Die, welche die Gewalt, ihren Vortheil zu betreiben, in Händen haben, zu bewegen, dasselbe anzuerkennen. Denn immer verlangen nach Gleichheit und Gerechtigkeit die Schwächern, die Starken aber kümmern sich wenig darum.

CAP. II.

Cap. 4. Bkk. 1. *Δημοκρατιῶν δ' οὐσῶν τεττάρων βελτίστη μὲν ἡ πρώτη τάξει, καθάπερ ἐν τοῖς πρὸ τούτων ἐλέχθη λόγοις· ἔστι δὲ καὶ ἀρχαιοτάτη πασῶν αὕτη. λέγω δὲ πρώτην ὥςπερ ἄν τις διέλοι τοὺς δήμους· βέλτιστος γὰρ δῆμος ὁ γεωργικός ἐστιν, ὥστε καὶ ποιεῖν ἐνδέχεται δημοκρατίαν, ὅπου ζῇ τὸ πλῆθος ἀπὸ γεωργίας ἢ νομῆς. διὰ μὲν γὰρ τὸ μὴ πολλὴν οὐσίαν ἔχειν ἄσχολος, ὥστε μὴ πολλάκις ἐκκλησιάζειν· διὰ δὲ τὸ μὴ ἔχειν τἀναγκαῖα πρὸς τοῖς ἔργοις διατρίβουσι καὶ τῶν ἀλλοτρίων οὐκ ἐπιθυμοῦσιν, ἀλλ' ἥδιον τὸ ἐργάζεσθαι τοῦ πολιτεύεσθαι καὶ ἄρχειν, ὅπου ἂν μὴ ᾖ λήμματα μεγάλα ἀπὸ τῶν ἀρχῶν. οἱ γὰρ πολλοὶ μᾶλλον ὀρέγονται τοῦ κέρδους ἢ τῆς τιμῆς. σημεῖον δέ· καὶ γὰρ καὶ τὰς ἀρχαίας τυραννίδας ὑπέμενον καὶ τὰς ὀλιγαρχίας ὑπομένουσιν, ἐάν τις αὐτοὺς ἐργάζεσθαι μη κωλύῃ μηδ' ἀφαιρῆται μηθέν· ταχέως γὰρ οἱ μὲν πλουτοῦσιν αὐτῶν, οἱ δ' οὐκ ἀποροῦσιν.*

Kap. II.

1. Von den vier Demokratieen, welche es giebt, ist die beste, die der Ordnung nach erste, wie das in den frühern Vorträgen gesagt wurde. Sie ist aber auch zugleich die älteste von allen. Wenn ich die erste sage, so habe ich dabei die Eintheilung der verschiedenen Volksmassen einer Republik im Auge. Hier ist nämlich die beste die ackerbautreibende; daher denn auch überall eine Demokratie zu gründen möglich ist, wo die Masse von Ackerbau oder Viehzucht lebt. Denn da sie nicht viel Vermögen besitzt, so hat sie keine Zeit zu häufigen Volksversammlungen, und da die Leute sich die nothwendigen Lebensbedürfnisse erst erarbeiten müssen, so sind sie eifrig hinter ihrem Tagewerke her und verlangen nicht, sich um fremde Angelegenheiten zu kümmern, sondern ziehen ihre Arbeit der Theilnahme an den Staatsangelegenheiten und der Herrschaft vor, wofern nicht die Staatsämter etwa grossen Gewinn eintragen. Denn die Menge strebt mehr nach Gewinn als nach Ehre. Beweis dafür ist, dass sie ja auch vor Alters die Tyrannenherrschaften ertrugen, wie sie jetzt die Oligarchieen ertragen, wenn man sie nur ungestört ihrem Geschäft nachgehn und ihr Eigenthum ungeschmälert lässt. Denn während so ein Theil von ihnen bald reich wird, leidet der andere doch wenigstens keinen Mangel.

2. *Ἔτι δὲ τὸ κυρίους εἶναι τοῦ ἑλέσθαι καὶ εὐθύνειν ἀναπληροῖ τὴν ἔνδειαν, εἴ τι φιλοτιμίας ἔχουσιν, ἐπεὶ παρ' ἐνίοις δήμοις, κἂν μὴ μετέχωσι τῆς αἱρέσεως τῶν ἀρχῶν ἀλλά τινες αἱρετοὶ κατὰ μέρος ἐκ πάντων, ὥςπερ ἐν Μαντινείᾳ, τοῦ δὲ βουλεύεσθαι κύριοι ὦσιν, ἱκανῶς ἔχει τοῖς πολλοῖς. καὶ δεῖ νομίζειν καὶ τοῦτ' εἶναι σχῆμά τι δημοκρατίας, ὥςπερ ἐν Μαντινείᾳ ποτ' ἦν.*

2. Dazu kommt, dass, falls sie ja einigen politischen Ehrgeiz haben, dieser durch das Recht, ihre Magistraten zu wählen und zur Rechenschaft zu ziehen, vollkommen befriedigt wird: ja in einigen Staaten, wo nicht Alle Antheil an der Wahl der Magistraten haben, sondern nur einige aus Allen wechselsweise Ausgewählte, wie zu Mantineia, und wo nur das Recht der Theilnahme an der Berathschlagung Allen gemeinsam ist, genügt auch diess der Menge. Und doch hat man auch dies für eine Form der Demokratie zu halten, wie sie denn in Mantineia einst wirklich bestand.

3. *Διὸ δὴ καὶ συμφέρον ἐστὶ τῇ πρότερον ῥηθείσῃ δημοκρατίᾳ καὶ ὑπάρχειν εἴωθεν, αἱρεῖσθαι μὲν τὰς ἀρχὰς καὶ εὐθύνειν καὶ δικάζειν πάντας, ἄρχειν δὲ τὰς μεγίστας αἱρετοὺς καὶ ἀπὸ τιμημάτων, τὰς μείζους ἀπὸ μειζόνων, ἢ καὶ ἀπὸ τιμημάτων μὲν μηδεμίαν, ἀλλὰ τοὺς δυναμένους. ἀνάγκη δὲ πολιτευομένους οὕτω πολιτεύεσθαι κα-*

3. Daher ist es denn auch für die oben erwähnte Demokratie nicht nur zuträglich, sondern pflegt auch mit derselben verbunden zu sein, dass die Wahl der Magistraten die Abnahme der Rechenschaft und das Recht, in Gerichtshöfen zu sitzen, zwar Allen zukomme, dass aber die höchsten Staatsämter durch Wahl und mit Rücksicht auf das steuerbare Vermögen besetzt werden, und zwar so, dass letzteres im Verhältniss zu den erste-

---

νηνται A 1. B 2. 3. — *τοῦτο κύριον*] *τοῦτο δίκαιον* Rb. —

Cap. II. §. 1. *ἡ πρώτη τάξει*] vel, ut in quodam exemplari, *ἡ πρώτη τάξις* CAMER. Eadem scriptura est B 3., quam hic inspexisse videtur Camerarius. — *διέλοι*] *διέλῃ* P 1. Goettl., *διέλη* Ib. — *ὥςτε καὶ ποιεῖν ἐνδέχεται δημοκρατίαν*] Non est improbabilis Camerarii (p. 252.) suspicio, addi debere *βελτίστην* ante *ἐνδέχεται*. Hanc emendationem pro sua venditavit Conringius. Confirmare poterat ex §. 4. SCHNEID. Sed ita scribendum erat *τὴν βελτίστην* GOETTL. — *ἢ τῆς τιμῆς*] *ἢ* om Ib. — *καὶ γὰρ καὶ*] *καὶ* post *γὰρ* om. BKK. cum 7. codd. Sed est particula in Rb. Wb. P 1. 2. 3. 4. Vet. Ar. A 1. 2. B 2. 3. Vict. 2. Zw. Sylb. Cas. all. Schn. Cor. Goettl. — *τυραννίδας ὑπέμενον καὶ τὰς ὀλιγαρχίας*] om. Wb. —

§. 2. *ὥςπερ ἐν Μαντινείᾳ*] haec () Zw. — *εἶναι σχῆμά τι*] *εἶναι οἷον σχῆμά τι* (*tamquam formam aliquam*) Aret. —

§. 3. *συμφέρον ἐστὶ*] *συμφέρον εἴη* Wb. —

λῶς (αἵ τε γὰρ ἀρχαὶ ἀεὶ διὰ τῶν βελτίστων ἔσονται τοῦ δήμου βουλομένου καὶ τοῖς ἐπιεικέσιν οὐ φθονοῦντος) καὶ τοῖς ἐπιεικέσι καὶ γνωρίμοις ἀρκοῦσαν εἶναι ταύτην τὴν τάξιν· ἄρξονται γὰρ οὐχ ὑπ' ἄλλων χειρόνων, καὶ ἄρξουσι δικαίως διὰ τὸ τῶν εὐθυνῶν εἶναι κυρίους ἑτέρους.

4. Τὸ γὰρ ἐπανακρέμασθαι, καὶ μὴ πᾶν ἐξεῖναι ποιεῖν ὅ τι ἂν δόξῃ, συμφέρον ἐστίν· ἡ γὰρ ἐξουσία τοῦ πράττειν ὅ τι ἂν ἐθέλῃ τις οὐ δύναται φυλάττειν τὸ ἐν ἑκάστῳ τῶν ἀνθρώπων φαῦλον. ὥστε ἀναγκαῖον συμβαίνειν ὅπερ ἐστὶν ὠφελιμώτατον ἐν ταῖς πολιτείαις, ἄρχειν τοὺς ἐπιεικεῖς ἀναμαρτήτους ὄντας, μηδὲν ἐλαττουμένου τοῦ πλήθους. ὅτι μὲν οὖν αὕτη τῶν δημοκρατιῶν ἀρίστη, φανερόν, καὶ διὰ τίν' αἰτίαν, ὅτι διὰ τὸ ποιόν τινα εἶναι τὸν δῆμον.

5. Πρὸς δὲ τὸ κατασκευάζειν γεωργὸν τὸν δῆμον τῶν τε νόμων τινὲς τῶν παρὰ τοῖς πολλοῖς κειμένων τὸ ἀρχαῖον χρήσιμοι πάντες, ἢ τὸ ὅλως μὴ ἐξεῖναι κεκτῆσθαι πλείω γῆν μέτρου τινὸς ἢ ἀπό τινος τόπου πρὸς τὸ ἄστυ καὶ τὴν πόλιν. ἦν δὲ τό γε ἀρχαῖον ἐν πολλαῖς πόλεσι νενομοθετημένον μηδὲ πωλεῖν ἐξεῖναι τοὺς πρώτους κλήρους. ἔστι δὲ καὶ ὃν λέγουσιν Ὀξύλου νόμον εἶναι τοιοῦτόν τι δυνάμενος, τὸ μὴ δανείζειν εἴς τι μέρος τῆς ὑπαρχούσης ἑκάστῳ γῆς.

6. Νῦν δὲ δεῖ διορθοῦν καὶ τῷ Ἀφυταίων νόμῳ· πρὸς γὰρ ὃ λέγομεν ἐστὶ χρήσιμος. ἐκεῖνοι γάρ, καίπερ ὄντες πολλοὶ κεκτημένοι δὲ γῆν ὀλίγην, ὅμως πάντες γεωργοῦσιν· τιμῶνται γὰρ οὐχ ὅλας τὰς κτήσεις, ἀλλὰ κατὰ τηλικαῦτα μόρια διαιροῦντες ὥστ' ἔχειν ὑπερβάλλειν ταῖς τιμήσεσι καὶ τοὺς πένητας.

7. Μετὰ δὲ τὸ γεωργικὸν πλῆθος βέλτιστος δῆμός ἐστιν ὅπου νομεῖς εἰσὶ καὶ ζῶσιν ἀπὸ βο-

ren steigt; oder aber, dass bei keinem Amte auf das Vermögen, sondern nur auf die Fähigkeit gesehen wird. In diesem Falle muss nothwendig der Staat gut verwaltet werden — denn die Aemter werden immer in den Händen der Besten sein, und zwar mit Zustimmung des Volks und ohne dass es die Gebildeten beneidete — und die Gebildeten und Vornehmen werden mit dieser Einrichtung zufrieden sein, in deren Folge sie nicht von andern Geringern beherrscht werden, und sie werden gerecht ihre Aemter verwalten, weil Andere befugt sind, sie zur Rechenschaft zu ziehen.

4. Von Andern abhängig zu sein und nicht in allen Stücken thun zu können, was Einem beliebt, ist nämlich ein gar heilsam Ding. Denn die Freiheit, zu thun was man will, ist nicht geeignet, das in jedem Menschen befindliche Böse in Schranken zu halten. So muss also bei jener Einrichtung Das erfolgen, was für die Staaten das Heilsamste ist, dass die tüchtigen Leute regieren, ohne sich Ungerechtigkeiten zu erlauben, während das Volk in Nichts geschmälert wird. Dass dies also die beste Demokratie sei, ist klar, so wie auch warum, nämlich weil das Volk in ihr gerade so und nicht anders beschaffen ist.

5. Um aber das Volk zu einem ackerbautreibenden zu machen, dazu dienen insgesammt gewisse alte Gesetze in vielen Staaten, indem man entweder überhaupt verbot, über ein gewisses Maass Land zu besitzen, oder doch innerhalb einer gewissen Entfernung von der Burg und der Stadt. Auch bestand vor Alters in vielen Staaten ein Gesetz, welches den Verkauf der Stammgrundstücke verbot. Eben dahin zielt auch ein Gesetz, welches man dem Oxylos zuschreibt, dass ein bestimmter Theil jedes Familiengrundstücks schuldenfrei bleiben solle.

6. Heutzutage muss man auch das Gesetz der Aphytäer zu Hülfe nehmen, weil es gleichfalls zu unserm Zwecke dienlich ist. Diese besitzen nämlich bei grosser Bürgerzahl nur wenig Land, und treiben doch alle Ackerbau. Sie werden nämlich nicht nach ihren gesammten Besitzungen geschätzt, sondern nach so kleinen Portionen, dass die Möglichkeit gegeben ist, dass auch die Armen an Schatzung politisch das Uebergewicht haben.

7. Nächst der ackerbautreibenden Volksmasse ist das beste Volk da vorhanden, wo die Leute als Hirten

τοῦ δήμου βουλομένου] βουλευομένου margo P 1. et margo B 3., *consulente* Vet. — ἄρξονται γάρ] δὲ pro γὰρ Zw. —

§. 4. συμφέρον] φανερὸν Rb. — φαῦλον] *tribuale* Vet. — ὠφελιμώτατον] *quod est maximus profectus* (ὄφελος μέγιστον?) Vet.; *quod est maximi profectus* Thom. — μηδὲν ἐλαττουμένου] Sic prim. Cor. et Goettl. ex P 2. idemque recepit ex 7 codd. Bkk. Vulgo legebatur μηδέ, quod est in Rb. Wb. P 1. 3. 4. et edd. rell. — τῶν δημοκρατιῶν] τ. δημοκρατικῶν Rb. —

§. 5. τῶν τε νόμων] τῶν [τε] νόμων Cor. — ἢ τὸ ὅλως μὴ ἐξεῖναι κεκτῆσθαι] Camerar. (p. 253.): *haec scriptura vera est*, diversa igitur alicubi extet oportet. Schn. Ego nullam inveni. — ἀπό τινος τόπου] τινος om. Rb. — τοὺς πρώτους κλήρους] Cum in quodam exemplari sit τοὺς πρώτους κλήρους, veram puto esse hanc scripturam τοὺς πατρῴους κλήρους. Camer. Invenit Camerar. scripturam suam in A 2., qua usum esse eum in scholiis conscribendis diximus ad V. cap. 3. §. 3. Scripturam A 2. temere receper. Schn. Cor. Recte enim Goettlingius: „Sermo est" (inquit) „de cleruchiis. V. Boeckh Staatshaush. d. Ath. I, p. 456. Quos hic πρώτους κλήρους dicit Aristot. II, cp. 4. (§. 4.) παλαιοὺς κλήρους dixerat." — δυνάμενος] δυνάμενον P 1. —

§. 6. Ἀφυταίων] Ἀφυτάλων Ib. Rb. Wb. P 1. 2. 3. A 1. 2. B 2. B 3. Vict. 2. et Codd. Victorii omnes Ἀφυτιάλων Zw. Vulgatum correxere eodem fere tempore Sepulveda, Camerarius, Lambinus. Recepit et confirmavit emendationem Sylburgius (quem primum emendationis auctorem non recte dicit Goettl.), quem secuti sunt recentiores. Camerarius: „corruptam scripturam in omnibus sane, quos vidi, libris editam esse suspicor et reponendum Ἀφυταίων. Fuit autem Ἀφύτη nomen urbis Thracicae in regione Pellenea, quae et Ἄφυτις apud Xenophontem. Sic enim ille Hellenic. V.: τὸ ἐν Ἀφύτει τοῦ Διονύσου ἱερόν". — Sylburgius: „Ἀφυταίων legendum esse docet Heraclides sub finem libelli περὶ πολιτειῶν. Stephanus Byzantinus oppidum huius populi triplici fine prolatum fuisse refert Ἄφυτιν, Ἀφύτην et Ἀφύτειαν; cives autem quadrifariam Ἀφυτιεῖς, Ἀφυταίους, Ἀφυτεῖς et Ἀφυτηαίους." Nec ignota erat vera scriptura Victorio, qui p. 487.: „Qui fuerint autem hi, quos Φυτάλους vocat, plane mihi cognitum non est: nec tamen puto significari ab auctore hoc verbo populum aliquem, ut nonnulli fecerunt, cum quibus in hoc minime sentio, praesertim cum fateantur, se nomen hoc ut gentis alicuius nullibi reperisse, temptentque contaminare lectionem: sed potius ordinem quendam hominum, quibus conveniret aliquo modo in hoc ipso quod narrat. Quin autem φυταλιαὶ a Graecis vocati sint horti et agrorum partes, summo studio consitae arboribus, dubium non est. Unde a contrario ἀφύταλοι appellari potuere, qui carerent huiuscemodi agris; in nomen tamen hoc ita iunctum numquam incidi". De re ipsa Goettl. citat Kortüm. l. c. p. 11 sq. Tittmann, Darstell. d. griech. Staatsverf. p. 379., quorum prior recte exposuit instituti Aphytaeensis sententiam. — κεκτημένοι δὲ] δὴ pro δὲ Rb. —

σχημάτων· πολλὰ γὰρ ἔχει τῇ γεωργίᾳ παραπλησίως, καὶ τὰ πρὸς τὰς πολεμικὰς πράξεις μάλισθ' οὗτοι γεγυμνασμένοι τὰς ἕξεις καὶ χρήσιμοι τὰ σώματα καὶ δυνάμενοι θυραυλεῖν. τὰ δ' ἄλλα πλήθη πάντα σχεδόν, ἐξ ὧν αἱ λοιπαὶ δημοκρατίαι συνεστᾶσι, πολλῷ φαυλότερα τούτων· ὁ γὰρ βίος φαῦλος, καὶ οὐδὲν ἔργον μετ' ἀρετῆς ὧν μεταχειρίζεται τὸ πλῆθος τό τε τῶν βαναύσων καὶ τὸ τῶν ἀγοραίων ἀνθρώπων καὶ τὸ θητικόν. ἔτι δὲ διὰ τὸ περὶ τὴν ἀγορὰν καὶ τὸ ἄστυ κυλίεσθαι πᾶν τὸ τοιοῦτον γένος ὡς εἰπεῖν ῥαδίως ἐκκλησιάζει· οἱ δὲ γεωργοῦντες διὰ τὸ διεσπάρθαι κατὰ τὴν χώραν οὔτ' ἀπαντῶσιν οὔθ' ὁμοίως δέονται τῆς συνόδου ταύτης.

und von der Viehzucht leben; denn diese Lebensweise hat viel Aehnlichkeit mit dem Ackerbau, und für den Kriegsdienst sind eben diese Leute durch ihre Lebensgewohnheiten vorzüglich geübt, ihre Leibesbeschaffenheit passend und Tag und Nacht unter freiem Himmel zu leben ihnen ein Leichtes. Alle andere Arten von Volksmassen, aus denen die übrigen Demokratieen bestehen, sind insgesammt viel schlechter, als die genannten. Denn ihre Lebensbeschäftigung ist schlechter und keine der Beschäftigungen, welche die Masse der niederen Handwerker, Krämer oder Tagelöhner betreibt, erfordert oder übt geistige Tüchtigkeit. Dazu kommt, dass so zu sagen diese Menschenklasse insgesammt, weil sie sich beständig auf dem Markte und in der Stadt umhertreibt, ein Freund von Volksversammlungen ist, während die Ackerbautreibenden, weil sie auf dem Lande zerstreut sind, weder zur rechten Zeit sich dazu einfinden können, noch in gleichem Grade sich um diese Zusammenkunft bekümmern.

8. Ὅπου δὲ καὶ συμβαίνει τὴν χώραν τὴν θέσιν ἔχειν τοιαύτην ὥστε τὴν χώραν πολὺ τῆς πόλεως ἀπηρτῆσθαι, ῥᾴδιον καὶ δημοκρατίαν ποιεῖσθαι χρηστὴν καὶ πολιτείαν· ἀναγκάζεται γὰρ τὸ πλῆθος ἐπὶ τῶν ἀγρῶν ποιεῖσθαι τὰς ἀποικίας, ὥστε δεῖ, κἂν ἀγοραῖος ὄχλος ᾖ, μὴ ποιεῖν ἐν ταῖς δημοκρατικαῖς ἐκκλησίας ἄνευ τοῦ κατὰ τὴν χώραν πλήθους. πῶς μὲν οὖν δεῖ κατασκευάζειν τὴν βελτίστην καὶ πρώτην δημοκρατίαν, εἴρηται· φανερὸν δὲ καὶ πῶς τὰς ἄλλας· ἑπομένως γὰρ δεῖ παρεκβαίνειν καὶ τὸ χεῖρον ἀεὶ πλῆθος χωρίζειν.

8. Wo nun aber überdies die Lage des Landes eine solche ist, dass das bebaute Land weit von der Stadt entlegen ist, da kann man leicht sowohl Demokratie von guter Art, als selbst Republik schaffen; hier ist nämlich das Volk gezwungen, sich auf den Ländereien selbst anzusiedeln; man muss also, selbst wenn ein zahlreicher Stadtpöbel vorhanden ist, in demokratischen Staaten Volksversammlungen ohne die auf dem Lande wohnende Volksmasse anstellen. Wie man also die beste und erste Demokratie einrichten muss, ist gesagt. Daraus erhellt auch, wie man die übrigen einrichten müsse. Man muss nämlich von der ersten in entsprechendem Verhältnisse abweichen, und immer die schlechtere Volksmasse vom Staatsregiment entfernen.

9. Τὴν δὲ τελευταίαν, διὰ τὸ πάντας κοινωνεῖν, οὔτε πάσης ἐστὶ πόλεως φέρειν, οὔτε ῥᾴδιον διαμένειν μὴ τοῖς νόμοις καὶ τοῖς ἔθεσιν εὖ συγκειμένην· ἃ δὲ φθείρειν συμβαίνει καὶ ταύτην καὶ τὰς ἄλλας πολιτείας, εἴρηται πρότερον τὰ πλεῖστα σχεδόν. πρὸς δὲ τὸ καθιστάναι ταύτην τὴν δημοκρατίαν, καὶ τὸν δῆμον ποιεῖν ἰσχυρὸν εἰώθασιν οἱ προεστῶτες τῷ προσλαμβάνειν ὡς πλείστους καὶ ποιεῖν πολίτας μὴ μόνον τοὺς γνησίους ἀλλὰ καὶ τοὺς νόθους καὶ τοὺς ἐξ ὁποτερουοῦν πολίτου, λέγω δὲ οἷον πατρὸς ἢ μητρός· ἅπαν γὰρ οἰκεῖον τοῦτο τῷ τοιούτῳ δήμῳ μᾶλλον.

9. Was nun aber die letzte Art der Demokratie betrifft, wo Alle an der Regierung Theil nehmen, so kann dieselbe weder jeder beliebige Staat ertragen, noch kann sie sich andrerseits halten, wenn nicht gute Gesetze und Sitten im Verein ihr zu Hülfe kommen. Von den Ursachen aber, welche das Verderben sowohl dieser als der übrigen Staatsverfassungen herbeiführen, ist früher ziemlich ausführlich die Rede gewesen. Um aber diese Art von Demokratie herzustellen, pflegen die Häupter der Volkspartei die niedere Bürgerklasse dadurch zu verstärken, dass sie möglichst Viele darunter aufnehmen und zu Bürgern machen, nicht blos die ehelichen, sondern auch die unehelichen Kinder und die, welche nur von einer, nämlich entweder nur von Vater- oder von Mutterseite bürgerlicher Abkunft sind. Denn alles dieses Gelichter ist für eine solche Demokratie mehr geeignet.

10. Εἰώθασι μὲν οὖν οἱ δημαγωγοὶ κατασκευάζειν οὕτως, δεῖ μέντοι προσλαμβάνειν μέχρις ἂν ὑπερτείνῃ τὸ πλῆθος τῶν γνωρίμων καὶ τῶν μέσων, καὶ τούτου μὴ πέρα προβαίνειν· ὑπερβάλλοντες γὰρ ἀτακτοτέραν τε ποιοῦσι τὴν πολιτείαν, καὶ τοὺς γνωρίμους πρὸς τὸ χαλεπῶς ὑπομένειν τὴν δημοκρατίαν παροξύνουσι μᾶλλον, ὅπερ συνέβη τῆς στάσεως αἴτιον γενέσθαι περὶ Κυρήνην· ὀλίγον μὲν γὰρ πονηρὸν παρορᾶται, πολὺ δὲ γινόμενον ἐν ὀφθαλμοῖς μᾶλλόν ἐστιν.

10. So pflegen nun also die Demagogen zu verfahren; jedoch darf man das nur so lange treiben, bis das Uebergewicht der Masse über die Vornehmen und den Mittelstand erreicht ist, und dann nicht weiter gehen. Denn ein Uebermaass hierin vergrössert die Unordnung im Staate und treibt die Vornehmen, welche die unerträgliche Last einer solchen Demokratie schwer empfinden, zur Erbitterung, wie denn auch in Kyrene dies die Ursache der Revolution wurde. Denn ein kleiner Uebelstand wird wohl übersehen, wird er aber gross, so fällt er nur um so mehr in die Augen.

---

§. 7. καὶ τὰ πρὸς τὰς] Equidem articulum τὰ abesse malim. Schneid. — θυραυλεῖν] venari Vet. — τό τε τῶν] τῶν τε τῶν Rb. — τὴν χώραν — τὴν χώραν] ἢ τὰς δυοπρώτας ἢ τὰς τελευταίας λέξεις ἀποκλειστέον μοι δοκεῖ τοῦ κειμένου. ΚΟΡΑΗΣ. —

§. 8. ποιεῖσθαι τὰς ἀποικίας] facere habitacula Vet.; pro ἀποικίας Cor. edidit ἐποικίας. — ὥστε δεῖ] δεῖ inducendum esse putat Cor., omisit Aret. — ποιεῖν] ποιεῖ Aret. — ἐν ταῖς δημοκρατικαῖς ἐκκλησίας] restituimus scripturam codd. mss. et edd. vett. omnium. Nam ἐκκλησίαις, quod in codd. suis omnibus invenit Bekkerus, nihil moramur. δημοκρατίαις, quod coniecer. Camer. et Lamb., recep. Cas. Schn. Cor. Bekker., cfr. ad VI, cp. 1. §. 3. — παρεκβαίνειν] προβαίνειν coniecit Heins. —

§. 9. καὶ ταύτην] καὶ om. Wb. A 1. 2. B 2. 3. Goettl. — εἴρηται πρότερον] εἴρηται μὲν πρότερον Rb. — τῷ προσλαμβάνειν] τῷ omisi cum Vet. Heins. et Conringio. Schneid.; abest τῷ etiam a B 3.; comma, quod in edd. omnibus est post ἰσχυρόν, recte delevit Bekker. — καὶ ποιεῖν πολίτας] καὶ seclusit Cor. — καὶ τοὺς νόθους] om. Wb. A 1. 2. B 2. 3. [ ] Sylb. Cas. om. Goettl. — ὁποτερουοῦν] ὁποτεροσοῦν Rb. — οἰκεῖον τοῦτο] τοῦτο omis. Vet. —

§. 10. οὕτως] οὕτω G. Schn. ut est in A 1. 2. B 2. 3. Vict. 2. Zw. Sylb. Cas.

11. Ἔτι δὲ καὶ τὰ τοιαῦτα κατασκευάσματα χρήσιμα πρὸς τὴν δημοκρατίαν τὴν τοιαύτην, οἷς Κλεισθένης τε Ἀθήνησιν ἐχρήσατο βουλόμενος αὐξῆσαι τὴν δημοκρατίαν, καὶ περὶ Κυρήνην οἱ τὸν δῆμον καθιστάντες. φυλαί τε γὰρ ἕτεραι ποιητέαι πλείους καὶ φρατρίαι, καὶ τὰ τῶν ἰδίων ἱερῶν συνακτέον εἰς ὀλίγα καὶ κοινά, καὶ πάντα σοφιστέον ὅπως ἂν ὅτι μάλιστα ἀναμιχθῶσι πάντες ἀλλήλοις, αἱ δὲ συνήθειαι διαζευχθῶσιν αἱ πρότερον.

11. Ferner sind für eine solche Demokratie auch Veranstaltungen von der Art heilsam, wie sie Klisthenes, um die Demokratie zu stärken, in Athen anwandte, und die Gründer der Demokratie zu Kyrene. Es gilt nämlich einerseits, andere Phylen und Phratrien und zwar in grösserer Anzahl einzusetzen, und andrerseits, die Privatkultvereine und Feste auf wenige und allgemeine zu beschränken, und überhaupt Alles aufzubieten, um alle Stände möglichst untereinander zu vermischen und die früheren Genossenschaften aufzulösen.

12. Ἔτι δὲ καὶ τὰ τυραννικὰ κατασκευάσματα δημοτικὰ δοκεῖ πάντα, λέγω δ' οἷον ἀναρχία τε δούλων (αὕτη δ' ἂν εἴη μέχρι του συμφέρουσα) καὶ γυναικῶν καὶ παίδων, καὶ τὸ ζῆν ὅπως τις βούλεται παρορᾶν. πολὺ γὰρ ἔσται τὸ τῇ τοιαύτῃ πολιτείᾳ βοηθοῦν· ἥδιον γὰρ τοῖς πολλοῖς τὸ ζῆν ἀτάκτως ἢ τὸ σωφρόνως.

12. Endlich sind auch die früher besprochenen tyrannischen Institute insgesammt für diese Art der Demokratie geeignet, so z. B. freiere Stellung der Sklaven (welche bis auf einen gewissen Grad wohl nützlich sein dürfte), sowie der Weiber und Kinder, und die Nachsicht, welche Jedem stillschweigend gestattet, zu leben, wie er will. Denn dadurch vergrössert sich die Zahl Derjenigen, welche eine solche Verfassung mit Leib und Leben unterstützen, bedeutend; denn dem grossen Haufen ist ein solches ungebundenes Leben viel angenehmer als ein der Zucht unterworfenes.

CAP. III.

Cap. 5. Bkk. 1. Ἔστι δ' ἔργον τοῦ νομοθέτου καὶ τῶν βουλομένων συνιστάναι τινὰ τοιαύτην πολιτείαν οὐ τὸ καταστῆσαι μέγιστον ἔργον οὐδὲ μόνον, ἀλλ' ὅπως σώζηται μᾶλλον· μίαν γὰρ ἢ δύο ἢ τρεῖς ἡμέρας οὐ χαλεπὸν μεῖναι πολιτευομένους ὁπωσοῦν. διὸ δεῖ, περὶ ὧν τεθεώρηται πρότερον, τίνες σωτηρίαι καὶ φθοραὶ τῶν πολιτειῶν, ἐκ τούτων πειρᾶσθαι κατασκευάζειν τὴν ἀσφάλειαν, εὐλαβουμένους μὲν τὰ φθείροντα, τιθεμένους δὲ τοιούτους νόμους καὶ τοὺς ἀγράφους καὶ τοὺς γεγραμμένους οἳ περιλήψονται μάλιστα τὰ σώζοντα τὰς πολιτείας, καὶ μὴ νομίζειν τοῦτ' εἶναι δημοτικὸν μηδ' ὀλιγαρχικὸν ὃ ποιήσει τὴν πόλιν ὅτι μάλιστα δημοκρατεῖσθαι ἢ ὀλιγαρχεῖσθαι, ἀλλ' ὃ πλεῖστον χρόνον.

Kap. III.

1. Es ist aber für den Gesetzgeber und für Die, welche eine Demokratie dieser Art schaffen wollen, weder das schwerste noch das einzige Werk, sie überhaupt nur zu errichten, sondern vielmehr sie so zu errichten, dass sie Bestand habe. Denn einen oder zwei bis drei Tage kann sich leicht jeder beliebige Zustand eines Staats halten. Man muss also Dasjenige, was wir früher über die Ursachen der Erhaltung und des Untergangs der Verfassungen gesagt haben, benutzen, um der Verfassung Festigkeit zu schaffen, indem man einerseits alles Verderbliche zu vermeiden sucht, andrerseits die Gesetze, sowohl die geschriebenen, als die ungeschriebenen, so einrichtet, dass sie möglichst alles Dasjenige umfassen, was die Erhaltung der Verfassungen bewirkt, und nicht meinen, das sei für die Demokratie oder die Oligarchie erspriesslich, was die Macht der demokratischen oder oligarchischen Partei im Staate auf das Höchste steigert, sondern das, was derselben die längste Dauer sichert.

2. Οἱ δὲ νῦν δημαγωγοὶ χαριζόμενοι τοῖς δήμοις πολλὰ δημεύουσι διὰ τῶν δικαστηρίων. διὸ δεῖ πρὸς ταῦτα ἀντιπράττειν τοὺς κηδομένους τῆς πολιτείας, νομοθετοῦντας μηδὲν εἶναι δημόσιον τῶν καταδικαζομένων καὶ φερόντων πρὸς τὸ κοινόν, ἀλλ' ἱερόν· οἱ μὲν γὰρ ἀδικοῦντες οὐδὲν ἧττον εὐλαβεῖς ἔσονται (ζημιώσονται γὰρ ὁμοίως), ὁ δ' ὄχλος ἧττον καταψηφιεῖται τῶν κρινομένων, λήψεσθαι μηθὲν μέλλων. ἔτι δὲ τὰς γινομένας δημοσίας δίκας ὡς ὀλιγίστας ἀεὶ ποιεῖν, μεγάλοις

2. Heutzutage dagegen benutzen die Demagogen, um dem Volke zu Gefallen zu leben, die Gerichtshöfe dazu, recht häufige Vermögensconfiskationen zu bewirken. Daher müssen Die, welchen die Erhaltung der Verfassung am Herzen liegt, diesem Unwesen dadurch steuern, dass sie gesetzlich bestimmen, dass das Vermögen der Verurtheilten oder das an den Staatsschatz zu zahlende Strafgeld durchaus nicht unter das Volk vertheilt werde, sondern für religiöse Zwecke bestimmt werde. So werden sich nämlich die Menschen eben so gut scheuen Verbrechen zu begehen (denn ihre Strafe wird dieselbe bleiben), und das gemeine Volk wird sei-

---

§. 11. *Κλεισθένης*] *Eschines* Aret. — *φυλαί τε γὰρ ἕτεραι ποιητέαι πλείους*] Legendum est *φυλαί τε γὰρ ἕτεραι ποιητέαι πλείους, καὶ αἱ ἐνυπάρχουσαι ποιητέαι πλείους*, nam in libris vulgatis desideratur hoc totum *καὶ αἱ ἐνυπάρχουσαι ποιητέαι*. LAMBIN. — *καὶ φρατρίαι*] *καὶ φατρίαι* Ib. P 1. P 2. — *καὶ τὰ τῶν*] Scriptum *alicubi κατὰ τῶν* correxit Camerarius. *Forte* id vertit Aretinus, qui habet: *et sodalitates privatorum sacrorum redigendae sunt ad pauca et publica.* SCHNEID. Editiones veteres si accuratius inspexisset Schneiderus, haec non scripsisset. Mendosum enim illud *κατὰ τῶν* est in A 1. 2. B 2. Ib. Rb. Wb. *καὶ ἐκ τῶν* B 3. vide notam proximam. — *καὶ τὰ τῶν ἰδίων ἱερῶν*] *et in propriis sacris* Vet., sed Versoris exemplum: *et de propriis sacris.* Vides igitur editores B 3. usos esse etiam hoc exemplo Vet. — *πάντες ἀλλήλοις*] *ἀλλήλοις πάντες* P 1. — *αἱ πρότερον*] *αἱ πρότεραι* P 1., *αἱ προτεροῦν* (αι superscr.) P 4. — §. 12. *λέγω δὲ οἷον*] *δ'* A 1. 2. B 2. 3. Goettl. — *ἔσται*] *ἐστι* (sic) Rb. —

Cap. III. §. 1. *Ἔστι δ' ἔργον*] *ἔτι δ'* [*ἔργον*] Schn. *ἔτι* typoth. vitium est. Lambinus autem, quem seclusae vocis *ἔργον* auctorem affert Schneiderus, alterum potius *ἔργον*, quod est post *μέγιστον*, ut supervacaneum, delendum esse censuit, delevit tamen prius *ἔργον* etiam Cor. — Heinsius corrigebat *ἔστι δὲ γοῦν τ. ν. κ. τ. β.* — *οὐδὲ μόνον*] Sic A 1. 2. Vulgo post *μόνον* addunt *ἕν*. GOETTL. *ἕν* seclusi quippe omissum a Camotiana et Aretino. SCHN. Videtur igitur esse *ἕν* in Goettlingii Codd. omnibus et in Vet., legiturque re vera illa vox sine nota critica in Vict. 2. Lamb. Zw. Sylb. Heins. Cas. Conr.; om. eam A 1. 2. B 2. 3. et Bkk. tacite. —

§. 2. *εὐλαβεῖς ἔσονται*] Legendum omnino puto *ἀβλαβεῖς*: nihilo ita minus poena afficientur sontes. Atque saepe talis deprehenditur error scribarum posito *εὐ* pro *α*, et contra *α* pro *ευ*. CAMERAR. coniecturam Camerarii probavit Conring. non ego. SCHNEID. — *καταψηφιεῖται*] *καταψηφίζεται* Ib. P 1. P 4. et pr. Ib.

ἐπιτιμίοις τοὺς εἰκῇ γραφομένους κωλύοντας· οὐ γὰρ τοὺς δημοτικοὺς ἀλλὰ τοὺς γνωρίμους εἰώθασιν εἰςάγειν, δεῖ δὲ καὶ τῇ πολιτείᾳ πάντας μάλιστα μὲν εὔνους εἶναι τοὺς πολίτας, εἰ δὲ μή, μή τοί γε ὡς πολεμίους νομίζειν τοὺς κυρίους.

nerseits weniger versucht werden Verdammungsurtheile zu fällen, wenn es sieht, dass es davon keinen Vortheil hat. Ferner muss man die Zahl der Staatsprocesse möglichst zu verringern suchen, dadurch, dass man durch Ansetzung schwerer Strafen von Erhebung unbegründeter Anklagen abschreckt. Denn gewöhnlich sind es nicht Leute der Volkspartei, sondern Vornehme, welche solche Anklagen treffen; nun ist es aber durchaus nothwendig, dass alle Bürger wo möglich der Verfassung zugethan sind, oder dass doch wenigstens kein Theil Die, welche die höchste Macht in Händen haben, als seine Feinde ansieht.

3. Ἐπεὶ δ' αἱ τελευταῖαι δημοκρατίαι πολυάνθρωποί τέ εἰσι καὶ χαλεπὸν ἐκκλησιάζειν ἀμίσθους, τοῦτο δ' ὅπου πρόςοδοι μὴ τυγχάνουσιν οὖσαι πολέμιον τοῖς γνωρίμοις (ἀπό τε γὰρ εἰςφορᾶς καὶ δημεύσεως ἀναγκαῖον γίνεσθαι καὶ δικαστηρίων φαύλων, ἃ πολλὰς ἤδη δημοκρατίας ἀνέτρεψεν), ὅπου μὲν οὖν πρόςοδοι μὴ τυγχάνουσιν οὖσαι, δεῖ ποιεῖν ὀλίγας ἐκκλησίας, καὶ δικαστήρια πολλῶν μὲν ὀλίγας δ' ἡμέρας. τοῦτο γὰρ φέρει μὲν καὶ πρὸς τὸ μὴ φοβεῖσθαι τοὺς πλουσίους τὰς δαπάνας, ἐὰν οἱ μὲν εὔποροι μὴ λαμβάνωσι δικαστικόν, οἱ δ' ἄποροι, φέρει δὲ καὶ πρὸς τὸ κρίνεσθαι τὰς δίκας πολὺ βέλτιον· οἱ γὰρ εὔποροι πολλὰς μὲν ἡμέρας οὐκ ἐθέλουσιν ἀπὸ τῶν ἰδίων ἀπεῖναι, βραχὺν δὲ χρόνον ἐθέλουσιν.

3. Da nun aber die äussersten Demokratieen mit einer starken Bevölkerung verbunden sind, welche ihrerseits nicht wohl ohne Geldentschädigung an den Volksversammlungen Theil nehmen kann, ein Umstand, der, wo es an hinreichenden Staatseinkünften mangelt, hart auf den Reichen lastet — denn in solchem Falle müssen die nöthigen Geldmittel durch Vermögenssteuer, Confiskationen und schlechte Gerichtshöfe geschafft werden, Maassregeln, die schon so manche Demokratie umgestürzt haben — wo nun also hinreichende Staatseinkünfte nicht vorhanden sind, da muss man nur wenige Volksversammlungen einsetzen und Gerichtshöfe, die, während sie viele Gegenstände umfassen, doch nur wenige Tage versammelt bleiben. Dies führt einmal den Vortheil herbei, dass auch die Reichen den Aufwand scheuen, wenn die Wohlhabenden keinen Richtersold empfangen, sondern nur die Armen, zweitens aber auch den, dass die Rechtspflege selbst eine viel bessere sein wird. Denn viele Tage lang ihre eignen Geschäfte liegen zu lassen sind die Wohlhabenden nicht geneigt, wohl aber sind sie geneigt, es auf kurze Zeit zu thun.

4. Ὅπου δ' εἰσὶ πρόςοδοι, μὴ ποιεῖν ὃ νῦν οἱ δημαγωγοὶ ποιοῦσιν· τὰ γὰρ περιόντα νέμουσιν. λαμβάνουσι δὲ ἅμα, καὶ πάλιν δέονται τῶν αὐτῶν· ὁ τετρημένος γαρ ἐστι πίθος ἡ τοιαύτη βοήθεια τοῖς ἀπόροις. ἀλλὰ δεῖ τὸν ἀληθινῶς δημοτικὸν ὁρᾶν ὅπως τὸ πλῆθος μὴ λίαν ἄπορον ᾖ· τοῦτο γὰρ αἴτιον τοῦ μοχθηρὰν εἶναι τὴν δημοκρατίαν. τεχναστέον οὖν ὅπως ἂν εὐπορία γένοιτο χρόνιος. ἐπεὶ δὲ συμφέρει τοῦτο καὶ τοῖς εὐπόροις, τὰ μὲν ἀπὸ τῶν προςόδων γινόμενα συναθροίζοντας ἀθρόα χρὴ διανέμειν τοῖς ἀπόροις, μάλιστα μὲν εἴ τις δύναται τοσοῦτον ἀθροίζων ὅσον εἰς γηδίου κτῆσιν, εἰ δὲ μή, πρὸς ἀφορμὴν ἐμπορίας καὶ γεωργίας. καὶ εἰ μὴ πᾶσι δυνατόν, ἀλλὰ κατὰ φυλὰς ἤ τι μέρος ἕτερον ἐν μέρει διανέμειν· ἐν δὲ τούτῳ πρὸς τὰς ἀναγκαίας

4. Wo aber genügende Staatseinkünfte vorhanden sind, da hüte man sich es zu machen, wie die Demagogen unserer Tage. Sie vertheilen nämlich die Ueberschüsse. Das Volk aber bekommt heute das Geld und ist morgen wieder in derselben bedürftigen Lage. Denn diese Art von Unterstützung der Armen erinnert an das Sprichwort vom durchlöcherten Fasse. Der wahre Volksfreund muss vielmehr dahin sehen, dass die Masse nicht gar zu arm sei. Denn hierin liegt der Grund des Verderbnisses der Demokratie. Er muss also Mittel ausfindig machen, welche einen dauernden Wohlstand begründen. Da dies nun auch im Interesse der Reichen ist, so muss man die Ueberschüsse der Einkünfte sammeln und sie dann auf einmal unter die Armen vertheilen, wo möglich erst dann, wenn die Jedem zukommende Summe zur Erwerbung eines kleinen Grundstücks, oder wenn dies nicht möglich, doch zum Anfang eines Handels oder des Ackerbaues hinreicht. Und können nicht Alle auf einmal bedacht werden, so

---

— εἰκῇ γραφομένους — δημοτικοὺς ἀλλὰ τοὺς] in margine Wb. — μή τοί γε] μή τί γε Ib. Rb. Vict. 2. Zw. Sylb. Cas. et rec. ante Schn.; numquam Vet. —

§. 3. καὶ δικαστηρίων φαύλων] κ. δικαστήρια φαύλων B 3. — ὀλίγας ἐκκλησίας] ἐκκλησίας ὀλίγας P 1. — δικαστήρια πολλῶν] δικαστήρια περὶ πολλῶν Cor.; δικ. πολλὰ cum Schlossero scribendum censet Schn. — ὀλίγας δ' ἡμέρας]
αις αις
ὀλίγαις δ' ἡμέραις pr. Ib. ὀλίγας δ' ἡμέρας P 1. ὀλί-
ας ας
γαις δ' ἡμέραις P 2. 3. — φέρει μὲν] συμφέρει μὲν margo B 3. facit et hoc loco et paullo post habet Vet. — ἐὰν μὲν — οἱ δ' ἄποροι] Haec verba pro spuriis habet Giphanius, sed non video quid obstet quo minus pro genuinis habeamus. Goettl. —

§. 4. ὁ τετρημένος] ὅ τε τετρημένος Schn. ὁ γὰρ τετρημένος omisso ἐστὶ Rb. — γάρ ἐστι πίθος] ἐστι om. Rb. B 3. γὰρ πίθος ἐστὶν ex P 1. Goettl. cfr. Arist. Oeconom. cp. VI, p. 8, 17. Goettl. τῷ γὰρ ἠθμῷ ἀντλεῖν τοῦτ' ἐστι, καὶ ὁ λεγόμενος τετρημένος πίθος. — γένοιτο χρόνιος] γίνοιτο χρόν. ex P 1. Goettl. — ἐπεὶ δὲ] δὲ in versione om. Aret. et post συναθροίζοντας collocatum vertit: nam id prodest etiam divitibus — Congregantes vero. — διανέμειν τοῖς ἀπόροις] διαμένειν omissis τοῖς ἀπόροις Rb. — τοσοῦτον ἀθροίζων] τοσοῦτον ἀθροίζειν cum Sylb. edid. Schneid. Cor. Idem iam legitur in B3. — ὅσον] ὅσων B 3. — εἰς γηδίου] γηδίου ut analogiae magis consentaneum scribendum esse censet Goettl. cit. Didym. ap. Phavorin. p. 416. 29. Apollon. in Bekkeri Anecdot. p. 586, 12. — ἐμπορίας] εὐπορίας Ib. Rb. Wb. P2. P3. margo A 1. B 2. B 3. (quae tamen in margine habet ἐμπορίας) Sylb. et Victorii Cdd. omnes. In Ib. P 2. est γρ. ἐμπειρίας, ὃ καὶ (δτι Goettl.) δοκεῖ κάλλιον. Vitium Aldinae 1. correxere Camotius, Lambinus, Sepulveda et Victorius, qui: „Cuncti (inquit) quos videre mihi licuit et scripti et excusi libri legunt εὐπορίας. Vetus tamen translatio perspicitur suo in exemplari scriptum habuisse ἐμπορίας, vertit enim: Negotiationis, quod secutos etiam apparet Sepulvedam et Aretinum; et sane mihi magis convenire videtur huic loco." Iure igitur miratur Schneid., Victorium non inspexisse Camotianam, quae verum habet. Sed in hoc genere iusto negligentiorem fuisse Victorium multis exemplis probari potest. — κατὰ φυλὰς ἤ τι μέρος ἕτερον] Verba φυλὰς ἢ et ἕτερον om.

συνόδους τοὺς εὐπόρους εἰςφέρειν τὸν μισθόν, ἀφιεμένους τῶν ματαίων λειτουργιῶν.

5. *Τοιοῦτον δέ τινα τρόπον Καρχηδόνιοι πολιτευόμενοι φίλον κέκτηνται τὸν δῆμον· ἀεὶ γάρ τινας ἐκπέμποντες τοῦ δήμου πρὸς τὰς περιοικίδας ποιοῦσιν εὐπόρους. χαριέντων δ' ἐστὶ καὶ νοῦν ἐχόντων γνωρίμων καὶ διαλαμβάνοντας τοὺς ἀπόρους ἀφορμὰς [μὲν] διδόντας τρέπειν ἐπ' ἐργασίας. καλῶς δ' ἔχει μιμεῖσθαι καὶ τὰ Ταραντίνων· ἐκεῖνοι γὰρ κοινὰ ποιοῦντες τὰ κτήματα τοῖς ἀπόροις ἐπὶ τὴν χρῆσιν εὔνουν παρασκευάζουσι τὸ πλῆθος. ἔτι δὲ τὰς ἀρχὰς πάσας ἐποίησαν διττάς, τὰς μὲν αἱρετὰς τὰς δὲ κληρωτάς, τὰς μὲν κληρωτὰς ὅπως ὁ δῆμος αὐτῶν μετέχῃ, τὰς δ' αἱρετὰς ἵνα πολιτεύωνται βέλτιον. ἔστι δὲ τοῦτο ποιῆσαι καὶ τῆς ἀρχῆς αὐτῆς μερίζοντας, τοὺς μὲν κληρωτοὺς τοὺς δ' αἱρετούς. πῶς μὲν οὖν δεῖ τὰς δημοκρατίας κατασκευάζειν, εἴρηται.*

muss man die Vertheilung nach Zünften oder sonst einer Abtheilung umgehn lassen. Dabei mögen denn den für die nothwendigen Volksversammlungen erforderlichen Sold die Reichen zusammenbringen, während sie dafür von den überflüssigen und nutzlosen Staatsleistungen befreit werden.

5. Durch ein staatskluges Verfahren dieser Art haben die Karthager ihren Demos sich zum Freunde gemacht. Sie machen nämlich immer einige Glieder desselben wohlhabend dadurch, dass sie dieselben in die umliegenden Städte ihres Gebiets senden. Auch handeln die Vornehmen ebenso edel als vernünftig, wenn Jeder eine bestimmte Zahl von Armen mit den ersten Erfordernissen, um ein Geschäft zu beginnen, versieht. Eben so nachahmungswerth ist ferner das Verfahren der Tarentiner. Diese lassen nämlich ihre Güter den Armen hinsichtlich des Niessbrauchs mit zu Gute kommen und erwerben sich so die Zuneigung der Masse. Dazu besetzten sie die eine Hälfte der Staatsämter durch Wahl, die andere aber durchs Loos, Letzteres um auch dem gemeinen Mann den Zutritt zu denselben zu gestatten, Ersteres um die bessere Verwaltung des Staates zu sichern. Dies Verfahren lässt sich selbst bei einem und demselben Amte anwenden, indem man die Eintheilung trifft, dass die Einen durchs Loos, die Andern durch Wahl dazu genommen werden. Wie man also bei der Constituirung der Demokratieen verfahren müsse, ist gesagt.

CAP. IV.

Cap. 6. Bkk. 1. *Σχεδὸν δὲ καὶ περὶ τὰς ὀλιγαρχίας πῶς δεῖ, φανερὸν ἐκ τούτων. ἐκ τῶν ἐναντίων γὰρ δεῖ συνάγειν ἑκάστην ὀλιγαρχίαν πρὸς τὴν ἐναντίαν δημοκρατίαν ἀναλογιζόμενον, τὴν μὲν εὔκρατον μάλιστα τῶν ὀλιγαρχιῶν καὶ πρώτην — αὕτη δ' ἐστὶν ἡ σύνεγγυς τῇ καλουμένῃ πολιτείᾳ, ᾗ δεῖ τὰ τιμήματα διαιρεῖν, τὰ μὲν ἐλάττω τὰ δὲ μείζω ποιοῦντας, ἐλάττω μὲν ἀφ' ὧν τῶν ἀναγκαίων μεθέξουσιν ἀρχῶν, μείζω δ' ἀφ' ὧν τῶν κυριωτέρων· τῷ τε κτωμένῳ τὸ τίμημα μετέχειν ἐξεῖναι τῆς πολιτείας, τοσοῦτον εἰςαγομένου τοῦ δήμου πλῆθος διὰ τοῦ τιμήματος, μεθ' οὗ κρείττονες ἔσονται τῶν μὴ μετεχόντων. ἀεὶ δὲ δεῖ παραλαμβάνειν ἐκ τοῦ βελτίονος δήμου τοὺς κοινωνούς.*

Kap. IV.

1. Aus dem Gesagten ist auch so ziemlich klar, wie man bei den Oligarchieen verfahren müsse. Man muss nämlich jede Oligarchie immer aus den entgegengesetzten Institutionen zusammensetzen, indem man sie mit der ihr entsprechenden Demokratie zusammenhält, also die am besten gemischte und erste Oligarchie — dies ist aber die, welche der von uns so genannten Republik am nächsten kommt. Hier muss man die Schazzungen verschieden einrichten, und einen Theil derselben niedriger, den andern höher machen; der niedrige Census wird den Zutritt zu den unentbehrlichen niedern Aemtern gestatten, während aus dem höheren die wichtigeren besetzt werden. Auch muss Erwerbung des Census zugleich die damit verbundenen politischen Vorrechte geben, indem immer so viel Mitglieder des Volks durch den Census unter die politisch höher Bevorrechteten aufgenommen werden, dass diese mit denselben vereint über die Nichtbevorrechteten das Uebergewicht haben. Auch müssen die Ersteren diese neuen Genossen immer nur aus dem besseren Theile des Volks nehmen.

Aret. — *ἀφιεμένους*] *ἐφιεμένους* I[b]. A 1. 2. B 2. 3. Aret. Camerar. (cui tamen „in mentem venit verius esse *ἀφιεμένους*"); *respicientes* Vet., *respuentes* Thom. *ἀφειμένους* Schn. Cor. Veram scripturam prim. e vetere exemplari restitui iussit Sepulveda. —

§. 5. *πρὸς τὰς περιοικίδας*] *π. τ. περιοικίας* Goettl. cum A 1. 2. B 2. 3. Aret. (*gubernationes*) Camer. *περιοικίδας* primus tacite edidit Victor., quem secuti sunt recentt. Cfr. II, cp. 8, §. 9. *ad negotia domus* vertit Vet. — *ἀφορμὰς [μὲν]*] *μὲν* om. I[b]. A 1. 2. B 2. 3. Schn. Cor. Goettl.; uncis inclusit Bekker. — *τὰ Ταραντίνων*] *τὴν Ταρ.* ex P 1. Goettl. et sic Vet. qui vertit: *Tarentinum principatum.* — *τὰ κτήματα*] *τὰ κτήνη* (*iumenta*) Aret. — *ἔτι δὲ τὰς*] *ἐπεὶ δ. τ.* W[b]. — *ὅπως ὁ δῆμος*] om. R[b]. — *τῆς ἀρχῆς αὐτῆς*] *τῆς αὐτῆς ἀρχῆς* cum Aret. Schn. Cor. —

Cap. IV. §. 1. *πῶς δεῖ*] *πῶς δεῖ [ποιεῖν]* Schn. quo additamento non opus est, quum verbum ex ultimis cap. proximi verbis facile intelligatur. — *τὴν μὲν εὔκρατον*] *μὲν* om. Aret. et Camotiana, ut dicit Schn, nam G. tacet de A 2. — *καὶ πρώτην*] *καὶ πρώτην τῇ πρώτῃ* Cor., unde sensus plane pervertitur. Mens enim Aristotelis haec est: *τὴν μὲν εὔκρατον μάλιστα τῶν ὀλιγαρχιῶν καὶ πρώτην θετέον.* Haec enim oligarchia omnium proxime abest a politia. Goettl. Rectius, ni fallor, totam verborum comprehensionem intellexit Bekkerus, cuius interpungendi rationem retinuimus. Lambinus post *καὶ πρώτην* addidit *πρὸς τὴν βελτίστην δημοκρατίαν καὶ πρώτην*, quod placuit Conringio. — *ᾗ δεῖ*] *ἐν* praeposit. add. B 3. Aret. Lamb. Conr. Cor. — *τῷ τε κτωμένῳ*] *τῶν τε κτωμένων* I[b]. R[b]. A 1. 2. B 2. Goettl., qui: „constructio," inquit, „quamvis sit paullo impeditior, vere est Aristotelica: *ἐξεῖναι τῶν κτωμένων τὸ τίμημα τοσοῦτον τοῦ διὰ τοῦ τιμήματος εἰςαγομένου δήμου πλῆθος τῆς πολιτείας μετέχειν μεθ' οὗ κρείττονες ἔσονται*". Conringius malebat *ὥςτε τῷ κτωμένῳ*. Veram scripturam prim. habet B 3. — *τοσοῦτον εἰςαγομένου τοῦ δήμου πλῆθος*] Quod Schneiderus tacite edidit *εἰςαγομένους* (in lemmate notae p. 380. est *εἰςαγομένου*) recepitque Cor., est in sola B 3. Lambinus, qui vertit: *tanta populi multitudine per censum ad reipublicae administrationem introducta*, legisse videtur *τοσούτου — πλήθους*. Nobis aut *εἰςαγομένους* scribendum aut accusativus *τοσοῦτον πλῆθος* eadem ratione intelligendus esse videtur, qua Plato dixit *ὡς πλεῖστα μέρη ἡ οὐσία νενεμημένη εἴη*. Cfr. Bernhardy Syntax. p. 126. 127. Goettlingii sententiam non satis intelligo.

2. Ὁμοίως δὲ καὶ τὴν ἐχομένην ὀλιγαρχίαν ἐπιτείνοντας δεῖ μικρὸν κατασκευάζειν. τῇ δ' ἀντικειμένῃ τῇ τελευταίᾳ δημοκρατίᾳ, τῇ δυναστικωτάτῃ καὶ τυραννικωτάτῃ τῶν ὀλιγαρχιῶν, ὅσῳ περ χειρίστη, τοσούτῳ δεῖ πλείονος φυλακῆς. ὥςπερ γὰρ τὰ μὲν εὖ σώματα διακείμενα πρὸς ὑγίειαν καὶ πλοῖα τὰ πρὸς ναυτιλίαν καλῶς ἔχοντα τοῖς πλωτῆρσιν ἐπιδέχεται πλείους ἁμαρτίας ὥςτε μὴ φθείρεσθαι δι' αὐτάς, τὰ δὲ νοσερῶς ἔχοντα τῶν σωμάτων καὶ τὰ τῶν πλοίων ἐκλελυμένα καὶ πλωτήρων τετυχηκότα φαύλων οὐδὲ τὰς μικρὰς δύνανται φέρειν ἁμαρτίας, οὕτω καὶ τῶν πολιτειῶν αἱ χείρισται πλείστης δέονται φυλακῆς.

3. Τὰς μὲν οὖν δημοκρατίας ὅλως ἡ πολυανθρωπία σώζει· τοῦτο γὰρ ἀντίκειται πρὸς τὸ δίκαιον τὸ κατὰ τὴν ἀξίαν· τὴν δ' ὀλιγαρχίαν δῆλον ὅτι τοὐναντίον ὑπὸ τῆς εὐταξίας δεῖ τυγχάνειν τῆς σωτηρίας.

Cap. 7. Bkk. Ἐπεὶ δὲ τέτταρα μέν ἐστι μέρη μάλιστα τοῦ πλήθους, γεωργικὸν βάναυσον ἀγοραῖον θητικόν, τέτταρα δὲ τὰ χρήσιμα πρὸς πόλεμον, ἱππικὸν ὁπλιτικὸν ψιλὸν ναυτικόν, ὅπου μὲν συμβέβηκε τὴν χώραν εἶναι ἱππάσιμον, ἐνταῦθα μὲν εὐφυῶς ἔχει κατασκευάζειν τὴν ὀλιγαρχίαν ἰσχυράν· ἡ γὰρ σωτηρία τοῖς οἰκοῦσι διὰ ταύτης ἐστὶ τῆς δυνάμεως, αἱ δ' ἱπποτροφίαι τῶν μακρὰς οὐσίας κεκτημένων εἰσίν· ὅπου δ' ὁπλίτην, τὴν ἐχομένην ὀλιγαρχίαν· τὸ γὰρ ὁπλιτικὸν τῶν εὐπόρων ἐστὶ μᾶλλον ἢ τῶν ἀπόρων. ἡ δὲ ψιλὴ δύναμις καὶ ναυτικὴ δημοκρατικὴ πάμπαν.

4. Νῦν μὲν οὖν ὅπου τοιοῦτον πολὺ πλῆθός ἐστιν, ὅταν διαστῶσι, πολλάκις ἀγωνίζονται χεῖρω· δεῖ δὲ πρὸς τοῦτο φάρμακον παρὰ τῶν πολεμικῶν λαμβάνειν στρατηγῶν, οἳ συνδυάζουσι πρὸς τὴν ἱππικὴν δύναμιν καὶ τὴν ὁπλιτικὴν τὴν ἁρμόττουσαν τῶν ψιλῶν. ταύτῃ δ' ἐπικρατοῦσιν ἐν ταῖς διαστάσεσιν οἱ δῆμοι τῶν εὐπόρων· ψιλοὶ γὰρ ὄντες πρὸς ἱππικὴν καὶ ὁπλιτικὴν ἀγωνίζονται ῥᾳδίως.

5. Το μὲν οὖν ἐκ τούτων καθιστάναι ταύτην τὴν δύναμιν ἐφ' ἑαυτούς ἐστι καθιστάναι, δεῖ δὲ διῃρημένης τῆς ἡλικίας, καὶ τῶν μὲν ὄντων πρεσβυτέρων τῶν δὲ νέων, ἔτι μὲν ὄντας νέους τοὺς αὐτῶν υἱεῖς διδάσκεσθαι τὰς κούφας καὶ τὰς ψιλὰς ἐργασίας, ἐκκεκριμένους δὲ ἐκ παίδων ἀθλητὰς εἶναι αὐτοὺς τῶν ἔργων. τὴν δὲ μετάδοσιν γίνεσθαι τῷ πλήθει τοῦ πολιτεύματος ἤτοι καθά-

ἀδύνατον δὲ καλῶς πράττειν τοῖς μὴ τὰ καλὰ πράττουσιν· οὐθὲν δὲ καλὸν ἔργον οὔτ' ἀνδρὸς οὔτε πόλεως χωρὶς ἀρετῆς καὶ φρονήσεως. ἀνδρία δὲ πόλεως καὶ δικαιοσύνη καὶ φρόνησις τὴν αὐτὴν ἔχει δύναμιν καὶ μορφήν, ὧν μετασχὼν ἕκαστος τῶν ἀνθρώπων λέγεται δίκαιος καὶ φρόνιμος καὶ σώφρων.

6. *Ἀλλὰ γὰρ ταῦτα μὲν ἐπὶ τοσοῦτον ἔστω πεφροιμιασμένα τῷ λόγῳ (οὔτε γὰρ μὴ θιγγάνειν αὐτῶν δυνατόν, οὔτε πάντας τοὺς οἰκείους ἐπεξελθεῖν ἐνδέχεται λόγους· ἑτέρας γάρ ἐστιν ἔργον σχολῆς ταῦτα)· νῦν δ' ὑποκείσθω τοσοῦτον, ὅτι βίος μὲν ἄριστος, καὶ χωρὶς ἑκάστῳ καὶ κοινῇ ταῖς πόλεσιν, ὁ μετὰ ἀρετῆς κεχορηγημένης ἐπὶ τοσοῦτον ὥστε μετέχειν τῶν κατ' ἀρετὴν πράξεων. πρὸς δὲ τοὺς ἀμφισβητοῦντας, ἐάσαντας ἐπὶ τῆς νῦν μεθόδου, διασκεπτέον ὕστερον, εἴ τις τοῖς εἰρημένοις τυγχάνει μὴ πειθόμενος.*

CAP. II.

1. *Πότερον δὲ τὴν εὐδαιμονίαν τὴν αὐτὴν εἶναι φατέον ἑνός τε ἑκάστου τῶν ἀνθρώπων καὶ πόλεως ἢ μὴ τὴν αὐτήν, λοιπόν ἐστιν εἰπεῖν. φανερὸν δὲ καὶ τοῦτο· πάντες γὰρ ἂν ὁμολογήσειαν εἶναι τὴν αὐτήν. ὅσοι γὰρ ἐν πλούτῳ τὸ ζῆν εὖ τίθενται ἐφ' ἑνός, οὗτοι καὶ τὴν πόλιν ὅλην, ἐὰν ᾖ πλουσία, μακαρίζουσιν· ὅσοι τε τὸν τυραννικὸν βίον μάλιστα τιμῶσιν, οὗτοι καὶ πόλιν τὴν πλείστων ἄρχουσαν εὐδαιμονεστάτην ἂν εἶναι φαῖεν· εἴ τέ τις τὸν ἕνα δι' ἀρετὴν ἀποδέχεται, καὶ πόλιν εὐδαιμονεστέραν φήσει τὴν σπουδαιοτέραν.*

2. *Ἀλλὰ ταῦτ' ἤδη δύο ἐστὶν ἃ δεῖται σκέψεως, ἓν μὲν πότερος αἱρετώτερος βίος, ὁ διὰ τοῦ συμπολιτεύεσθαι καὶ κοινωνεῖν πόλεως ἢ μᾶλλον ὁ ξενικὸς καὶ τῆς πολιτικῆς κοινωνίας ἀπολελυμένος, ἔτι δὲ τίνα πολιτείαν θετέον καὶ ποίαν διάθεσιν πόλεως ἀρίστην, εἴτε πᾶσιν ὄντος αἱρετοῦ κοινωνεῖν πόλεως εἴτε καὶ τισὶ μὲν μὴ τοῖς δὲ πλείστοις. ἐπεὶ δὲ τῆς πολιτικῆς διανοίας καὶ θεωρίας τοῦτ' ἐστὶν ἔργον, ἀλλ' οὐ τὸ περὶ ἕκαστον αἱρετόν, ἡμεῖς δὲ ταύτην προῃρήμεθα νῦν τὴν σκέψιν, ἐκεῖνο μὲν πάρεργον ἂν εἴη τοῦτο δ' ἔργον τῆς μεθόδου ταύτης.*

3. *Ὅτι μὲν οὖν ἀναγκαῖον εἶναι πολιτείαν ἀρίστην ταύτην καθ' ἣν τάξιν κἂν ὁστισοῦν ἄρι-*

aber weder Mensch noch Staat verrichten ohne Tugend und Einsicht. Tapferkeit, Gerechtigkeit und Einsicht eines Staates aber haben dieselbe Bedeutung und Form wie diejenigen Eigenschaften, um deren Besitz jeder einzelne Mensch gerecht, einsichtsvoll und weise genannt wird.

6. So viel sei als Vorwort zu unserer Untersuchung von diesen Dingen gesagt, die ich ebensowenig ganz unberührt lassen konnte, als es statthaft ist, dieselben nach allen Seiten hin erschöpfend zu behandeln, denn sie gehören in einen andern Vortrag. Hier stehe uns nur so viel fest: das beste Leben, sowohl für das Individuum im Besondern als für die Staaten im Allgemeinen ist dasjenige, in welchem die Tugend auch mit äusseren Gütern so **weit** ausgestattet ist, dass dadurch eine thätige Theilnahme an schönen und guten Handlungen möglich wird. Einwendungen hiergegen zu beleuchten, müssen wir bei der gegenwärtigen Untersuchung unterlassen und uns auf eine andre Gelegenheit vorbehalten, falls sich überhaupt Jemand findet, der von dem Gesagten noch nicht überzeugt sein sollte.

Kap. II.

1. Es bleibt uns jetzt die Frage zu beantworten, ob die Glückseligkeit jedes einzelnen Menschen und die eines Staates ein und dieselbe sei oder nicht. Allein auch dies ist klar, denn gewiss dürften Alle die Identität zugeben. Wer nämlich das Glücklichleben des Einzelnen in den Reichthum setzt, der wird auch den ganzen Staat, wenn derselbe reich ist, glücklich preisen; und wem der Machtbesitz eines Tyrannen als das Höchste gilt, der wird auch den Staat, welcher über die meisten Unterthanen herrscht, für den glücklichsten halten. Wer endlich den Einzelnen wegen seiner Tugend glücklich preist, der wird auch einen Staat für um so glückseliger achten, jemehr Tugend in demselben ist.

2. Allein jetzt müssen folgende zwei Fragen betrachtet werden, erstens, welches Leben das vorzüglichere sei, das Leben als Staatsbürger und Mitglied einer bürgerlichen Verwaltung oder das Leben als Fremder und abgetrennt von bürgerlicher Gemeinschaft; zweitens welche Verfassung und welche Ordnung eines Staats die beste sei, möge nun die Theilnahme an der Staatsgemeinschaft für Alle wünschenswerth sein, oder mit Ausschluss Einiger doch für die Meisten. Da nun aber eigentlich nur dies Letztere in den Bereich der politischen Forschung und Betrachtung gehört, nicht das für den Einzelnen Wünschenswerthe, und da wir es hier mit dieser zu thun haben, so bleibt jene Frage ein Nebenpunkt, die letztere aber ein Hauptpunkt dieser unserer Untersuchung.

2. Dass nun nothwendig die beste Verfassung die sein muss, deren Einrichtung zufolge jeder Mensch sich

---

scribi voluit Sylburgius. Schn. — *χωρὶς ἀρετῆς καὶ φρονήσεως*] Verba *καὶ φρονήσεως* [] Schn. Cor. Statim enim tria virtutis exempla vel partes nominari, in quibus etiam *φρόνησιν*. Contra Göttling.: „*ἀρετὴ* hic non virtutem generalem, sed continentiam notat, quae animi affectus vehementiores viriliter comprimit. Haec igitur vera est *ἀνδρία* et *σωφροσύνη*. Quare non opus est, ut cum Cor. post *καὶ φρόνησις* addamus *καὶ σωφροσύνη*, et *ἀνδρεῖος καὶ* post *λέγεται*."

§. 6. *θιγγάνειν*] Sylb. et Lamb. dicunt „in libris vulgatis esse *τυγχάνειν*;" sed haec scriptura in nulla ed. vet. legitur. — *καὶ χωρὶς ἑκάστῳ*] Haec om. V^b. P 3. A 1. B 2., *καὶ ἰδίως ἑκάστῳ κοινῇ* A 2. ex Aret., qui *privatim unicuique*. *ἑκάστου* est in S^b. et edd. ante Schn. Itaque editores B 3., quae hoc l. prima locum integrum habet, vel mss. libris vel Vet. usi sunt. — *κεχορηγημένης*] *κεχορηγημένος* A 1. 2. B 2. B 3 Göttl., *abundante* Vet. In margine Cas. est *γρ. κεχορηγημέναις* et *κεχορηγημένος*, quorum alterum non inveni scriptum. —

Cap. II. §. 1. *ἑνός τε ἑκάστου*] *τε* om. I^b. — *ὁμολογήσειαν*] *ὁμολογήσειεν* S^b. — *ἂν εἶναι φαῖεν*] *εἶναι φαῖεν ἂν* P 1. Bene Goettl. — *τὴν σπουδαιοτέραν*] *τὴν σπουδαίαν* S^b. —

§. 2. *ταῦτ' ἤδη*] *ταῦτα ἤδη* G. A 1. 2. B 2. 3. rell. — *ἓν μὲν πότερος*] *πότερον* S^b. — *ἀπολελυμένος*] Schneiderus *κεχωρηγημένος* (sic) ferre A 2. monuit. Nescio unde hoc acceperit. Nam A 2. sic ut ceteri *ἀπολελυμένος*. Goettl. — *αἱρετοῦ κοινωνεῖν*] *αἱρετοῦ τοῦ κοιν.* Cor. — *ἐπεὶ δὲ*] In margine P 2. est: „*τὸ δὲ περισσόν.*" — *προῃρήμεθα*] *προαιρώμεθα* videtur legisse Aret., habet enim: *proferamus et nos hanc considerationem.* — *ἐκεῖνο μὲν πάρεργον*] *γὰρ* post *μὲν* est in I^b. S^b. V^b. A 1. 2. B 2. 3.; primum se sustulisse ineptum illud *γὰρ* dicit Victorius p. 512. Zwing. — *ἂν εἴη*] *ἂν* tac. om. Schn.; *ἂν πάρεργον εἴη* edid. Cor. tac. —

§. 3. *καθ' ἣν*] *καθ' ἧς* Schn. Cor. cum Aret. et

στα πράττοι καὶ ζῴη μακαρίως, φανερόν ἐστιν· ἀμφισβητεῖται δὲ παρ' αὐτῶν τῶν ὁμολογούντων τὸν μετ' ἀρετῆς εἶναι βίον αἱρετώτατον, πότερον ὁ πολιτικὸς καὶ πρακτικὸς βίος αἱρετὸς ἢ μᾶλλον ὁ πάντων τῶν ἐκτὸς ἀπολελυμένος, οἷον θεωρητικός τις, ὃν μόνον τινές φασιν εἶναι φιλόσοφον. σχεδὸν γὰρ τούτους τοὺς δύο βίους τῶν ἀνθρώπων οἱ φιλοτιμότατοι πρὸς ἀρετὴν φαίνονται προαιρούμενοι, καὶ τῶν προτέρων καὶ τῶν νῦν· λέγω δὲ δύο τόν τε πολιτικὸν καὶ τὸν φιλόσοφον.

wohl befindet und glücklich lebt, leuchtet ein; streitig dagegen ist es selbst unter Denen, welche darin übereinkommen, dass ein Leben mit Tugend das wünschenswertheste sei, ob das politische und praktisch thätige Leben den Vorzug verdiene, oder vielmehr das von allem Aeusserlichen abgezogene, gleichsam innerlich beschauliche, welches Einige für das allein philosophische halten. Dies sind nämlich die beiden Lebensrichtungen, in welche die am meisten nach Tugend strebenden Menschen sowohl der Vor- als der Jetztzeit sich theilen; ich sage: diese zwei, die politische und die philosophische.

4. Διαφέρει δὲ οὐ μικρὸν ποτέρως ἔχει τὸ ἀληθές· ἀνάγκη γὰρ τόν τε εὖ φρονοῦντα πρὸς τὸν βελτίω σκοπὸν συντάττεσθαι καὶ τῶν ἀνθρώπων ἕκαστον καὶ κοινῇ τὴν πολιτείαν. νομίζουσι δ' οἱ μὲν τὸ τῶν πέλας ἄρχειν δεσποτικῶς μὲν γιγνόμενον μετ' ἀδικίας τινὸς εἶναι τῆς μεγίστης, πολιτικῶς δὲ τὸ μὲν ἄδικον οὐκ ἔχειν, ἐμπόδιον δὲ ἔχειν τῇ περὶ αὐτὸν εὐημερίᾳ. τούτων δ' ὥσπερ ἐξ ἐναντίας ἕτεροι τυγχάνουσι δοξάζοντες· μόνον γὰρ ἀνδρὸς τὸν πρακτικὸν εἶναι βίον καὶ πολιτικόν· ἐφ' ἑκάστης γὰρ ἀρετῆς οὐκ εἶναι πράξεις μᾶλλον τοῖς ἰδιώταις ἢ τοῖς τὰ κοινὰ πράττουσι καὶ πολιτευομένοις.

4. Es ist aber von nicht geringer Wichtigkeit, auf welcher Seite hier die Wahrheit ist. Denn nothwendig wird jeder Vernünftige, sowohl der einzelne Mensch als auch der Staat in seiner Gesammtheit sich das Ziel vorsetzen, welches das bessere ist. Nun sagen aber die Einen: seine Nebenmenschen zu beherrschen ist, geschieht es despotisch, die höchste Ungerechtigkeit, und, geschieht es im Geiste einer freien bürgerlichen Ordnung, zwar nicht ungerecht, aber doch ein Hinderniss der eignen glücklichen Ruhe des Herrschenden. Diesen stellt sich schroff gegenüber die Ansicht Anderer: das praktisch thätige und politische Leben sei allein das eines Mannes würdige. Denn in jeglicher Tugend eröffne sich der grössere Spielraum der Thätigkeit nicht sowohl dem Privatmanne als Dem, welcher die öffentlichen Angelegenheiten verwaltet und den Staat regiert.

5. Οἱ μὲν οὖν οὕτως ὑπολαμβάνουσιν, οἱ δὲ τὸν δεσποτικὸν καὶ τυραννικὸν τρόπον τῆς πολιτείας εἶναι μόνον εὐδαίμονά φασιν. παρ' ἐνίοις δὲ καὶ τῆς πολιτείας οὗτος ὅρος τῶν νόμων, ὅπως δεσπόζωσι τῶν πέλας. διὸ καὶ τῶν πλείστων νομίμων χύδην ὡς εἰπεῖν κειμένων παρὰ τοῖς πλείστοις, ὅμως εἴ πού τι πρὸς ἓν οἱ νόμοι βλέπουσι, τοῦ κρατεῖν στοχάζονται πάντες. ὥσπερ ἐν Λακεδαίμονι καὶ Κρήτῃ πρὸς τοὺς πολέμους συντέτακται σχεδὸν ἥ τε παιδεία καὶ τὸ τῶν νόμων πλῆθος. ἔτι δ' ἐν τοῖς ἔθνεσι πᾶσι τοῖς δυναμένοις πλεονεκτεῖν ἡ τοιαύτη τετίμηται δύναμις, οἷον ἐν Σκύθαις καὶ Πέρσαις καὶ Θρᾳξὶ καὶ Κελτοῖς.

5. So sprechen Einige, während Andere die despotische und tyrannische Weise des Staatslebens für die allein glückselige ausgeben. Ja in manchen Staaten sind selbst alle Gesetze der Verfassung auf Gewinnung der Herrschaft über die Nachbarn gerichtet. Damit hängt auch zusammen, dass, während bei den Meisten in den meisten Institutionen so zu sagen alle Einheit fehlt, doch, wenn irgend eine solche Einheit des Zweckes in den Gesetzen ist, dieselben sammt und sonders auf Sieg und Herrschaft abzwecken. So beziehen sich z. B. in Lakedämon und Kreta die Erziehung, sowie der grösste Theil der Gesetze auf den Krieg, auch bei allen fremden Nationen, welche stark genug sind, andere zu unterwerfen, ist diese Art von Macht hoch in Ehren, wie bei den Skythen, Persern, Thrakern und Kelten.

6. Ἐν ἐνίοις γὰρ καὶ νόμοι τινές εἰσι παροξύνοντες πρὸς τὴν ἀρετὴν ταύτην, καθάπερ ἐν Καρχηδόνι φασὶ τὸν ἐκ τῶν κρίκων κόσμον λαμβάνειν ὅσας ἂν στρατεύσωνται στρατείας. ἦν δέ ποτε καὶ περὶ Μακεδονίαν νόμος τὸν μηθένα ἀπεκταγκότα πολέμιον ἄνδρα περιεζῶσθαι τὴν φορβειάν· ἐν δὲ Σκύθαις οὐκ ἐξῆν πίνειν ἐν ἑορτῇ τινὶ σκύφον περιφερόμενον τῷ μηθένα ἀπεκταγκότι πολέ-

6. Ja bei einigen giebt es selbst bestimmte Gesetze, welche zur Erwerbung kriegerischer Tugend anfeuern. So, sagt man, erhalte in Karthago Jemand den Schmuck der Ringe je nach der Anzahl der mitgemachten Feldzüge. Auch in Makedonien gab es einst ein Gesetz, dass, wer noch keinen Feind erlegt hatte, die Halfter umgegürtet tragen müsste. Bei den Skythen ferner war es bei einem gewissen Feste Dem nicht erlaubt, den umkreisenden Becher zu trinken, welcher keinen Feind erlegt hatte. Bei den Ibe-

---

Lamb. — εἶναι βίον] βίον εἶναι Schn. Cor. G. sine auctoritate. Correxit verborum collocationem G. in adnotatione. εἶναι om. Vict. Zw. Sylb. Cas. — πότερον ὁ πολιτικὸς καὶ] πότ. ὁ πολιτικὸς βίος καὶ S^b. — θεωρητικός τις, ὃν] ἴσ. γρ. θεωρητικός τις ὢν ὃν. KOP. — οἱ φιλοτιμότατοι] οἱ φιλοτιμώτατοι A 1. B 2. 3. Vict. Zw. — καὶ τῶν προτέρων] κ. τ. πρότερον Cor. —

§. 4. ἕκαστον καὶ κοινῇ τὴν πολιτείαν] ἑκάστῳ καὶ κοινῇ τῇ πολιτείᾳ P 1., in marg. tamen legitur vulgata scriptura. — ἀδικίας τινὸς] τινὸς om. P 1. — τῇ περὶ αὐτὸν εὐημερίᾳ] αὐτὸν Goettl., αὐτῶν Vict. Zw. Sylb. Cas., αὐτοὺς Schn. Cor., ei qui circa se ipsum iucunditati Vet., ubi ei om. Thom.

§. 5. καὶ τυραννικὸν] om. Schn. Cor. tacite. — οὗτος ὅρος τῶν νόμων] οὗτος ὅρος καὶ τῶν νόμων Vet., quod mihi non displicet. —

§. 6. τὸν ἐκ τῶν κρίκων] Ἴσως δὲ γρ. τὸν ἐκ τοσούτων κρίκων. KOP.; pro κρίκων Vet. habet liliis; scriptum igitur vertit κρίνων. — ἀπεκταγκότα] Sic Bkk. tacite. ἀπεκτονότα G. cum P 1. 5., ἀπεκταγηότα margo P 3., ἀπεκτακότα A 1. 2. B 2. 3. Vict. Zw. Sylb. Cas. Schn. Cor. Formam ἀπεκταγκότα notavit G. ex P 2. 3. addens: „Perfecti ἔκτακα, quod profertur a grammaticis, certa desidero exempla; Atticos recentiores pro ἔκτονα ἔκταγκα, non ἔκτακα dixisse mihi persuasum est; sic a διαφθείρω διέφθαρκα pro διέφθορα finxerunt Graeci. V. Piers. ad Moer. Ἀπέκτονεν ἀττικῶς, ἀπέκταγκεν ἑλληνικῶς. Igitur pro ἀπεκτακότα saltem ἀπεκταγκότα scribendum erat. Cfr. Schaef. ad Schol. Apollon. Rhod. p. 147." Vid. Buttm. gr. Gr. II, p. 174. Matth. I, p. 470. ed. 2. — οὐκ ἐξῆν] μὴ ἐξῆν S^b., negat. om. V^b. — σκύφον περιφερόμενον] ἐλλειπτικῶς, ἀντὶ τοῦ σκύφον οἴνου. Κατὰ τὸ πλῆρες ὁ κωμικός (Πλοῦτ. 737.): καὶ πρίν σε κοτύλας ἐκπιεῖν οἴνου δέκα. KOP. Vitiosum locum statim agnoscit lector attentus. Poculum enim bibere inepte dicitur. e poculo vertunt omnes intpp. Igitur σκύφου περιφερομένου scribendum erit. Schneid. σκῦφον A 1. 2. B 2. 3. Vict. Zw. Schn. Cor. In notis tamen Schneid. σκύφον script. paroxyt. — ἀπεκταγκότι] ἀπεκτονότι G. cum P 1. 5., ἀπεκταγκότι

μιον. ἐν δὲ τοῖς Ἴβηρσιν, ἔθνει πολεμικῷ, τοσούτους τὸν ἀριθμὸν ὀβελίσκους καταπηγνύουσι περὶ τὸν τάφον ὅσους ἂν διαφθείρῃ τῶν πολεμίων. καὶ ἕτερα δὴ παρ' ἑτέροις ἐστὶ τοιαῦτα πολλά, τὰ μὲν νόμοις κατειλημμένα τὰ δὲ ἔθεσιν.

7. *Καίτοι δόξειεν ἂν ἄγαν ἄτοπον ἴσως εἶναι τοῖς βουλομένοις ἐπισκοπεῖν, εἰ τοῦτ' ἐστὶν ἔργον τοῦ πολιτικοῦ, τὸ δύνασθαι θεωρεῖν ὅπως ἄρχῃ καὶ δεσπόζῃ τῶν πλησίον καὶ βουλομένων καὶ μὴ βουλομένων. πῶς γὰρ ἂν εἴη τοῦτο πολιτικὸν ἢ νομοθετικόν, ὅ γε μηδὲ νόμιμόν ἐστιν; οὐ νόμιμον δὲ τὸ μὴ μόνον δικαίως ἀλλὰ καὶ ἀδίκως ἄρχειν, κρατεῖν δ' ἔστι καὶ μὴ δικαίως.*

8. *Ἀλλὰ μὴν οὐδ' ἐν ταῖς ἄλλαις ἐπιστήμαις τοῦτο ὁρῶμεν· οὔτε γὰρ τοῦ ἰατροῦ οὔτε τοῦ κυβερνήτου ἔργον ἐστὶ τὸ ἢ πεῖσαι ἢ βιάσασθαι τοῦ μὲν τοὺς θεραπευομένους τοῦ δὲ τοὺς πλωτῆρας, ἀλλ' ἐοίκασιν οἱ πολλοὶ τὴν δεσποτικὴν πολιτικὴν οἴεσθαι εἶναι, καὶ ὅπερ αὐτοῖς ἕκαστοι οὔ φασιν εἶναι δίκαιον οὐδὲ συμφέρον, τοῦτ' οὐκ αἰσχύνονται πρὸς τοὺς ἄλλους ἀσκοῦντες· αὐτοὶ μὲν γὰρ παρ' αὐτοῖς τὸ δικαίως ἄρχειν ζητοῦσι, πρὸς δὲ τοὺς ἄλλους οὐδὲν μέλει τῶν δικαίων.*

9. *Ἄτοπον δὲ εἰ μὴ φύσει τὸ μὲν δεσποστόν ἐστι τὸ δὲ οὐ δεσποστόν, ὥστε εἴπερ ἔχει τὸν τρόπον τοῦτον, οὐ δεῖ πάντων πειρᾶσθαι δεσπόζειν, ἀλλὰ τῶν δεσποστῶν, ὥσπερ οὐδὲ θηρεύειν ἐπὶ θοίνην ἢ θυσίαν ἀνθρώπους, ἀλλὰ τὸ πρὸς τοῦτο θηρευτόν· ἔστι δὲ θηρευτὸν ὃ ἂν ἄγριον ᾖ ἐδεστὸν ζῷον. ἀλλὰ μὴν εἴη γ' ἂν καὶ καθ' ἑαυτὴν μία πόλις εὐδαίμων, ἢ πολιτεύεται δηλονότι καλῶς, εἴπερ ἐνδέχεται πόλιν οἰκεῖσθαί που καθ' ἑαυτὴν νόμοις χρωμένην σπουδαίοις, ἧς τῆς πολιτείας ἡ σύνταξις οὐ πρὸς πόλεμον οὐδὲ πρὸς τὸ κρατεῖν ἔσται τῶν πολεμίων· μηθὲν γὰρ ὑπαρχέτω τοιοῦτον.*

10. *Δῆλον ἄρα ὅτι πάσας τὰς πρὸς τὸν πόλεμον ἐπιμελείας καλὰς μὲν θετέον, οὐχ ὡς τέλος δὲ πάντων ἀκρότατον, ἀλλ' ἐκείνου χάριν ταύτας. τοῦ δὲ νομοθέτου τοῦ σπουδαίου ἐστὶ τὸ θεάσασθαι πόλιν καὶ γένος ἀνθρώπων καὶ πᾶσαν ἄλλην κοινωνίαν, ζωῆς ἀγαθῆς πῶς μεθέξουσι καὶ τῆς ἐνδεχομένης αὐτοῖς εὐδαιμονίας. διοίσει μέντοι τῶν ταττομένων ἔνια νομίμων· καὶ τοῦτο τῆς νομοθετικῆς ἐστιν ἰδεῖν, ἐάν τινες ὑπάρχωσι γειτνιῶντες, ποῖα πρὸς ποίους ἀσκητέον ἢ πῶς τοῖς καθήκουσι πρὸς ἑκάστους χρηστέον. ἀλλὰ τοῦτο μὲν κἂν ὕστερον τύχοι τῆς προσηκούσης σκέψεως, πρὸς τί τέλος δεῖ τὴν ἀρίστην πολιτείαν συντείνειν.*

rern endlich, einem kriegerischen Volke, pflanzt man soviel Spitzsäulen um das Grab, als Einer Feinde getödtet hat. Und so giebt es bei Anderen viel dergleichen theils durch Gesetze theils durch Bräuche Festgesetztes.

7. Und doch scheint es bei näherer Betrachtung wohl sehr ungereimt, wenn es die Sache des Staatsmannes wäre, auszumitteln, auf welche Weise man die Nachbarn in Zwingherrschaft halte, gleichviel ob sie wollen oder nicht wollen. Denn wie sollte das einem Politiker oder Gesetzgeber geziemend sein, was ja selbst nicht einmal gesetzmässig ist? Gesetzmässig aber ist es gewiss nicht, auf jede Weise, sei es rechtmässig oder unrechtmässig, zu herrschen; die Oberhand gewinnen kann man freilich, auch ohne das Recht auf seiner Seite zu haben.

8. In der That sehen wir dies auch nicht bei den anderen Wissenschaften. Denn weder des Arztes noch des Steuermanns Sache ist es, die Leute zu überreden oder zu zwingen, der eine seine Patienten, der andere seine Passagiere. Aber es scheint, die meisten Menschen halten die Kunst der unumschränkten Herrschaft für die Politik, und schämen sich nicht, was Jeder für sich selbst weder für gerecht noch für nützlich hält, das gegen Andere auszuüben. Bei ihnen selbst soll gerechte Herrschaft walten, gegen Andere aber fragen sie nichts nach Recht und Unrecht.

9. Nun wäre es doch aber seltsam, wenn nicht die Natur selbst Herren- und Sklavennaturen geschieden hätte, und wenn dem also ist, so darf man nicht danach streben, alle Menschen despotisch zu beherrschen, sondern nur die dazu bestimmten, wie man auch zum Behufe eines Schmauses oder Opfers nicht Menschen jagen darf, sondern die dazu bestimmte Kreatur. Jagdbar aber ist jedes wilde und dabei essbare Thier. Aber auch allein und für sich kann ja ein Staat glückselig sein, falls er nämlich gut verwaltet wird, wenn wir als möglich annehmen, dass ein Staat so allein für sich lebe, ausgestattet mit guten Gesetzen, wo denn die Anordnung seiner Verfassung weder auf Krieg noch auf Obergewalt gerichtet sein wird, da nach unsrer Annahme dazu gar kein Grund vorhanden ist.

10. Offenbar also hat man alle diese Anstalten für den Krieg zwar für gut und nützlich zu halten, nicht aber als höchsten Endzweck, sondern nur als Mittel zu demselben. Des guten Gesetzgebers Aufgabe aber ist es, dahin zu sehen, wie Staat, Menschengattung und alle andere Arten der Verbindung zum tugendhaften Leben und der für sie möglichen Glückseligkeit gelangen mögen. Freilich wird zwischen einigen Institutionen ein Unterschied sein. Auch das gehört zur Kunst des Gesetzgebens, zu sehen, wenn Nachbarstaaten da sind, wie dieselben je nach ihrer verschiedenen Beschaffenheit zu behandeln, oder welche Pflichten gegen jeden Einzelnen zu erfüllen sind. Allein auf welches Ziel auch in dieser Beziehung die beste Verfassung gerichtet sein müsse, mag später seine genügende Betrachtung finden.

(quod hic quoque *tacite* posuit Bkk.) P 2., *ἀπεκταγηότι* P 3., *ἀπεκτακότι* A 1. 2. B 2. 3. Vict. Zw. Sylb. Cas. Schn. Cor. — *καταπηγνύουσι*] *comassant* Vet. — *καὶ ἕτερα δὴ*] *δὲ* mavult Cor. —

§. 7. *τοῦτ' ἐστὶν*] *τοῦτ' ἔστιν* G. — *ὅπως ἄρχῃ*] *ὅπως ἂν ἄρχῃ* P 1. Bens. Goettl. — *τῶν πλησίον*] *τῶν πλησίων* Sb. — *μὴ μόνον δικαίως*] Inepte Lamb. coniec. *δικαίων* prob. Zw. — *ἀλλὰ καὶ ἀδίκως*] om. Sb. Vb. — *κρατεῖν*] *ἄρχειν* P 5. — *μὴ δικαίως*] *μὴ δικαίων* A 2. —

§. 8. *τὸ ἢ πεῖσαι ἢ βιάσασθαι*] *τὸ πεῖσαι ἢ τὸ βιάσασθαι* G. cum P 1., *ποιῆσαι* Sb., *ἰάσασθαι* (*sanasse*) Vet. — *τοὺς πλωτῆρας*] *τοὺς* om. Sb. — *αὐτοῖς ἕκαστοι*] *αὑτοῖς* G. tacite et sic A 1. 2. B 2. 3. Vict. Zw. Sylb. Cas. Schn. Cor. Eadem diversitas scripturae est in proxim. *παρ' αὐτοῖς*, ubi ante Bkk. leg. *αὑτοῖς*. —

§. 9. *εἰ μὴ φύσει τὸ μὲν δεσποστόν ἐστι τὸ δὲ οὐ δεσποστὸν*] Recepimus *δεσποστὸν* pro *δεσπόζον*, quod in libris est, cfr. III, cp. 11, §. 10., ubi dicit Arist.: *ἔστι γάρ τι φύσει δεσποστὸν κτλ.* — *τῶν δεσποστῶν*] *δεσποτῶν* codices. Bekker. *δεσποτῶν* est in A 1. 2. B 2. 3. Vict. Zw. *δεσποστῶν* prim. Lamb. prob. Zwingero recep. Sylb. Cas. Schn. Cor., idemque Goettl. in omnibus codd. suis invenisse videtur. Cfr. not. nost. ad III, cp. II, §. 10. p. 86. Schneiderus in hac verborum comprehensione excidisse aliquot verb aputat. — *ἔστι δὲ θηρευτὸν*] om. Sb. — *η πολιτεύεται*] *ἣ π.* Sb. —

§. 10. *δῆλον ἄρα ὅτι*] *δ. ἔτι ἄρα* Ib. Sb. Vb. — *ἀκρότατον*] *ἀκροτάταν* vitiose Bkk. maior. — *αὐτοῖς εὐδαιμονίας*] *αὐτῆς* Sb. — *ὕστερον τύχοι*] *τύχῃ* A 1. 2. B 2. 3. —

CAP. III.

1. *Πρὸς δὲ τοὺς ὁμολογοῦντας μὲν τὸν μετ' ἀρετῆς εἶναι βίον αἱρετώτατον, διαφερομένους δὲ περὶ τῆς χρήσεως αὐτοῦ, λεκτέον ἡμῖν πρὸς ἀμφοτέρους αὐτούς (οἱ μὲν γὰρ ἀποδοκιμάζουσι τὰς πολιτικὰς ἀρχάς, νομίζοντες τόν τε τοῦ ἐλευθέρου βίον ἕτερόν τινα εἶναι τοῦ πολιτικοῦ καὶ πάντων αἱρετώτατον, οἱ δὲ τοῦτον ἄριστον· ἀδύνατον γὰρ τὸν μηθὲν πράττοντα πράττειν εὖ, τὴν δ' εὐπραγίαν καὶ τὴν εὐδαιμονίαν εἶναι ταὐτόν), ὅτι τὰ μὲν ἀμφότεροι λέγουσιν ὀρθῶς τὰ δ' οὐκ ὀρθῶς, οἱ μὲν ὅτι ὁ τοῦ ἐλευθέρου βίος τοῦ δεσποτικοῦ ἀμείνων. τοῦτο γὰρ ἀληθές· οὐθὲν γὰρ τό γε δούλῳ, ᾗ δοῦλος, χρῆσθαι σεμνόν· ἡ γὰρ ἐπίταξις ἡ περὶ τῶν ἀναγκαίων οὐδενὸς μετέχει τῶν καλῶν.*

2. *Τὸ μέντοι νομίζειν πᾶσαν ἀρχὴν εἶναι δεσποτείαν οὐκ ὀρθόν· οὐ γὰρ ἔλαττον διέστηκεν ἡ τῶν ἐλευθέρων ἀρχὴ τῆς τῶν δούλων ἢ αὐτὸ τὸ φύσει ἐλεύθερον τοῦ φύσει δούλου. διώρισται δὲ περὶ αὐτῶν ἱκανῶς ἐν τοῖς πρώτοις λόγοις. τὸ δὲ μᾶλλον ἐπαινεῖν τὸ ἀπρακτεῖν τοῦ πράττειν οὐκ ἀληθές· ἡ γὰρ εὐδαιμονία πρᾶξίς ἐστιν. ἔτι δὲ πολλῶν καὶ καλῶν τέλος ἔχουσιν αἱ τῶν δικαίων καὶ σωφρόνων πράξεις.*

3. *Καίτοι τάχ' ἂν ὑπολάβοι τις τούτων οὕτω διωρισμένων ὅτι τὸ κύριον εἶναι πάντων ἄριστον· οὕτω γὰρ ἂν πλείστων καὶ καλλίστων κύριος εἴη πράξεων. ὥστε οὐ δεῖ τὸν δυνάμενον ἄρχειν παριέναι τῷ πλησίον, ἀλλὰ μᾶλλον ἀφαιρεῖσθαι, καὶ μήτε πατέρα παίδων μήτε παῖδας πατρὸς μήθ' ὅλως φίλον φίλου μηθένα ὑπολογεῖν μηδὲ πρὸς τοῦτο φροντίζειν· τὸ γὰρ ἄριστον αἱρετώτατον, τὸ δ' εὖ πράττειν ἄριστον.*

4. *Τοῦτο μὲν οὖν ἀληθῶς ἴσως λέγουσιν, εἴπερ ὑπάρξει τοῖς ἀποστεροῦσι καὶ βιαζομένοις τὸ τῶν ὄντων αἱρετώτατον. ἀλλ' ἴσως οὐχ οἷόν τε ὑπάρχειν, ἀλλ' ὑποτίθενται τοῦτο ψεῦδος· οὐ γὰρ*

Kap. III.

1. In Betreff Derjenigen, welche zwar darin übereinstimmen, dass das tugendhafteste Leben das wünschenswertheste sei, über die Anwendung desselben aber verschiedener Meinung sind: in Betreff dieser beiden Parteien (von denen nämlich die Einen alle politische Thätigkeit in Staatsämtern verwerfen, indem sie meinen, das Leben eines freien Mannes sei von dem politischen ganz verschieden, und bei weitem das wünschenswertheste; während die Andern dies von dem letztern prädiciren, da ja Einer, der nichts thue, unmöglich glücklich in seinem Thun sein könne, glückliches Thun aber doch mit der Glückseligkeit identisch sei) haben wir zu sagen, dass sie in gewisser Beziehung beide Recht, in andrer dagegen Unrecht haben. Die ersteren darin, dass das Leben eines freien Mannes besser ist, als das eines **despotischen** Herrschers. Denn einen Sklaven als Sklaven zu behandeln und zu brauchen, ist nichts Grosses. Ein Gebieten, welches sich auf die nothwendigen Dinge bezieht, hat nichts Schönes in sich.

2. Wenn sie indess jede Herrschaft für Despotie halten, so ist das unrichtig. Denn zwischen der Herrschaft über freie Menschen und der über die Sklaven ist ein nicht geringerer Unterschied, als zwischen dem von Natur freien und dem von Natur sklavischen Wesen selbst. Doch hierüber ist in den ersten Untersuchungen zur Genüge gehandelt. Auf der andern Seite dagegen das geschäftslose Leben dem geschäftigen vorzuziehen, ist gleichfalls irrig; denn die Glückseligkeit besteht im Handeln. Auch enthalten die Handlungen der Gerechten und Weisen vieles Schönen und Edeln Zweck in sich.

3. Nun könnte aber nach diesen Bestimmungen leicht Jemand meinen, die höchste Gewalt über Alle zu haben, sei das Beste; denn so habe man ja auch die Gewalt, die meisten und schönsten Handlungen zu verrichten. Folglich müsse Keiner, der die Herrschaft zu führen vermöge, sie seinem Nächsten überlassen, sondern sie ihm vielmehr zu entreissen trachten, und dabei müsse weder der Vater seine Kinder, noch die Kinder den Vater oder überhaupt irgend ein Freund den andern berücksichtigen oder hiergegen in Anschlag bringen. Denn das Beste muss ja Jeder vor allen Dingen erstreben, dieses Beste ist aber eben das schöne Handeln.

4. Hierin haben sie nun vielleicht Recht, wenn anders nur wirklich solchen Räubern und Gewaltthätigen das erstrebenswertheste aller Güter zu Theil würde. Aber dies ist doch wohl eine Unmöglichkeit, und in dieser ihrer Voraussetzung liegt der Irrthum. Denn es ist

---

Cap. III. §. 1. Rectam verborum interpunctionem parenthesis signis additis primus restituit **Schn.**, quem recte secutus est **Bkk.** *βίον ἕτερον*] *βίου* Iᵇ. — *καὶ τὴν εὐδαιμονίαν εἶναι*] *εἶναι* om. P 1. — *τό γε δούλῳ*] *τῷ* (sic) Iᵇ. BEKKER. in omnibus igitur codd. praeter Iᵇ. **Bekkerus** *τό γε* scriptum invenit, quod primus ante **Bekk.** edidit **Cor.** Nam antea in omnib. edd. erat *τῷ γε* idemque ex omnibus codd. suis notatum invenisse videtur **Goettling.**, dicit enim: „*τό γε* Cor. sine idonea causa.“ — *περὶ τῶν ἀναγκαίων*] *τῶν* om. Vᵇ. —

§. 2. *ἢ αὐτὸ τὸ φύσει*] Sic corr. Iᵇ. *αὐτῷ* Sᵇ. Vᵇ. et pr. Iᵇ. BEKKER. Vulgo legeb. *ἢ αὐτὸ φύσει*, ut est in A 1.2. B 2. 3. **Zw. Lamb. Vict. Sylb. Cas.** rell. Articulum *τὸ* post *αὐτὸ* prim. addidere **Schn. Cor.** Contra Goettlingius edidit *ἢ αὖ τὸ φύσει*, ut est in **Vet.** (*quam rursus quod natura liberum*) P 1. 4. 5. Idemque restituendum esse censuit etiam **Cas.** In P 3. est *αὐτῷ* idemque legitur in P 2., sed *τῷ* syllaba deleta est et supra scriptum: *τὸ τὸ* (i. e. *αὐτὸ τὸ*). — *τοῦ φύσει δούλου*] *δοῦλον* P 4. —

§. 3. *ὑπολάβοι τις*] *τὶς* B 2. 3. **Zw.** al. *τίς* A 1. ut sexcenties. — *ἄρχειν παριέναι*] *περιέναι* Sᵇ. In P 1. legitur haec glossa: *παραχωρεῖν τῆς ἀρχῆς.* — *ὑπολογεῖν*] Sic scribendum esse prim. coniecit **Cor.**, cuius coniecturam non improbandam censet **Goettl.** Recepit eam **Bekk.** ex 6 codd. suis. Vulgo leg. *ὑπολογεῖν*, ut est in Iᵇ. Vᵇ. P 1. 3. A 1.2. B 2. **Vict. Cam.** *ὑπολογίζειν* B 3. **Sylb. Zw.** (in qua est *ὑπολογιζεῖν*) **Cas. Schn. Goettl.** (cum codd. P 2. 4. 5., ut videtur). In margine P 1. 2. legitur glossa *ἐλαττοῦσθαι.* **Vet.** vertit: *reputare.* Exempla tamen et formae activae et structurae insolentioris me nulla habere fateor. — *μηδὲ πρὸς τοῦτο φροντίζειν*] Ad haec **Coraës** p. 310.: *οὐ μόνον ἀλλότρια τοῦ χωρίου ταῦτα, ἀλλὰ καὶ ἡμαρτημένα τῇ γραφῇ. ἐχρῆν γὰρ εἶναι: μηδὲν πρὸ τούτου φροντίζειν τουτέστι τοῦ ἄρχειν. Ταῦτα προσγράψαντος τινὸς τῷ ἰδίῳ τεύχει ὡς ἐξήγησιν τοῦ ὑπολογίζεσθαι, ἐπελθὼν ἕτερος κατεχώρισεν εἰς τὸ ὕφος, ὡς αὐτοῦ τοῦ φιλοσόφου ῥήματα. Ἔστι μέντοι καὶ τὰς τρεῖς μόνον λέξεις (πρὸς τοῦτο φροντίζειν) ἀποκλείοντας, καὶ τὴν πρώτην εἰς τὸ μηθὲν τρέποντας, συνάπτειν τοῖς προειρημένοις, ὥστ' εἶναι, μηθένα μηθὲν (τουτέστι, κατὰ μηθὲν) ὑπολογίζειν.* — *τὸ δ' εὖ*] *τοῦ δ' εὖ* Sᵇ. Vᵇ. —

§. 4. *ἀλλ' ὑποτίθενται τοῦτο ψεῦδος*] Delevi extremam vocem ut otiosam, secutus auctoritatem *Veteris translationis*, ac veritatem ipsam, si quis acute rem spectet. *ὑποτίθεσθαι* enim valet id, quod dubium et incertum est, tamquam firmum et exploratum statuere, atque ipso uti ut aperto. Etiam **D. Thomas** perspicitur ita locum accepisse. Neque enim solum non agnoscit id nomen, sed etiam explicat vim ac notionem verbi dicens: *Ipsi tamen hoc supponunt tamquam per se manifestum.* VICTOR. **Schneiderus** et *ψεῦδος* vocabulum h. l. necessarium et Victorium in explicando verbo *ὑποτίθεσθαι* falsum esse dicit. **Goettling.**

ἔτι καλὰς τὰς πράξεις ἐνδέχεται εἶναι τῷ μὴ διαφέροντι τοσοῦτον ὅσον ἀνὴρ γυναικὸς ἢ πατὴρ τέκνων ἢ δεσπότης δούλων. ὥστε ὁ παραβαίνων οὐθὲν ἂν τηλικοῦτον κατορθώσειεν ὕστερον ὅσον ἤδη παρεκβέβηκε τῆς ἀρετῆς. τοῖς γὰρ ὁμοίοις τὸ καλὸν καὶ τὸ δίκαιον ἐν τῷ μέρει· τοῦτο γὰρ ἴσον καὶ ὅμοιον. τὸ δὲ μὴ ἴσον τοῖς ἴσοις καὶ τὸ μὴ ὅμοιον τοῖς ὁμοίοις παρὰ φύσιν· οὐδὲν δὲ τῶν παρὰ φύσιν καλόν. διὸ κἂν ἄλλος τις ᾖ κρείττων κατ' ἀρετὴν καὶ κατὰ δύναμιν τὴν πρακτικὴν τῶν ἀρίστων, τούτῳ καλὸν ἀκολουθεῖν καὶ τούτῳ πείθεσθαι δίκαιον. δεῖ δ' οὐ μόνον ἀρετὴν ἀλλὰ καὶ δύναμιν ὑπάρχειν, καθ' ἣν ἔσται πρακτικός.

5. Ἀλλ' εἰ ταῦτα λέγεται καλῶς καὶ τὴν εὐδαιμονίαν εὐπραγίαν θετέον, καὶ κοινῇ πάσης πόλεως ἂν εἴη καὶ καθ' ἕκαστον ἄριστος βίος ὁ πρακτικός. ἀλλὰ τὸν πρακτικὸν οὐκ ἀναγκαῖον εἶναι πρὸς ἑτέρους, καθάπερ οἴονταί τινες, οὐδὲ τὰς διανοίας εἶναι μόνας ταύτας πρακτικὰς τὰς τῶν ἀποβαινόντων χάριν γιγνομένας ἐκ τοῦ πράττειν, ἀλλὰ πολὺ μᾶλλον τὰς αὐτοτελεῖς καὶ τὰς αὑτῶν ἕνεκεν θεωρίας καὶ διανοήσεις· ἡ γὰρ εὐπραξία τέλος, ὥστε καὶ πρᾶξίς τις· μάλιστα δὲ καὶ πράττειν λέγομεν κυρίως καὶ τῶν ἐξωτερικῶν πράξεων τοὺς ταῖς διανοίαις ἀρχιτέκτονας.

6. Ἀλλὰ μὴν οὐδ' ἀπρακτεῖν ἀναγκαῖον τὰς καθ' αὑτὰς πόλεις ἱδρυμένας καὶ ζῆν οὕτω προῃρημένας· ἐνδέχεται γὰρ κατὰ μέρη καὶ τοῦτο συμβαίνειν· πολλαὶ γὰρ κοινωνίαι πρὸς ἄλληλα τοῖς μέρεσι τῆς πόλεώς εἰσιν. ὁμοίως δὲ τοῦτο ὑπάρχει καὶ καθ' ἑνὸς ὁτουοῦν τῶν ἀνθρώπων· σχολῇ γὰρ ἂν ὁ θεὸς ἔχοι καλῶς καὶ πᾶς ὁ κόσμος, οἷς οὐκ εἰσὶν ἐξωτερικαὶ πράξεις παρὰ τὰς οἰκείας τὰς αὐτῶν. ὅτι μὲν οὖν τὸν αὐτὸν βίον ἀναγκαῖον εἶναι τὸν ἄριστον ἑκάστῳ τε τῶν ἀνθρώπων καὶ κοινῇ ταῖς πόλεσι καὶ τοῖς ἀνθρώποις, φανερόν ἐστιν.

CAP. IV.

Cap. 4. Bkk. 1. Ἐπεὶ δὲ πεφροιμίασται τὰ νῦν εἰρημένα περὶ αὐτῶν, καὶ περὶ τὰς ἄλλας πολιτείας ἡμῖν τεθεώρηται πρότερον, ἀρχὴ τῶν λοιπῶν εἰπεῖν πρῶτον ποίας τινὰς δεῖ τὰς ὑποθέσεις εἶναι περὶ τῆς μελλούσης κατ' εὐχὴν συνεστάναι πόλεως. οὐ γὰρ οἷόν τε πολιτείαν γενέσθαι τὴν ἀρίστην ἄνευ συμμέτρου χορηγίας. διὸ δεῖ πολλὰ προϋποτεθεῖσθαι καθάπερ εὐχομένους, εἶναι μέντοι

schon eine Unmöglichkeit, dass die Handlungen eines Herrschers schön seien, der nicht (über Andere) so weit geistig erhaben ist, wie der Mann über das Weib, oder ein Vater über seine Kinder oder ein Herr über seine Sklaven. Also wer (gleich Anfangs) das Sittengesetz übertritt, der kann durch alles spätere Thun diese Uebertretung nicht wieder gut machen. Unter Gleichen nämlich hat Jeder für seinen Theil Anspruch am Schönen und Gerechten; denn eben darin besteht die Gleichheit und Parität. Dagegen ist Ungleichheit und Verschiedenheit unter Gleichen und Aehnlichen wider die Natur. Nichts aber, was wider die Natur, ist schön. Daher denn auch, wenn ein Mann auftritt, der an Tugend und Thatkraft die Besten übertrifft, diesem sich unterzuordnen schön, und diesem zu gehorchen Recht ist. Nur muss ein solcher nicht blos Tugend besitzen, sondern auch diejenige Kraft, in Folge deren er nach Aussen hin wirksam sein kann.

5. Allein wenn dieses richtig, und die Glückseligkeit wohlgelingende Thätigkeit ist, nun so ist auch sowohl für den Staat insgesammt als für den Einzelnen das glücklichste Leben das thätige. Aber das thätige Leben bezieht sich nicht nothwendig auf Andere, wie Einige meinen, und nicht blos die Gedanken sind praktische, welche auf Resultate, die aus dem Handeln hervorgehen, gerichtet sind, sondern in weit höherem Grade sind es die in sich vollendeten, die Betrachtungen und Verstandsreflexionen, welche sich selbst zum Zwecke haben. Denn wohlgelingende Thätigkeit ist Zweck, somit auch That überhaupt; und so schreiben wir denn auch zumeist im eigentlichen Sinne des Worts das Thun auch bei nach Aussen gehenden Handlungen Denen zu, welche die geistigen Werkmeister sind.

6. Ebensowenig aber ist es in der That nothwendig, dass diejenigen Staaten unthätig sind, welche nach Aussen hin abgeschlossen leben, und so zu leben vorziehen. Denn auch hier kann unter den verschiedenen Theilen selbst die Thätigkeit stattfinden, da die einzelnen Theile des Staats viele Verbindungen und Beziehungen gegen einander haben. Dasselbe ist nun aber auch der Fall bei jedem einzelnen Menschen. Auch stünde es sonst schlimm um die Herrlichkeit der Gottheit und des ganzen Weltalls, die doch ausser ihrer eigenthümlichen keine nach Aussen gehenden Thätigkeiten haben. Dass also nothwendig dasselbe Leben sowohl für das einzelne Individuum als auch für die Staaten und die Menschen insgesammt das beste sein müsse, ist einleuchtend.

Kap. IV.

1. Nach diesen einleitenden Bemerkungen über den Gegenstand und da wir über die verschiedenen Verfassungen oben gehandelt haben, ist nun die erste der noch übrigen Untersuchungen die Frage, welche Erfordernisse bei einem Staate, dessen Zustand nach Wunsch sein soll, vorausgesetzt werden müssen. Denn unmöglich kann die beste Verfassung verwirklicht werden ohne angemessene äussere Ausstattung. Es muss also Vieles gleichsam als Wunsch vorausgesetzt sein, doch darf sich darunter nichts Unmögliches befinden. Solche Voraus-

---

ψευδῶς scribendum censet, quod ante eum coniecit Cas., qui ψεῦδος [ ]. Male uterque. —

§. 5. *τὰς αὑτῶν ἕνεκεν*] αὐτῶν A 1. 2. B 2. 3. — *λέγομεν κυρίως καὶ τῶν*] λέγομεν καὶ κυρίους τῶν Vict. Lamb. Zw. Sylb. Cas. Schn. Cor. contra Codd. Defendit tamen scripturam suam Schneider. in Addend. p. 505., ubi miratur, unde duxerint scripturam κυρίως καὶ τῶν Camer. Sepulv. Ram. Non satis accurate exemplaria vet. inspexit vir doctissimus. Est enim scriptura illa in edd. ante Vict. omnibus A 1. 2. B 2. 3. primusque eam tacite mutavit Victorius sine auctoritate. —

§. 6. *καὶ τοῦτο συμβαίνειν*] Antecessit ἀπρακτεῖν, quod repeti hic non convenit cum argumentationis consilio. Igitur aut πράττειν excidit, aut ex negatione ἀπρακτεῖν affirmatio assumenda erit. Schneid. Cor. p. 311. explicat: ἀνὰ μέρος ἀπρακτεῖν καὶ πράττειν. — *σχολῇ γὰρ ἂν ὁ θεὸς ἔχοι καλῶς*] σχολὴν Vet.: *vacationem enim utique deus habebit bene.* — *παρὰ τὰς οἰκείας τὰς αὐτῶν*] τὰς ante αὐτῶν om. P 1., αὐτῶν habet P 5. — *καὶ τοῖς ἀνθρώποις*] Haec verba aut inducenda esse arbitratur Cor. (διὰ τὸ προηγησάμενον ἀνθρώπων ut dicit p. 311.), aut mutanda in καὶ τοῖς ἄλλοις i. e. τοῖς ἄλλως πως κοινωνοῦσι, ταῖς ἄλλαις οἱαισδήποτε κοινωνίαις. Similiter dictum esse VI. cp. 2. §. 10. πόλιν καὶ γένος ἀνθρώπων καὶ πᾶσαν ἄλλην κοινωνίαν. —

Cap. IV. §. 1. *εἰρημένα περὶ αὐτῶν*] Verba περὶ αὐτῶν otiosa videntur Schn. — *περὶ τῆς μελλούσης*] περὶ om. A 2. Cor. [ ] Cas. et praeferenda videbatur haec scriptura Schneidero. — *προϋποτεθεῖσθαι*] Ita Bekk. tacite, ut est in Codd. et editis libris omnibus. προϋποτίθεσθαι de Sylburgii coniectura recep. Schn. Cor. Goettl. In margine

μηθὲν τούτων ἀδύνατον. λέγω δὲ οἷον περί τε πλήθους πολιτῶν καὶ χώρας.

2. Ὥσπερ γὰρ καὶ τοῖς ἄλλοις δημιουργοῖς, οἷον ὑφάντῃ καὶ ναυπηγῷ, δεῖ τὴν ὕλην ὑπάρχειν ἐπιτηδείαν οὖσαν πρὸς τὴν ἐργασίαν (ὅσῳ γὰρ ἂν αὐτὴ τυγχάνῃ παρεσκευασμένη βέλτιον, ἀνάγκη καὶ τὸ γιγνόμενον ὑπὸ τῆς τέχνης εἶναι κάλλιον), οὕτω καὶ τῷ πολιτικῷ καὶ τῷ νομοθέτῃ δεῖ τὴν οἰκείαν ὕλην ὑπάρχειν ἐπιτηδείως ἔχουσαν. ἔστι δὲ πολιτικῆς χορηγίας πρῶτον τό τε πλῆθος τῶν ἀνθρώπων, πόσους τε καὶ ποίους τινὰς ὑπάρχειν δεῖ φύσει, καὶ κατὰ τὴν χώραν ὡσαύτως, ὅσην τε εἶναι καὶ ποίαν τινὰ ταύτην.

3. Οἴονται μὲν οὖν οἱ πλεῖστοι προςήκειν μεγάλην εἶναι τὴν εὐδαίμονα πόλιν· εἰ δὲ τοῦτ' ἀληθές, ἀγνοοῦσι ποία μεγάλη καὶ ποία μικρὰ πόλις. κατ' ἀριθμοῦ γὰρ πλῆθος τῶν ἐνοικούντων κρίνουσι τὴν μεγάλην, δεῖ δὲ μᾶλλον μὴ εἰς τὸ πλῆθος εἰς δὲ δύναμιν ἀποβλέπειν. ἔστι γάρ τι καὶ πόλεως ἔργον, ὥςτε τὴν δυναμένην τοῦτο μάλιστ' ἀποτελεῖν, ταύτην οἰητέον εἶναι μεγίστην, οἷον Ἱπποκράτην οὐκ ἄνθρωπον ἀλλ' ἰατρὸν εἶναι μείζω φήσειεν ἄν τις τοῦ διαφέροντος κατὰ τὸ μέγεθος τοῦ σώματος.

4. Οὐ μὴν ἀλλὰ κἂν εἰ δεῖ κρίνειν πρὸς τὸ πλῆθος ἀποβλέποντας, οὐ κατὰ τὸ τυχὸν πλῆθος τοῦτο οἰητέον (ἀναγκαῖον γὰρ ἐν ταῖς πόλεσιν ἴσως ὑπάρχειν καὶ δούλων ἀριθμὸν πολλῶν καὶ μετοίκων καὶ ξένων), ἀλλ' ὅσοι πόλεώς εἰσι μέρος καὶ ἐξ ὧν συνίσταται πόλις οἰκείων μορίων· ἡ γὰρ τούτων ὑπεροχὴ τοῦ πλήθους μεγάλης πόλεως σημεῖον, ἐξ ἧς δὲ βάναυσοι μὲν ἐξέρχονται πολλοὶ τὸν ἀριθμὸν ὁπλῖται δὲ ὀλίγοι, ταύτην ἀδύνατον εἶναι μεγάλην· οὐ γὰρ ταὐτὸν μεγάλη τε πόλις καὶ πολυάνθρωπος.

5. Ἀλλὰ μὴν καὶ τοῦτό γε ἐκ τῶν ἔργων φανερὸν ὅτι χαλεπόν, ἴσως δ' ἀδύνατον, εὐνομεῖσθαι τὴν λίαν πολυάνθρωπον. τῶν γοῦν δοκουσῶν πολιτεύεσθαι καλῶς οὐδεμίαν ὁρῶμεν οὖσαν ἀνειμένην πρὸς τὸ πλῆθος. τοῦτο δὲ δῆλον καὶ διὰ τῆς τῶν λόγων πίστεως. ὅ τε γὰρ νόμος τάξις τίς ἐστι, καὶ τὴν εὐνομίαν ἀναγκαῖον εὐταξίαν εἶναι, ὁ δὲ λίαν ὑπερβάλλων ἀριθμὸς οὐ δύναται μετέχειν τάξεως· θείας γὰρ δὴ τοῦτο δυνάμεως ἔργον, ἥτις καὶ τόδε συνέχει τὸ πᾶν, ἐπεὶ τό γε καλὸν ἐν πλήθει καὶ μεγέθει εἴωθε γίνεσθαι. διὸ καὶ πόλιν, ἧς μετὰ μεγέθους ὁ λεχθεὶς ὅρος ὑπάρχει, ταύτην εἶναι καλλίστην ἀναγκαῖον.

setzungen sind z. B. eine gewisse Menge Bürger und ein gewisses Landgebiet.

2. Denn so wie jeder andere Kunstwerker, z. B. ein Weber oder Schiffbauer, des Materials in angemessener Qualität zu seiner Arbeit bedarf (je besser nämlich dasselbe beschaffen ist, desto besser muss nothwendig auch das Erzeugniss ihrer Kunst gerathen), ebenso bedarf auch der Staatsmann und Gesetzgeber das Vorhandensein seines eigenthümlichen Materials in angemessener Qualität. Das erste äussere Erforderniss ist hier die Menschenmasse, und es fragt sich: wie viele und von welcher natürlichen Beschaffenheit sind erforderlich, und ebenso hinsichtlich des Landgebiets: wie gross und von welcher Beschaffenheit muss es sein.

3. Die Meisten nun meinen, der glückselige Staat müsse gross sein. Wenn dies aber auch richtig wäre, so sind sie doch in Unwissenheit darüber, was einen grossen und was einen kleinen Staat macht. Die Anzahl der Einwohner nämlich ist für sie das Kriterium des grossen Staats, und doch sollte dies vielmehr nicht die Anzahl, sondern die Kraft sein. Denn auch der Staat hat seine Aufgabe, und somit ist der als der grösste anzusehen, welcher diese am vollkommensten zu lösen vermag, und nicht Hippokrates der Mensch, sondern der Arzt ist grösser zu nennen im Verhältniss zu einem durch Körpergrösse ausgezeichneten Individuum.,

4. Allein gesetzt auch, die Menge der Einwohner soll als Kriterium gelten, so darf das doch nicht jede beliebige Menge sein (denn in den Staaten befindet sich ja vielleicht nothwendig eine grosse Anzahl Sklaven, Schutzgenossen und Fremder), sondern es sind hier nur Die zu rechnen, welche einen Theil des Staats bilden, und aus denen als seinen eigentlichen Gliedern der Staat zusammengesetzt ist. Ihre überwiegende Anzahl ist Merkmal eines grossen Staats, während der Staat, welcher eine grosse Anzahl Lohnarbeiter, aber wenige Hopliten zu stellen vermag, unmöglich ein grosser sein kann; denn ein grosser Staat und ein volkreicher sind nicht Eins und Dasselbe.

5. Allein auch das erweist sich durch die Erfahrung als schwer, ja vielleicht als unmöglich, dass ein zu volkreicher Staat sich eines guten gesetzlichen Zustandes erfreue. Wenigstens sehen wir, dass kein Staat, der in dem Rufe steht, sich einer weisen Verfassung zu erfreuen, gegen das Wachsen seiner Volksmasse gleichgültig gewesen ist. Aber auch durch Vernunftgründe wird dies bestätigt. Das Gesetz nämlich ist eine gewisse Ordnung, und Wohlgesetzlichkeit ist nothwendig Wohlgeordnetheit, eine übermässig grosse Anzahl aber erlaubt keine Ordnung. Denn das ist ja eben allein das Werk göttlicher Kraft, die ja auch dieses All zusammenhält; denn freilich das Schöne pflegt sich in Menge und Grösse zu manifestiren. So muss denn auch ein Staat, mit dessen Grösse auch die angegebene Bestimmung vereinigt ist, in diesem Falle der schönste sein.

Casaub. legitur: „Sylburgius προϋποτίθεσθαι, vel mox εὐχομένοις dativo.“ — μηθὲν τούτων ἀδύνατον] μηθὲν τὰ τῶν ἀδυνάτων S^b. —

§. 2. ὥςπερ γάρ] γὰρ om. V^b. — ὅσῳ γὰρ ἂν αὐτὴ τυγχάνῃ] αὕτη Zw. Sylb. margo Cas. Schn., τυγχάνει P 1. — ὅσην τε εἶναι] πόσην cum Sylb. Schn. Cor. Goettl., *quantam* vertit Vet. —

§. 3. καὶ ποία μικρὰ] ποία om. S^b. V^b. P 1. 3. A 1. 2. B 2. 3. —

§. 4. εἰ δεῖ κρίνειν] κρίνει· A 1. correctum est ab editorr. Bas. — πλῆθος τοῦτο οἰητέον] ποιητέον scribendum esse censuit Camer. p. 279 recep. Schn. Cor. Goettl. — ἴσως ὑπάρχειν] ἴσως om. tacite G. — δούλων ἀριθμὸν] ἀριθμῶν S^b. V^b.

§. 5. ἀλλὰ μὴν] Vet. suo more scriptum vertit οὐ μὴν ἀλλὰ *non solum sed*. Schneid. — καὶ τοῦτό γε ἐκ τῶν ἔργων] mutato verborum ordine Cor. τοῦτό γε καὶ ἐκ τῶν ἔργων. — ὁρῶμεν οὖσαν] οὖσαν tacite om. Schn. Cor. G. — πρὸς τὸ πλῆθος] τὸ delet in notis Cor. — ἐπεὶ τό γε καλὸν ἐν πλήθει καὶ μεγέθει εἴωθε γίνεσθαι] Schneidero aut totum hoc dictum aut certe verba ἐν πλήθει καὶ videntur esse ab hoc loco aliena, hoc enim apparere ex Eth. Nic. IV, 6, 7. Poët. 7, 8. Cor. deleta interpunctione maiore post γίγνεσθαι, edidit: ἐπεὶ δὲ τὸ καλὸν ἐν πλ. κ. μ. εἴωθε γίγνεσθαι, καὶ πόλιν, ᾗ μετὰ μεγέθους κ. τ. λ. Contra Goettlingius: „Mihi optime huic loco quadrare videtur vulgata scriptura. Ad πλήθει et μεγέθει aptissime intelligitur τινὶ vel ὡρισμένῳ.“ Cfr. Creuzer ad Plotin. de pulcritud. p. 407. — διὸ καὶ πόλιν, ἧς] καὶ om. S^b. πόλις habent I^b. P 1. 3. 4. A 1. 2. B 2. 3. Goettl. qui: „Ceteri (inquit) inde a Victorio πόλιν. Sed πόλις inconcinne quidem dictum est, non abhorret tamen a legibus grammaticis.“ De Cor. vide notam superiorem. —

6. Ἀλλ' ἔστι τι καὶ πόλεσι μεγέθους μέτρον, ὥσπερ καὶ τῶν ἄλλων πάντων, ζῴων φυτῶν ὀργάνων. καὶ γὰρ τούτων ἕκαστον οὔτε λίαν μικρὸν οὔτε κατὰ μέγεθος ὑπερβάλλον ἕξει τὴν αὑτοῦ δύναμιν, ἀλλ' ὁτὲ μὲν ὅλως ἐστερημένον ἔσται τῆς φύσεως, ὁτὲ δὲ φαύλως ἔχον, οἷον πλοῖον σπιθαμιαῖον μὲν οὐκ ἔσται πλοῖον ὅλως, οὐδὲ δυοῖν σταδίοιν, εἰς δέ τι μέγεθος ἐλθὸν ὁτὲ μὲν διὰ σμικρότητα φαύλην ποιήσει τὴν ναυτιλίαν, ὁτὲ δὲ διὰ τὴν ὑπερβολήν.

7. Ὁμοίως δὲ καὶ πόλις ἡ μὲν ἐξ ὀλίγων λίαν οὐκ αὐτάρκης (ἡ δὲ πόλις αὔταρκες), ἡ δὲ ἐκ πολλῶν ἄγαν ἐν μὲν τοῖς ἀναγκαίοις αὐτάρκης, ὥσπερ ἔθνος, ἀλλ' οὐ πόλις· πολιτείαν γὰρ οὐ ῥᾴδιον ὑπάρχειν· τίς γὰρ στρατηγὸς ἔσται τοῦ λίαν ὑπερβάλλοντος πλήθους, ἢ τίς κῆρυξ μὴ Στεντόρειος; διὸ πρώτην μὲν εἶναι πόλιν ἀναγκαῖον τὴν ἐκ τοσούτου πλήθους ὃ πρῶτον πλῆθος αὔταρκες πρὸς τὸ εὖ ζῆν ἐστὶ κατὰ τὴν πολιτικὴν κοινωνίαν. ἐνδέχεται δὲ καὶ τὴν ταύτης ὑπερβάλλουσαν κατὰ πλῆθος εἶναι μείζω πόλιν· ἀλλὰ τοῦτ' οὐκ ἔστιν, ὥσπερ εἴπομεν, ἀόριστον. τίς δ' ἐστὶν ὁ τῆς ὑπερβολῆς ὅρος, ἐκ τῶν ἔργων ἰδεῖν ῥᾴδιον. εἰσὶ γὰρ αἱ πράξεις τῆς πόλεως τῶν μὲν ἀρχόντων τῶν δ' ἀρχομένων, ἄρχοντος δ' ἐπίταξις καὶ κρίσις ἔργον. πρὸς δὲ τὸ κρίνειν περὶ τῶν δικαίων καὶ πρὸς τὸ τὰς ἀρχὰς διανέμειν κατ' ἀξίαν ἀναγκαῖον γνωρίζειν ἀλλήλους, ποῖοί τινές εἰσι, τοὺς πολίτας, ὡς ὅπου τοῦτο μὴ συμβαίνει γίγνεσθαι, φαύλως ἀνάγκη γίγνεσθαι τὰ περὶ τὰς ἀρχὰς καὶ τὰς κρίσεις· περὶ ἀμφότερα γὰρ οὐ δίκαιον αὐτοσχεδιάζειν, ὅπερ ἐν τῇ πολυανθρωπίᾳ τῇ λίαν ὑπάρχει φανερῶς.

8. Ἔτι δὲ ξένοις καὶ μετοίκοις ῥᾴδιον μεταλαμβάνειν τῆς πολιτείας· οὐ γὰρ χαλεπὸν τὸ λανθάνειν διὰ τὴν ὑπερβολὴν τοῦ πλήθους. δῆλον τοίνυν ὡς οὗτός ἐστι πόλεως ὅρος ἄριστος, ἡ μεγίστη τοῦ πλήθους ὑπερβολὴ πρὸς αὐτάρκειαν ζωῆς εὐσύνοπτος. περὶ μὲν οὖν μεγέθους πόλεως διωρίσθω τὸν τρόπον τοῦτον.

6. Allein es haben auch die Staaten ein gewisses Maass der Grösse, so gut wie alle andern Dinge, Thiere, Pflanzen, Werkzeuge. Keins von diesen wird, weder wenn es zu klein, noch wenn es übermässig gross ist, seine eigenthümliche Kraft haben, sondern wird in dem einen Falle ganz seine Natur verlieren, im andern schlecht bestellt sein. Ein spannenlanges Fahrzeug z. B. wird gar kein Fahrzeug mehr sein, ebensowenig eins, was zwei Stadien lang wäre, während dagegen ein anderes Grösseverhältniss ein Fahrzeug entweder durch seine Kleinheit oder durch seine übermässige Grösse zum Gebrauch so gut wie untauglich machen wird.

7. Ebenso würde auch ein Staat hier mit zu wenigen Bewohnern nicht sich selbst genugsam sein (der Staat aber soll dies), dort mit zu vielen zwar hinsichtlich der nothwendigen Bedürfnisse sich selbst genugsam, wie es eine Völkerschaft ist, aber kein Staat mehr sein, denn eine Verfassung würde da nicht leicht bestehen können. Wer sollte denn Heerführer dieser so übergrossen Masse sein? oder wer Herold, wenn nicht eine Art von Stentor? Also ein Staat ist nothwendig erst derjenige, wo die Anzahl der Einwohner die Grösse erreicht, dass sie zum Glücklichleben in bürgerlicher Gemeinschaft sich selbst genugsam ist. Nun kann es aber wohl noch einen diesen an Volksmasse übertreffenden grösseren Staat geben. Allein dies Steigen geht, wie gesagt, nicht ins Grenzenlose fort. Welches hier die Grenzen sind, lässt sich leicht aus den Thatsachen ersehen, der Staat hat seine Verrichtungen, welche in die der Herrschenden und die der Beherrschten zerfallen. Die Aufgabe des Herrschenden ist Anordnen und Richten. Um aber über die jedesmaligen Rechtsverhältnisse entscheiden und die Staatsämter nach Würdigkeit vertheilen zu können, müssen die Bürger sich unter einander kennen und wissen, was an ihnen ist, weil, wo dies nicht der Fall, es um die Besetzung und Verwaltung der Staatsämter und um die richterlichen Entscheidungen nothwendig schlecht bestellt ist. Denn in beiden aufs Geradewohl zu verfahren, ist nicht recht, und doch geschieht es offenbar in einem übermässig volkreichen Staate.

8. In einem solchen wird es ferner Fremden und Schutzgenossen leicht, das Bürgerrecht zu usurpiren, weil sie bei der übermässigen Volksmasse leicht unentdeckt bleiben. Offenbar also ist die beste Begrenzung eines Staats folgende: diejenige grösstmögliche Höhe der Bürgerzahl für die Selbsthinlänglichkeit, welche dabei zugleich leicht übersehlich ist. Dies genüge zur Bestimmung der Grösse eines Staats.

CAP. V.

Cap. 5. Bkk. 1. Παραπλησίως δὲ καὶ τὰ περὶ τῆς χώρας ἔχει. περὶ μὲν γὰρ τοῦ ποίαν τινά, δῆλον ὅτι τὴν αὐταρκεστάτην πᾶς τις ἂν ἐπαινέσειεν. τοιαύτην δ' ἀναγκαῖον εἶναι τὴν παντοφόρον· τὸ γὰρ πάντα ὑπάρχειν καὶ δεῖσθαι μηθενὸς αὔταρκες. πλήθει

Kap. V.

1. Aehnlich verhält es sich nun auch mit dem Landgebiete. Fragt man, von welcher Beschaffenheit es sein müsse, so wird offenbar Jedermann demjenigen den Preis ertheilen, welches allen Bedürfnissen vollkommen genügt. Ein solches ist nun nothwendig einmal das alle Bedürfnisse hervorbringende. Denn darin, dass

---

§. 6. *καὶ πόλεσι*] πόλιως P 1. — *ὑπερβάλλον*] ὑπερβάλλων B 2. 3. — *τὴν αὑτοῦ δύναμιν*] αὐτοῦ P 4. — *σμικρότητα*] Sic tacite Bekk., ut est in Vict. Zw. Sylb. Cas. Schn. Cor. Sed in edd. vetustissimis A 1. 2. B 2. 3. est μικρότητα, quod revocavit Goettl., qui alteram illam formam abhorrere dicit ab Aristotelis aetate. —

§. 7. *(ἡ δὲ πόλις αὔταρκες)*] om. Sb. Vb. A 1. 2. B 2. 3. (quod non notarunt editores), addidit verba om. prim. Victorius tacite. — *ἐν μὲν τοῖς ἀναγκαίοις*] Sic edd. ab A 1. ad Bekk. omnes. ἐν τοῖς μὲν ἀναγκ. Bkk. tacite. — *κῆρυξ*] κήρυξ edd. omnes ante G. qui: „Sic scripsi (inquit) ad mentem Herodiani pro vulgato κήρυξ. Vide quae de hoc accentu notavimus ad Theodos. gr. p. 238.“ κῆρυξ etiam Bekk. tacite. Cfr. Spitzner. in Homer. Iliad. II, 184. Goettling. de accentu p. 254. Aliter Herm. de emend. rat. gr. gr. p. 71. — *πολιτείαν γάρ*] πολίτην γάρ Sb. Vb. — *μείζω πόλιν*] Schn. et Cor. μείζω, ut interpretamentum participii ὑπερβάλλουσαν secluserunt. Mihi contra haud sollicitandum videtur μείζω. Goettl. — *τῶν μὲν ἀρχόντων τῶν δ' ἀρχομένων*] αἱ μὲν τῶν ἀρχόντων, αἱ δὲ τῶν ἀρχ. B 3. — *ἐν τῇ πολυανθρωπίᾳ τῇ λίαν*] in ea quae valde multorum hominum Vet., cuius vestigia secutus Cor.: γραπτέον, οἶμαι, „ἐν τῇ πολυανθρώπῳ λίαν“, ἧς γραφῆς ἴχνη σώζει καὶ ἡ ἀρχαία μετάφρασις. —

§. 8. *ἄριστος, ἡ μεγίστη τοῦ πλήθους ὑπερβολὴ πρὸς αὐτάρκειαν ζωῆς εὐσύνοπτος*] Super εὐσύνοπτος in P 2. scriptum legitur: ἢ καὶ εὐβοήθητος; in P 1. vero εὐβοήθητος (cfr. cp. 5. §. 2. τὸ δ' εὐσύνοπτον τὸ εὐβοήθητον εἶναι τὴν χώραν ἐστίν). Ceterum Schneid. ita scribendum esse existimabat: ἄριστος τῆς μεγίστης ἡ μεγίστη τοῦ πλ. ὑπερβολὴ πρὸς αὐτ. ζωῆς, εὐσύνοπτος δέ. Non assentior. Goettl. —

Cap. V. §. 1. *τὰ περὶ τῆς χώρας*] τὰ om. Sb. Vb. — *τοιαύτην δ'*] ταύτην Schn. Cor. tacite. —

§. 5. διὸ κατ' εὐχὴν] διὸ κατατυχεῖν Cor. qui confert VII. cp. 10, §. 1. τὴν θέσιν (τῆς πόλεως) εὔχεσθαι δεῖ κατατυγχάνειν πρὸς τέτταρα βλέποντας. — ὧν ἡ τύχη κυρία] ἐξ ὧν, addita praepositione, Reiz. Schn. cum Sepulveda. In P 1. 2. haec glossa est διὸ εὐχόμεθα τὴν σύστασιν τῆς πόλεως τῆς κατ' εὐχήν· οὕτω γὰρ χρὴ συντάττειν· ἐκεῖνα οὖν εὐχόμεθα, ὧν ἡ τύχη κυρία. ἐπεὶ περὶ τῶν ἐφ' ἡμῖν οὐ χρὴ εὔχεσθαι, οἷον πλοῦτον, εὐκρασίας (εὐπραγίας? G.), νίκης. — κυρίαν γὰρ αὐτὴν] αὐτὴν om. Ib. Vb. — τῷ τοὺς πολίτας τοὺς μετέχοντας]
τῷ
τὸ pro τῷ Sb. Vb. P 1. 3 τὸ P 2. τοὺς πολίτας om. P 1. et delend. censet Goettl.; esse enim glossam ad τοὺς μετέχ. τῆς πολιτείας. — πῶς ἀνὴρ γίνεται] γίνοιτ' ἂν P 1. — καὶ γὰρ εἰ πάντας ἐνδέχεται — μὴ καθ' ἕκαστον δὲ] In his verbis explicandis fere omnes haeserunt interpretes. Camerario et Conringio distinctionis nota post μὴ particulam ponenda videtur. Sepulveda et Lambinus post αἱρετώτερον in

6. Ἀλλὰ μὴν ἀγαθοί γε καὶ σπουδαῖοι γίγνονται διὰ τριῶν. τὰ τρία δὲ ταῦτά ἐστι φύσις ἔθος λόγος. καὶ γὰρ φῦναι δεῖ πρῶτον, οἷον ἄνθρωπον ἀλλὰ μὴ τῶν ἄλλων τι ζῴων, εἶτα καὶ ποιόν τινα τὸ σῶμα καὶ τὴν ψυχήν. ἔνιά τε οὐθὲν ὄφελος φῦναι· τὰ γὰρ ἔθη μεταβαλεῖν ποιεῖ· ἔνια γάρ ἐστι διὰ τῆς φύσεως, ἐπαμφοτερίζοντα διὰ τῶν ἐθῶν ἐπὶ τὸ χεῖρον καὶ τὸ βέλτιον.

7. Τὰ μὲν οὖν ἄλλα τῶν ζῴων μάλιστα μὲν τῇ φύσει ζῇ, μικρὰ δ' ἔνια καὶ τοῖς ἔθεσιν, ἄνθρωπος δὲ καὶ λόγῳ· μόνον γὰρ ἔχει λόγον. ὥστε δεῖ ταῦτα συμφωνεῖν ἀλλήλοις· πολλὰ γὰρ παρὰ τοὺς ἐθισμοὺς καὶ τὴν φύσιν πράττουσι διὰ τὸν λόγον, ἐὰν πεισθῶσιν ἄλλως ἔχειν βέλτιον. τὴν μὲν τοίνυν φύσιν οἵους εἶναι δεῖ τοὺς μέλλοντας εὐχειρώτους ἔσεσθαι τῷ νομοθέτῃ, διωρίσμεθα πρότερον, τὸ δὲ λοιπὸν ἔργον ἤδη παιδείας· τὰ μὲν γὰρ ἐθιζόμενοι μανθάνουσι, τὰ δ' ἀκούοντες.

CAP. XIII.

Cap. 14. init. 1. Ἐπεὶ δὲ πᾶσα πολιτικὴ κοινωνία συνέστηκεν ἐξ ἀρχόντων καὶ ἀρχομένων, τοῦτο δὴ σκεπτέον, εἰ ἑτέρους εἶναι δεῖ τοὺς ἄρχοντας καὶ τοὺς ἀρχομένους ἢ τοὺς αὐτοὺς διὰ βίου· δῆλον γὰρ ὡς ἀκολουθεῖν δεήσει καὶ τὴν παιδείαν κατὰ τὴν διαίρεσιν ταύτην. εἰ μὲν τοίνυν εἴησαν τοσοῦτον διαφέροντες ἅτεροι τῶν ἄλλων ὅσον τοὺς θεοὺς καὶ τοὺς ἥρωας ἡγούμεθα τῶν ἀνθρώπων διαφέρειν, εὐθὺς πρῶτον κατὰ τὸ σῶμα πολλὴν ἔχοντας ὑπερβολήν, εἶτα κατὰ τὴν ψυχήν, ὥστε ἀναμφισβήτητον εἶναι καὶ φανερὰν τὴν ὑπεροχὴν τοῖς ἀρχομένοις τὴν τῶν ἀρχόντων, δῆλον ὅτι βέλτιον ἀεὶ τοὺς αὐτοὺς τοὺς μὲν ἄρχειν τοὺς δ' ἄρχεσθαι καθάπαξ.

2. Ἐπεὶ δὲ τοῦτ' οὐ ῥᾴδιον λαβεῖν οὐδ' ἔστιν ὥσπερ ἐν Ἰνδοῖς φησὶ Σκύλαξ εἶναι τοὺς βασιλέας τοσοῦτον διαφέροντας τῶν ἀρχομένων, φανερὸν ὅτι διὰ πολλὰς αἰτίας ἀναγκαῖον πάντας ὁμοίως κοινωνεῖν τοῦ κατὰ μέρος ἄρχειν καὶ ἄρχεσθαι. τό τε γὰρ ἴσον ταὐτὸν τοῖς ὁμοίοις, καὶ χαλεπὸν μένειν τὴν πολιτείαν τὴν συνεστηκυῖαν παρὰ τὸ δίκαιον. μετὰ γὰρ τῶν ἀρχομένων ὑπάρχουσι νεωτερίζειν βουλόμενοι πάντες οἱ κατὰ τὴν χώραν·

6. Gut und tugendhaft werden nun aber die Menschen durch drei Dinge; diese sind: Natur, Gewöhnung, Vernunft. Zuerst nämlich muss man geboren, d. h. von Natur Mensch und nicht irgend ein anderes Thier, demnächst auch an Leib und Seele so und so beschaffen sein. Dass Einiges uns angeboren wird, ist von keinem Nutzen, denn die Gewöhnung bewirkt, dass es sich verändert. Manche Anlagen haben wir nämlich durch die Natur, die durch die Gewöhnung zum Schlechteren und zum Besseren sich wenden.

7. Die übrigen Thiere nun leben meist nach dem Naturtriebe, in wenigen Stücken einige auch nach der Gewohnheit, der Mensch dagegen auch nach der Vernunft; denn er allein hat Vernunft. Diese müssen also mit einander im Einklang sein; denn Vieles thun wir gegen unsere Gewöhnungen und unsere Natur auf Antrieb der Vernunft, wenn wir uns überzeugt haben, dass es so besser sei. Wie nun von Natur die beschaffen sein müssen, welche für den Gesetzgeber leicht zu behandeln sein sollen, haben wir oben bestimmt. Das Uebrige ist jetzt Werk der Erziehung, denn Einiges lernen die Menschen durch Gewöhnung, Anderes durch Unterricht.

Kap. XIII.

1. Da jede politische Gemeinschaft aus Herrschenden und Beherrschten besteht, so haben wir jetzt zu ermitteln, ob die Herrschenden und Beherrschten abwechseln oder lebenslänglich dieselben sein sollen. Offenbar nämlich wird sich nach dieser Unterscheidung auch die Erziehung bestimmen müssen. Wären nun die Einen so vor den Andern hervorragend, als wir glauben, dass die Götter und Heroen vor den Menschen hervorragen, gleich zunächst körperlich bei weitem überragend, und demnächst auch an Geist, so dass für die Beherrschten die Ueberlegenheit der Herrschenden unzweifelhaft und augenscheinlich wäre, so würde es offenbar besser sein, dass immer dieselben ein für allemal hier herrschten, dort beherrscht würden.

2. Da aber dies nicht leicht anzunehmen, noch es der Fall ist, dass, wie Skylax von den Indern erzählt, die Könige so sehr vor den Beherrschten hervorragen, so ist einleuchtend, dass aus vielen Gründen nothwendig Alle in gleicher Weise an dem abwechselnden Herrschen und Beherrschtwerden Antheil haben müssen. Denn für die Gleichen ist ein und dasselbe recht und billig, und schwerlich kann eine Verfassung Bestand haben, welche in sich eine Verletzung des Rechts enthält. Denn auf Seiten den Beherrschten stehen als natürliche Verbündete in der Begierde nach Neuerungen sämmt-

proximis addiderunt verba ἀλλ' οὐκ ἐνδέχεται, quae recep. Reizius. Schneiderus mutata μή particulae sede edidit: καὶ γὰρ εἰ μὴ πάντας, quod recepit Cor. Contra Goettlingius: ego nihil mutavi (inquit); nam ad οὕτως αἱρετώτερον subaudiendum est τὸ καθέκαστον.

§. 6. εἶτα καὶ] οὕτω καὶ Pb. Sb. Vb. P 1. 2. 3. Vet. A 1. 2. B 2. 3. Vict. Zw. (in latina tamen Victorii interpretatione est: *deinde*) Goettl., εἶτα prim. Lamb. — ἔνιά τε οὐθὲν ὄφελος] Conringius malit δέ (ut est in Vet); vertit Lamb. *autem*, Ram. *tametsi*, Vict. *enim*. Sed Aristoteles usurpare ita solet particulam enclit. τέ post dictionem primam illatae novae periodi. Cfr. cp. 14. §. 7. §. 14. et VIII, cp. 1. §. 14. Reiz. — μεταβαλεῖν] μεταβάλλειν Cor. — ἔνια γάρ ἐστι διὰ τῆς φύσεως] Comma post φύσεως pos. Reiz. Schn. G. Schneiderus malebat: ἔνια δὲ διὰ τῆς φύσ. ἐπαμφοτερίζοντα, διὰ τῶν ἐθῶν βέλτιον ἄγονται. Cor. edidit ἔνια γάρ ἐστιν ἴδια τῆς φύσεως, ἐπαμφοτερίζοντα δὲ διὰ τῶν ἐθῶν κτλ. Mihi ita scribend. videtur: ἔνια γάρ ἐστι τῆς φύσεως ἐπαμφοτερίζοντα διὰ τῶν ἐθῶν κτλ. Goettl. Post διὰ τῶν ἐθῶν deesse aliquid putabat Conring. Omnium optime Reizius p. 14. —

§. 7. ἐθιζόμενοι] ἐθιζόμενα Pb. —

Cap. XIII. §. 1. τοῦτο δὴ σκεπτέον] ἤδη (*iam*) videtur legisse Vet. — κατὰ τὴν διαίρεσιν] τήν om. Sb. Vb. — κατὰ τὸ σῶμα πολλὴν ἔχοντας ὑπερβολήν, εἶτα] h. v. om. a Goettl. — τοὺς μὲν ἄρχειν] τούς om. G. tacite. —

§. 2. οὐδ' ἔστιν] οὐδέ ἐστιν G., ut est in A 1. 2. B 2. 3. Vict. Zw. Sylb. Cas. Reiz. Schn. Cor. — ὥσπερ ἐν Ἰνδοῖς] Annon legendum est ὅπερ? Reiz. — τοῦ κατὰ μέρος ἄρχειν] Vitium in his verbis esse puto. Debebat enim esse: κοινωνεῖν τοῦ ἄρχειν καὶ ἄρχεσθαι κατὰ μέρος. Prius enim erat demonstrare, non eosdem semper esse debere, qui imperent, sed omnes participare debere; deinde modus, quo id posset effici, ostendendus erat: τὸ κατὰ μέρος. Nunc vero modus cum ipso facto permiscetur et confunditur. Schneid. — μετὰ γὰρ τῶν ἀρχομένων — βουλόμενοι] Sine dubio legend. est βουλομένων. Reiz. Idem in interpretatione posuit Vict.; μετὰ γὰρ τῶν εἰργομένων τοῦ ἄρχειν κτλ. edidit Cor. citans Aretini

τοσούτους τε εἶναι τοὺς ἐν τῷ πολιτεύματι τὸ πλῆθος ὥςτ' εἶναι κρείττους πάντων τούτων, ἕν τι τῶν ἀδυνάτων ἐστίν.

3. Ἀλλὰ μὴν ὅτι γε δεῖ τοὺς ἄρχοντας διαφέρειν τῶν ἀρχομένων, ἀναμφισβήτητον. Πῶς οὖν ταῦτ' ἔσται καὶ πῶς μεθέξουσι, δεῖ σκέψασθαι τὸν νομοθέτην. εἴρηται δὲ πρότερον περὶ αὐτοῦ. ἡ γὰρ φύσις δέδωκε τὴν αἵρεσιν, ποιήσασα αὐτῷ τῷ γένει ταὐτὸν τὸ μὲν νεώτερον τὸ δὲ πρεσβύτερον, ὧν τοῖς μὲν ἄρχεσθαι πρέπει, τοῖς δ' ἄρχειν. ἀγανακτεῖ δὲ οὐδεὶς καθ' ἡλικίαν ἀρχόμενος, οὐδὲ νομίζει εἶναι κρείττων, ἄλλως τε καὶ μέλλων ἀντιλαμβάνειν τοῦτον τὸν ἔρανον, ὅταν τύχῃ τῆς ἱκνουμένης ἡλικίας.

4. Ἔστι μὲν ἄρα ὡς τοὺς αὐτοὺς ἄρχειν καὶ ἄρχεσθαι φατέον, ἔστι δὲ ὡς ἑτέρους. ὥςτε καὶ τὴν παιδείαν ἔστιν ὡς τὴν αὐτὴν ἀναγκαῖον, ἔστι δ' ὡς ἑτέραν εἶναι. τόν τε γὰρ μέλλοντα καλῶς ἄρχειν ἀρχθῆναί φασι δεῖν πρῶτον. ἔστι δ' ἀρχή, καθάπερ ἐν τοῖς πρώτοις εἴρηται λόγοις, ἡ μὲν τοῦ ἄρχοντος χάριν, ἡ δὲ τοῦ ἀρχομένου. τούτων δὲ τὴν μὲν δεσποτικὴν εἶναί φαμεν, τὴν δὲ τῶν ἐλευθέρων.

5. Διαφέρει δ' ἔνια τῶν ἐπιταττομένων οὐ τοῖς ἔργοις ἀλλὰ τῷ τίνος ἕνεκα. διὸ πολλὰ τῶν εἶναι δοκούντων διακονικῶν ἔργων καὶ τῶν νέων τοῖς ἐλευθέροις καλὸν διακονεῖν· πρὸς γὰρ τὸ καλὸν καὶ τὸ μὴ καλὸν οὐχ οὕτω διαφέρουσιν αἱ πράξεις καθ' αὑτὰς ὡς ἐν τῷ τέλει καὶ τῷ τίνος ἕνεκεν. ἐπεὶ δὲ πολίτου καὶ ἄρχοντος τὴν αὐτὴν ἀρετὴν εἶναί φαμεν καὶ τοῦ ἀρίστου ἀνδρός, τὸν δ' αὐτὸν ἀρχόμενόν τε δεῖν γίγνεσθαι πρότερον καὶ ἄρχοντα ὕστερον, τοῦτ' ἂν εἴη τῷ νομοθέτῃ πραγματευτέον, ὅπως ἄνδρες ἀγαθοὶ γίγνωνται, καὶ διὰ τίνων ἐπιτηδευμάτων, καὶ τί τὸ τέλος τῆς ἀρίστης ζωῆς.

6. Διῄρηται δὲ δύο μέρη τῆς ψυχῆς, ὧν τὸ μὲν ἔχει λόγον καθ' αὑτό, τὸ δ' οὐκ ἔχει μὲν καθ' αὑτό, λόγῳ δ' ὑπακούειν δυνάμενον. ὧν φαμὲν τὰς ἀρετὰς εἶναι καθ' ἃς ἀνὴρ ἀγαθὸς λέγεταί πως. τούτων δὲ ἐν ποτέρῳ μᾶλλον τὸ τέλος, τοῖς μὲν οὕτω διαιροῦσιν ὡς ἡμεῖς φαμὲν οὐκ ἄδηλον πῶς λεκτέον. αἰεὶ γὰρ τὸ χεῖρον τοῦ βελτίονός ἐστιν ἕνεκεν, καὶ τοῦτο φανερὸν ὁμοίως ἔν τε τοῖς κατὰ τέχνην καὶ τοῖς κατὰ φύσιν· βέλτιον δὲ τὸ λόγον ἔχον.

liche Bewohner des Landgebiets, während es ein Ding der Unmöglichkeit ist, dass die Zahl Derer, welche am Ruder sitzen, so bedeutend sein sollte, dass sie diesen Allen überlegen wären.

3. Dass nun aber allerdings die Herrschenden vor den Beherrschten gewisse Vorzüge haben müssen, ist unzweifelhaft. Wie nun dies zu bewirken, und wie alle (an beiden Verhältnissen) Theil nehmen sollen, hat der Gesetzgeber zu ermitteln. Es ist aber im Vorigen davon geredet worden. Die Natur selbst nämlich hat hier einen Ausweg gegeben, indem sie es so einrichtete, dass ein Wesen, was seiner Gattung nach dasselbe ist, hier jünger dort älter ist, von welchen es denn den einen zukommt beherrscht zu werden, den andern zu herrschen. Nun nimmt aber keiner Aergerniss daran, dass er seinem Alter gemäss beherrscht wird, noch hält er sich zu gut dazu, zumal wenn auch er die Aussicht hat, seinerseits diesen Ehrenvorzug zu erlangen, sobald er das gehörige Alter erreicht hat.

4. Es lässt sich also einerseits sagen, dass immer Dieselben, andrerseits, dass Verschiedene herrschen und beherrscht werden; so dass also auch die Erziehung in einem gewissen Sinne gleich, in einem andern dagegen eine verschiedene sein müsse. Denn wer gut herrschen soll, muss, sagt man, zuvor gehorcht haben. Es ist aber die Herrschaft, wie das in den ersten Untersuchungen gesagt worden, entweder zum Besten des Herrschenden oder zu dem des Beherrschten. Jene nennen wir die Herrschaft des Despoten, diese die Herrschaft über Freie.

5. Einiges aber von Dem, was geboten wird, erleidet einen Unterschied nicht sowohl hinsichtlich der Verrichtungen, als hinsichtlich des: um wessentwillen. So sind denn auch viele der Verrichtungen, die für einen Diener zu gehören scheinen, auch für freigeborne Jünglinge zu verrichten anständig; denn eben hinsichtlich des anständig und nicht anständig sind die Handlungen nicht sowohl schlechthin an sich verschieden, als in Betreff des Zwecks und des um wessentwillen. Da wir nun behaupten, die Tugend eines Bürgers und Herrschenden sei identisch mit der des tugendhaftesten Mannes, und es müsse eben derselbe erst gehorchen lernen und dann herrschen, so hat wohl der Gesetzgeber dies zu ermitteln, wie ein Mensch tugendhaft werde, und durch welche Wissenschaften und Beschäftigungen, und welches das Ziel des tugendhaftesten Lebens sei.

6. Die Seele scheidet sich in zwei Theile, davon der eine Vernunft hat an sich, der andere sie zwar an sich nicht hat, wohl aber fähig ist, der Vernunft zu gehorchen. Die Tugenden dieser sind es nach unsrer Ansicht, in Folge deren etwa ein Mensch gut genannt wird. In welchem von beiden nun aber vorzugsweise das Ziel enthalten sei, kann für Diejenigen, welche unsere Eintheilung annehmen, nicht zweifelhaft sein. Denn stets ist das Schlechtere um des Besseren willen da, und dies ist einleuchtend sowohl in den Werken der Kunst, als in denen der Natur. Besser aber ist das, was Vernunft hat.

---

interpretationem (*qui ab imperando excluderentur*) et Politic. V, cp. 7. §. 9., ubi legitur ἀγανακτοῦσιν εἰργόμενοι τοῦ ἄρχειν. — τοσούτους τε] δὲ Aret. —

§. 3. δέδωκε τὴν αἵρεσιν] διαίρεσιν A 2. Aret. Ram. Cor. — αὐτῷ τῷ γένει] αὐτὸ τῷ γ. Iᵇ. Vᵇ. P 2.3.4. Vict. Zw. G. αὐτῷ τῶν γένει A 1. 2. B 2. τῶν αὐτῶν τῷ γένει B 3. Lamb. Ram. Schn. Cor. Reiz. *eidem generi* Vet. *facit enim eosdem genere alios iuniores* Aret. Bekkeri scriptura est in P 1. Cam. Sylb. Cas.; Camerarius vitiosum esse locum dicit. — ταὐτὸν] Sic Bekk., ταὐτὸ reliq. Sed om. vocabulum B 3. Reiz. Schn. Cor. — οὐδὲ νομίζει] οὐδ' εἰ νομίζει Reiz. de Sepulv. (*etiamsi — censeat*) coniectura a Victorio (p. 552. Zw.) commemorata. οὐδ' εἰ νομίζοι Cor. — εἶναι κρείττων] Aretinus aliam scripturam, κρείττω reddidit: *nec putat illum, cui cedit, potiorem esse.* Schn.

§. 4 τόν τε γὰρ μέλλοντα] Usitatius erat καὶ γὰρ τὸν μ. Reiz. πλεονάζει ἅτερος τῶν συνδεσμῶν ὁπότερος οὖν; ΚΟΡ. — τὴν δὲ τῶν ἐλευθέρων] Post h. v. lacunae sign. posit. in Conr. Reiz.

§. 5. τὴν αὐτὴν ἀρετὴν] Cum editis libris interpretationes latinae fere consentiunt, in nostro autem vetere codice locus hic mutilus est. Camer. — δεῖν γίγνεσθαι] δεῖ Sᵇ. Vᵇ. — ὅπως ἄνδρες ἀγαθοὶ γίγνωνται] γίγνονται Iᵇ. πῶς ἀνδρ. ἀγ. γίνωνται Schn. πῶς ἀ. ἀγ. γίγνονται Cor. idem tamen elegantius (κομψότερον) scribi iudicat: πῶς ἂν ἄνδρ. ἀγ. γίγνοιντο. Contra Goettl.: non opus est (inquit) ut aliquid mutes; ὅπως enim est quomodo relativum; πῶς quomodo interrogativum. —

§. 6. λόγῳ δ' ὑπακούειν] ὑπακούει Sᵇ. — καθ' ἃς] καθ' ἡμᾶς Sᵇ. Vᵇ. — τούτων δὲ ἐν] Sic ex P 2. G. τ. δ' ἐν Sylb. Cas. et Bekk. tacite. δὲ plene scriptum est etiam in edd. antiq. A 1. 2. B 2. 3. Vict. Zw. rell. Schn. Cor. pro seq. ποτέρῳ Lamb. malebat ὁποτέρῳ. — — αἰεὶ γὰρ] αἰεὶ quod in edd. vet. et rec. est hic (et paullo post §. 7.) contra morem tacite retinuit Bekk. Cfr. Ideler ad Meteorol. T. I. p. 639. — βέλτιον δὲ τὸ λόγον ἔχον] Male Con-

7. *Διήρηταί τε διχῇ, καθ' ὅνπερ εἰώθαμεν τρόπον διαιρεῖν· ὁ μὲν γὰρ πρακτικός ἐστι λόγος ὁ δὲ θεωρητικός. ὡςαύτως οὖν ἀνάγκη διῃρῆσθαι καὶ τοῦτο τὸ μέρος δῆλον ὅτι, καὶ τὰς πράξεις δ' ἀνάλογον ἐροῦμεν ἔχειν, καὶ δεῖ τὰς τοῦ φύσει βελτίονος αἱρετωτέρας εἶναι τοῖς δυναμένοις τυγχάνειν ἢ πασῶν ἢ τοῖν δυοῖν· αἰεὶ γὰρ ἑκάστῳ τοῦθ' αἱρετώτατον, οὗ τυχεῖν ἔστιν ἀκροτάτου.*

8. *Διήρηται δὲ καὶ πᾶς ὁ βίος εἰς ἀσχολίαν καὶ εἰς σχολὴν καὶ πόλεμον καὶ εἰρήνην, καὶ τῶν πρακτῶν τὰ μὲν εἰς τὰ ἀναγκαῖα καὶ χρήσιμα, τὰ δὲ εἰς τὰ καλά. περὶ ὧν ἀνάγκη τὴν αὐτὴν αἵρεσιν εἶναι καὶ τοῖς τῆς ψυχῆς μέρεσι καὶ ταῖς πράξεσιν αὐτῶν, πόλεμον μὲν εἰρήνης χάριν, ἀσχολίαν δὲ σχολῆς, τὰ δ' ἀναγκαῖα καὶ χρήσιμα τῶν καλῶν ἕνεκεν.*

9. *Πρὸς πάντα μὲν τοίνυν τῷ πολιτικῷ βλέποντι νομοθετητέον, καὶ κατὰ τὰ μέρη τῆς ψυχῆς καὶ κατὰ τὰς πράξεις αὐτῶν, μᾶλλον δὲ πρὸς τὰ βελτίω καὶ τὰ τέλη. τὸν αὐτὸν δὲ τρόπον καὶ περὶ τοὺς βίους καὶ τὰς τῶν πραγμάτων διαιρέσεις· δεῖ μὲν γὰρ ἀσχολεῖν δύνασθαι καὶ πολεμεῖν, μᾶλλον δ' εἰρήνην ἄγειν καὶ σχολάζειν· καὶ τἀναγκαῖα καὶ τὰ χρήσιμα δὲ πράττειν, τὰ δὲ καλὰ δεῖ μᾶλλον. ὥςτε πρὸς τούτους τοὺς σκοποὺς καὶ παῖδας ἔτι ὄντας παιδευτέον καὶ τὰς ἄλλας ἡλικίας, ὅσαι δέονται παιδείας.*

10. *Οἱ δὲ νῦν ἄριστα δοκοῦντες πολιτεύεσθαι τῶν Ἑλλήνων, καὶ τῶν νομοθετῶν οἱ ταύτας καταστήσαντες τὰς πολιτείας, οὔτε πρὸς τὸ βέλτιον τέλος φαίνονται συντάξαντες τὰ περὶ τὰς πολιτείας οὔτε πρὸς πάσας τὰς ἀρετὰς τοὺς νόμους καὶ τὴν παιδείαν, ἀλλὰ φορτικῶς ἀπέκλιναν πρὸς τὰς χρησίμους εἶναι δοκούσας καὶ πλεονεκτικωτέρας. παραπλησίως δὲ τούτοις καὶ τῶν ὕστερόν τινες γραψάντων ἀπεφήναντο τὴν αὐτὴν δόξαν· ἐπαινοῦντες γὰρ τὴν Λακεδαιμονίων πολιτείαν ἄγανται τοῦ νομοθέτου τὸν σκοπόν, ὅτι πάντα πρὸς τὸ κρατεῖν καὶ πρὸς πόλεμον ἐνομοθέτησεν.*

11. *Ἃ καὶ κατὰ τὸν λόγον ἐστὶν εὐέλεγκτα καὶ τοῖς ἔργοις ἐξελήλεγκται νῦν. ὥςπερ γὰρ οἱ πλεῖστοι τῶν ἀνθρώπων ζητοῦσι τῶν πολλῶν δεσπόζειν, ὅτι πολλὴ χορηγία γίγνεται τῶν εὐτυχημάτων, οὕτω καὶ Θίβρων ἀγάμενος φαίνεται τὸν τῶν Λακώνων νομοθέτην, καὶ τῶν ἄλλων ἕκαστος*

7. Die Vernunft nun ist, wie wir sie einzutheilen pflegen, eine doppelte. Die eine nämlich ist die praktische, die andere die theoretische. Auf dieselbe Weise muss nun auch offenbar dieser Theil eingetheilt werden, und so werden wir denn auch dasselbe Verhältniss für die Handlungen annehmen, und es müssen die Handlungen des von Natur besseren Theils die wünschenswertheren sein für Diejenigen, welche entweder alle oder jene zwei zu erreichen im Stande sind. Denn immer ist für jeden Dasjenige das Wünschenswertheste, dessen Erreichung für ihn das Höchste ist.

8. So zerfällt ferner auch das ganze Leben in Geschäftigkeit und Musse, Krieg und Frieden, die Thätigkeiten einerseits in nothwendige und nützliche, andrerseits in schöne. Unter diesen muss nun nothwendig dieselbe Wahl stattfinden, wie bei den Theilen der Seele und deren Verrichtungen: Krieg um des Friedens willen, Geschäftigkeit der Musse, das Nothwendige und Nützliche des Schönen wegen.

9. Nun hat der Staatsphilosoph zwar Alles zu berücksichtigen und seine Gesetzgebung sowohl den Theilen der Seele als auch ihren Verrichtungen gemäss einzurichten, im höheren Grade jedoch hat er dabei die besseren und die, welche die Endzwecke sind, zu berücksichtigen. In derselben Weise hat er hinsichtlich der verschiedenen Lebensweisen und der Unterschiede der Handlungen zu verfahren. So z. B. müssen die Bürger zwar im Stande sein, Geschäften obzuliegen und Krieg zu führen, aber vielmehr noch in Frieden und Musse zu leben; sie müssen das Nothwendige und Nützliche thun können, aber noch viel mehr das Schöne. Nach diesen Gesichtspunkten also müssen sie sowohl in der Jugend als auch in jedem der Erziehung bedürfenden Lebensalter erzogen werden.

10. Dagegen scheint es, als hätten diejenigen unter den Hellenen, deren Staatsverfassungen heutzutage für die besten gelten, und die Gesetzgeber, welche sie gegründet haben, weder in der Einrichtung derselben überhaupt den höheren Endzweck im Auge gehabt, noch mit Rücksicht auf alle Tugenden die Gesetze und die Erziehung angeordnet; vielmehr wandten sie plump genug ihr Augenmerk auf diejenigen, welche ihnen nützlich und mehr Gewinn bringend erschienen. In derselben Weise wie sie haben selbst einige der spätern Schriftsteller dieselbe Ansicht ausgesprochen; indem sie nämlich die Verfassung der Lakedämonier lobpreisen, bewundern sie des Gesetzgebers Endzweck, dass er alle seine Einrichtungen auf das Obsiegen und auf Krieg berechnet habe.

11. Allein das ist sowohl auf theoretischem Wege leicht zu widerlegen, theils ist es gegenwärtig auch schon durch die Erfahrung widerlegt. Wie nämlich die meisten Menschen nach ausgebreiteter Herrschaft eifrig ringen, weil dieselbe eine reiche Quelle äusserer Glücksgüter gewährt, so scheint auch Thibron ein Bewunderer des Gesetzgebers der Lakonen und mit ihm jeder von Denen,

---

ring. ab his verbis orditur sequentia. Lambinus ea ut scholion omisit, quod mihi non videbantur. Reiz. —

§. 7. *διήρηταί τε*] *δὲ* pro *τε* Cor. ut vertit Vet. — *διχῇ*] Post h. v. Reiz. add. *ὁ λόγος*. — *οὖν ἀνάγκη*] *δ' ἀνάγκη* P 1. — *καὶ τοῦτο τὸ μέρος δῆλον ὅτι*] *δῆλον ὅτι* om. P 1. A 1. 2. B 2. 3. G. Primus h. v. una cum recta interpunctione post *ὅτι* ex Codice suo restituit Camerar. (qui tamen *δηλονότι* uno vocab.). Nam in Victoriana et in edd. ante Schn. comma est post *μέρος*, ut *δῆλον ὅτι* referatur ad sequentia. Sic etiam Vet.: *videlicet et actiones.* Zwingero hic locus mendosissimus esse videbatur. Reizius puncto post *μέρος* posito scripsit *δῆλον δ' ὅτι*. — *αἰεὶ γὰρ*] Vide supra ad §. 6. —

§. 8. *καὶ πόλεμον*] *καὶ* delendum esse censemus. Reiz. — *περὶ ὧν*] Praepositionem abesse malim. Schn. — *τὴν αὐτὴν αἵρεσιν*] *διαίρεσιν* Schn. Cor. —

§. 9. *πρὸς πάντα*] *πρὸς ταῦτα* Heins volebat, quod recte non admisit Conringius. Reiz. — *διαιρέσεις*] *αἱρέσεις* Cor. — *καὶ τὰ χρήσιμα δὲ*] Fuitne *δεῖ* pro *δέ*? — *παιδευτέον*] *παιδεύειν* Schn. Cor. nulla auctoritate. —

§. 10. *πρὸς τὸ βέλτιον τέλος*] *βέλτιστον* Aret. Vet. Cor. *πρὸς τὸ βέλτιον καὶ τὸ τέλος* scribendum videbatur Schn. — *πάσας τὰς ἀρετὰς*] *πάσας* om. Vet. —

§. 11. *ζητοῦσι τῶν πολλῶν*] *ζηλοῦσι* Ib. Sb. Vb. A 1. B 2. 3. (*zelant* Vet.) Vict. Zw. Sylb. (qui tamen *ζητοῦσι* praeferre se dicit) Reiz. Verbum *ζηλοῦν* cum infinitivo iunctum rarum esse dicit Schn. Cfr. §. 14. *τὸ* pro *τῶν* G. cum P 1. 2. 3. Ib *ζητεῖν* verbum ap. Aristot. hac significatione frequentissimum cfr. III. cp. 10, § 7. IV, cp. 9. §. 12. ibiq. Victor. IV, cp. 10. §. 4. cp. 11. §. 2. V, cp. 1. §. 6. ibiq. Victor. p. 405. ed. Zwing. — *Θίβρων*] *Θίμβρων* cum P 1. 2. Cam. Goettl. (qui citat Gaisford. ad Heph. p. 219. cfr. Wessel. ad Diod. Sic. XIV, cp. 36.) *Tymbron.* Vet. (*Thybron* Thom.) In margine Casaub. est *γρ. Θήβρων*. — *ἀγάμενος*] *audacter laudans* Vet. — *Λακώνων*]

τῶν γραφόντων περὶ πολιτείας αὐτῶν, ὅτι διὰ τὸ γεγυμνάσθαι πρὸς τοὺς κινδύνους πολλῶν ἦρχον.

12. Καίτοι δῆλον ὡς ἐπειδὴ νῦν γε οὐκέτι ὑπάρχει τοῖς Λάκωσι τὸ ἄρχειν, οὐκ εὐδαίμονες, οὐδ' ὁ νομοθέτης ἀγαθός. ἔτι δὲ τοῦτο γελοῖον, εἰ μένοντες ἐν τοῖς νόμοις αὐτοῦ, καὶ μηδενὸς ἐμποδίζοντος πρὸς τὸ χρῆσθαι τοῖς νόμοις, ἀποβεβλήκασι τὸ ζῆν καλῶς. οὐκ ὀρθῶς δ' ὑπολαμβάνουσιν οὐδὲ περὶ τῆς ἀρχῆς ἣν δεῖ τιμῶντα φαίνεσθαι τὸν νομοθέτην· τοῦ γὰρ δεσποτικῶς ἄρχειν ἡ τῶν ἐλευθέρων ἀρχὴ καλλίων καὶ μᾶλλον μετ' ἀρετῆς.

13. Ἔτι δ' οὐ διὰ τοῦτο δεῖ τὴν πόλιν εὐδαίμονα νομίζειν καὶ τὸν νομοθέτην ἐπαινεῖν, ὅτι κρατεῖν ἤσκησεν ἐπὶ τὸ τῶν πέλας ἄρχειν· ταῦτα γὰρ μεγάλην ἔχει βλάβην. δῆλον γὰρ ὅτι καὶ τῶν πολιτῶν τῷ δυναμένῳ τοῦτο πειρατέον διώκειν, ὅπως δύνηται τῆς οἰκείας πόλεως ἄρχειν· ὅπερ ἐγκαλοῦσιν οἱ Λάκωνες Παυσανίᾳ τῷ βασιλεῖ, καίπερ ἔχοντι τηλικαύτην τιμήν. οὔτε δὴ πολιτικὸς τῶν τοιούτων λόγων καὶ νόμων οὐθεὶς οὔτε ὠφέλιμος οὔτε ἀληθής ἐστιν. ταὐτὰ γὰρ ἄριστα καὶ ἰδίᾳ καὶ κοινῇ τὸν νομοθέτην ἐμποιεῖν δεῖ ταῦτα ταῖς ψυχαῖς τῶν ἀνθρώπων.

14. Τήν τε τῶν πολεμικῶν ἄσκησιν οὐ τούτου χάριν δεῖ μελετᾶν, ἵνα καταδουλώσωνται τοὺς ἀναξίους, ἀλλ' ἵνα πρῶτον μὲν αὐτοὶ μὴ δουλεύσωσιν ἑτέροις, ἔπειτα ὅπως ζητῶσι τὴν ἡγεμονίαν τῆς ὠφελείας ἕνεκα τῶν ἀρχομένων, ἀλλὰ μὴ πάντων δεσποτείας· τρίτον δὲ τὸ δεσπόζειν τῶν ἀξίων δουλεύειν.

15. Ὅτι δὲ δεῖ τὸν νομοθέτην μᾶλλον σπουδάζειν ὅπως καὶ τὴν περὶ τὰ πολεμικὰ καὶ τὴν ἄλλην νομοθεσίαν τοῦ σχολάζειν ἕνεκεν τάξῃ καὶ τῆς εἰρήνης, μαρτυρεῖ τὰ γιγνόμενα τοῖς λόγοις· αἱ γὰρ πλεῖσται τῶν τοιούτων πόλεων πολεμοῦσαι μὲν σώζονται, κατακτησάμεναι δὲ τὴν ἀρχὴν ἀπόλλυνται. τὴν γὰρ βαφὴν ἀφιᾶσιν, ὥσπερ ὁ σίδηρος, εἰρήνην ἄγοντες. αἴτιος δ' ὁ νομοθέτης οὐ παιδεύσας δύνασθαι σχολάζειν.

Cap. 15. Bkk. 16. Ἐπεὶ δὲ τὸ αὐτὸ τέλος εἶναι φαίνεται καὶ κοινῇ καὶ ἰδίᾳ τοῖς ἀνθρώποις, καὶ τὸν αὐ-

welche über ihre Verfassung geschrieben haben, weil sie durch ihr Geübtsein im Bestehn von Gefahren über Viele herrschten.

12. Und doch ist es offenbar, dass, da jetzt wenigstens die Lakonen nicht mehr im Besitz der Herrschaft sind, sie auch nicht mehr glückselig und ebensowenig ihr Gesetzgeber ein guter ist. Und doch wäre es lächerlich, anzunehmen, dass sie, obgleich bei seinen Gesetzen beharrend und durch nichts an Befolgung derselben gehindert, doch das glückliche Leben freiwillig aufgegeben haben sollten. Unrichtig ist die gäng' und gäbe Ansicht ferner auch hinsichtlich der Herrschaft, auf welche der Gesetzgeber grossen Werth zu legen habe; denn einer despotischen Herrschaft ist das Regiment, wie es Freie üben, vorzuziehen und weit mehr mit Ausübung der Tugend verbunden.

13. Ferner darf man auch darum nicht einen Staat für glückselig halten und den Gesetzgeber preisen, weil er die Bürger waffenstark machte, um über ihre Nachbarn herrschen zu können; denn daraus erwächst ein grosser Uebelstand. Offenbar darf dann nämlich auch jeder einzelne Bürger, wenn er es kann, den Versuch machen, ob er nicht über sein eignes Vaterland herrschen könne; ein Versuch, den doch die Lakonen ihrem Könige Pausanias sehr hart anrechnen, obschon er in so hohen Ehren stand. So ist denn von diesen Grundsätzen und Gesetzen keins weder staatsklug, noch nützlich, noch wahr; denn der Gesetzgeber hat die Aufgabe, den Gemüthern der Menschen ein und dasselbe Beste sowohl für sie als Staatsbürger, wie als Privatpersonen einzuprägen.

14. Auch sollen sie die kriegerischen Uebungen nicht zu dem Zwecke betreiben, um Andere, die es nicht verdienen, zu unterjochen, sondern erstens, um selbst nicht Andern dienen zu müssen, und sodann um nach der Hegemonie zum Besten der Beherrschten zu streben, und nicht um Alle zu unterjochen. Der dritte Zweck endlich ist die Beherrschung Derer, welche Sklaven zu sein werth sind.

15. Dass aber der Gesetzgeber vielmehr die auf das Kriegswesen bezügliche, und so auch die gesammte übrige Gesetzgebung als Mittel der Musse und dem Frieden unterordnen müsse, bezeugen neben den Vernunftgründen auch die Thatsachen der Erfahrung. Denn die meisten Staaten jener obigen Art halten sich nur, so lange sie Krieg führen, gehen aber, sobald sie die Herrschaft erlangt haben, zu Grunde. Sie verlieren nämlich, wie das Eisen, ihre Schärfe, sobald sie Frieden haben. Daran ist aber der Gesetzgeber Schuld, der sie nicht dazu bildete, in Musse leben zu können.

16. Da nun den Menschen sowohl einzeln als in Gesellschaft ein und dasselbe Ziel gesteckt und die Be-

---

Λακεδαιμονίων Schn. Cor. tacite sine causa. — περὶ πολιτείας αὐτῶν] Equidem περὶ τῆς π. necessario scribendum censeo. SCHN. Recep. τὴν Cor. et Goettl. —

§. 12. καίτοι] τοι om. I^b. — οὐκ ὀρθῶς δ'] δ' om. S^b. V^b. — ἡ τῶν ἐλευθέρων] τῶν om. Vict. 2. Zw. [ ] Sylb. Cas. —

§. 13. ὅτι κρατεῖν ἤσκησεν] ἴσχυσεν I^b. P 2. κρατεῖν deletum maluit Reiz. nulla addita ratione. ὅτι κρατεῖν ἐδύνατο (*quia praevalere potuit*) Vet.; *quod vincere docuerit et finitimis dominari.* Aret. — ἐπὶ τὸ] ἐπὶ τῷ de Schn. coniectura Cor. — ὅπερ ἐγκαλοῦσιν] ὅπερ om. S^b. — ἔχοντι] ἔχοντες S^b. — ταὐτὰ γὰρ ἄριστα] ταῦτα S^b. P 1. 3. 4. 5. Victorii codd. omnes A 1. 2. B 2. 3. Vet. (*haec*) Vict. 2. G. Sed intellexit G. ex P 2. ταὐτὰ recipiendum fuisse ex P 2. Victorius in verbis aliquid vitii esse sentiens: „extitere (inquit) interpretes, qui expresserint, tanquam si ταὐτὰ scriptum foret, quod mihi non displiceret, quamvis Vet. vertat *haec.* Posset tamen aliquis haec ita accipere nulla mutatione facta, existimareque Aristotelem eandem vocem (ταῦτα — ταῦτα) iterasse, ut magis convinceret adversarios, quasi exclamantem." Veram script. ded. Aret. Cam. Lamb. Lut. Sylb. Cas. Heins. Reiz. Schn. Cor. — ἰδίᾳ] ἴδια A 1. 2. B 2. 3. — ἐμποιεῖν δεῖ ταῦτα] ταὐτὰ scripsi auctore Victorio pro eo, quod legitur in P 1. 2. 3. A 1. 2. [B 2. 3.] GOETTL. Errat Goettl., non enim hic sed paullo ante ταὐτὰ scribi posse recte significavit Vict. ταῦτα om. Vict. 1. Sylb. Cas. Heins. Reiz. Schn. Cor. —

§. 14. τήν τε τῶν πολεμικῶν ἄσκησιν οὐ τούτου χάριν] *idque quod hominum et quod adversariorum studium non huius gratia.* Vet., videtur igitur πολιτῶν legisse. SCHN. Idem iam notavit Victor. p. 555 Zw. — δουλεύσωσιν] δουλεύωσιν S^b. V^b. Vict. Zw. Sylb. Cas. Reiz. Schn. Veram scripturam prim. restituit Cor. — ὅπως ζητῶσι] ζηλῶσι (*zelent*) Vet., quod valde placet Victorio. Cfr. ad §. 11. — τρίτον δὲ τὸ δεσπόζειν] τῷ pro τὸ Victorius tacite et sic aliquot recentt. edd. τοῦ pro τὸ Cor. Utrumque male. Cfr. eadem structurae variatio V, cp. 9, §. 8. — τῶν ἀξίων δουλεύειν] om. Goettl. —

§. 15. Ὅτι δὲ δεῖ τὸν νομοθέτην] om. Goettl. — τὴν περὶ τὰ πολεμικὰ] *ut provisio sua circa res bellicas et circa alias institutionem ad otium et pacem referatur.* Aret. Possit videri excidisse vocabulum, quod latino *provisio* respondeat. SCHN. — βαφὴν] *rubiginem enim contrahunt* Vet., *splendorem* Aret. In P 1. 2. haec glossa legitur: ὥσπερ ὁ σίδηρος τὸ λεγόμενον στόμωμα ἀποβαλὼν ἀνενέργητός ἐστιν, οὕτω καὶ οἱ πολεμεῖν ἐθισθέντες κακῶς ἐν εἰρήνῃ διάγουσιν. —

τὸν ὅρον ἀναγκαῖον εἶναι τῷ τε ἀρίστῳ ἀνδρὶ καὶ τῇ ἀρίστῃ πολιτείᾳ, φανερὸν ὅτι δεῖ τὰς εἰς τὴν σχολὴν ἀρετὰς ὑπάρχειν· τέλος γάρ, ὥςπερ εἴρηται πολλάκις, εἰρήνη μὲν πολέμου, σχολὴ δ' ἀσχολίας.

17. Χρήσιμοι δὲ τῶν ἀρετῶν εἰσὶ πρὸς τὴν σχολὴν καὶ διαγωγήν, ὧν τε ἐν τῇ σχολῇ τὸ ἔργον καὶ ὧν ἐν τῇ ἀσχολίᾳ. δεῖ γὰρ πολλὰ τῶν ἀναγκαίων ὑπάρχειν, ὅπως ἐξῇ σχολάζειν. διὸ σώφρονα τὴν πόλιν εἶναι προςήκει καὶ ἀνδρείαν καὶ καρτερικήν· κατὰ γὰρ τὴν παροιμίαν, οὐ σχολὴ δούλοις, οἱ δὲ μὴ δυνάμενοι κινδυνεύειν ἀνδρείως δοῦλοι τῶν ἐπιόντων εἰσίν.

18. Ἀνδρίας μὲν οὖν καὶ καρτερίας δεῖ πρὸς τὴν ἀσχολίαν, φιλοσοφίας δὲ πρὸς τὴν σχολήν, σωφροσύνης δὲ καὶ δικαιοσύνης ἐν ἀμφοτέροις τοῖς χρόνοις, καὶ μᾶλλον εἰρήνην ἄγουσι καὶ σχολάζουσιν· ὁ μὲν γὰρ πόλεμος ἀναγκάζει δικαίους εἶναι καὶ σωφρονεῖν, ἡ δὲ τῆς εὐτυχίας ἀπόλαυσις καὶ τὸ σχολάζειν μετ' εἰρήνης ὑβριστὰς ποιεῖ μᾶλλον.

19. Πολλῆς οὖν δεῖ δικαιοσύνης καὶ πολλῆς σωφροσύνης τοὺς ἄριστα δοκοῦντας πράττειν καὶ πάντων τῶν μακαριζομένων ἀπολαύοντας, οἷον εἴ τινές εἰσιν, ὥςπερ οἱ ποιηταί φασιν, ἐν μακάρων νήσοις· μάλιστα γὰρ οὗτοι δεήσονται φιλοσοφίας καὶ σωφροσύνης καὶ δικαιοσύνης, ὅσῳ μᾶλλον σχολάζουσιν ἐν ἀφθονίᾳ τῶν τοιούτων ἀγαθῶν. διότι μὲν οὖν τὴν μέλλουσαν εὐδαιμονήσειν καὶ σπουδαίαν ἔσεσθαι πόλιν τούτων δεῖ τῶν ἀρετῶν μετέχειν, φανερόν. αἰσχροῦ γὰρ ὄντος μὴ δύνασθαι χρῆσθαι τοῖς ἀγαθοῖς, ἔτι μᾶλλον μὴ δύνασθαι ἐν τῷ σχολάζειν χρῆσθαι, ἀλλ' ἀσχολοῦντας μὲν καὶ πολεμοῦντας φαίνεσθαι ἀγαθούς, εἰρήνην δ' ἄγοντας καὶ σχολάζοντας ἀνδραποδώδεις.

20. Διὸ δεῖ μὴ καθάπερ ἡ Λακεδαιμονίων πόλις τὴν ἀρετὴν ἀσκεῖν. ἐκεῖνοι μὲν γὰρ οὐ ταύτῃ διαφέρουσι τῶν ἄλλων, τῷ μὴ νομίζειν ταὐτὰ τοῖς ἄλλοις μέγιστα τῶν ἀγαθῶν, ἀλλὰ τῷ γενέσθαι ταῦτα μᾶλλον διά τινος ἀρετῆς. ἐπεὶ δὲ μείζω τε ἀγαθὰ

stimmung des besten Menschen und des besten Staates nothwendig dieselbe zu sein scheint, so erhellt, dass die sich auf den Zustand der Ruhe beziehenden Tugenden (im Staate) vorhanden sein müssen; denn, wie schon oft gesagt, Friede ist des Krieges, Ruhe der Unruhe Endzweck.

17. Zu den Tugenden nun, welche für den Genuss der Musse und Erholung nützlich sind, gehören nicht nur solche, deren Wirkungskreis in der Musse, sondern auch solche, wo er in der Geschäftigkeit liegt. Denn es müssen viele nothwendige Bedürfnisse beschafft sein, ehe mansich der Musse hin geben kann. Zu dem Ende muss der Staat besonnen, tapfer und nüchtern sein. Denn „Musse ist nicht für Sklaven" heisst's im Sprichwort, und Leute, die nicht männlich der Gefahr zu stehen wissen, sind Sklaven jedes Angreifers.

18. Tapferkeit also und Nüchternheit sind vonnöthen für die Geschäftigkeit, Philosophie für die Musse, und Besonnenheit und Gerechtigkeit in beiden Zuständen, und zwar vorzugsweise für Die, welche in Frieden und Musse leben. Denn der Krieg zwingt, gerecht und mässig zu sein, aber der Genuss des Wohlstands und der Musse im Frieden macht leicht übermüthige Gesellen.

19. So haben denn also Die, welche man für die Glücklichsten hält und welche alles Das, was man zur Glückseligkeit rechnet, geniessen, viel Gerechtigkeit und viel Besonnenheit vonnöthen; z. B. solche Leute, die, wie die Dichter sagen, auf den Inseln der Seligen leben. Denn diese werden ganz vorzüglich Philosophie und Besonnenheit und Gerechtigkeit nöthig haben, je mehr sie in der Fülle solcher Güter mühelos dahinleben. Warum nun also der Staat, welcher glücklich und gut sein soll, diese Tugenden besitzen müsse, ist einleuchtend. Denn, wenn es schon schimpflich ist, die Güter, welche man besitzt, nicht zu gebrauchen wissen, so ist es noch viel schimpflicher, dieselben zur Zeit der Musse nicht zu gebrauchen wissen, sondern in Unruhe und Krieg zwar tüchtig zu erscheinen, in Frieden und Ruhe hingegen wie ein Sklave.

20. Daher darf der Staat nicht, wie der der Lakedaimonier, die Tugend üben. Diese unterscheiden sich nämlich nicht dadurch von den Uebrigen, dass sie nicht ein und dieselben Güter, wie die Uebrigen, für die höchsten ansehen, sondern darin, dass sie meinen, es würden dieselben durch eine gewisse einzelne Tugend er-

---

§. 17. *δεῖ γὰρ πολλὰ τῶν ἀναγκαίων ὑπάρχειν*] *Oportet autem multa negotiorum nobis existere* Aret. Unde haec varietas? An pro *ἀναγκαίων* legit scriptum *πραγμάτων* vel *ἀσχολημάτων*? Schneid. — *ὅπως ἐξῇ σχολάζειν*] *ὅπως ἐξῆς σχολάζῃς* (*ut deinceps vaces*) Vet. —

§. 19. *πολλῆς οὖν δεῖ δικαιοσύνης καὶ σωφροσύνης τοὺς*] Animadvertendus est modus infrequentior et durior *δικαιοσύνης δεῖ τοὺς δοκοῦντας*: et non dandi casu *τοῖς δοκοῦσι*. Opinor autem esse atticismum, cuius sermonis flosculos libenter decerpebat minime impolitus scriptor Aristoteles. Victor. Idem notavit Camerar. p. 319. et Schneider prosaicorum scriptorum exemplum simile se vidisse negat. Itaque *μετέχειν* post *σωφροσύνην*, quod intelligendum esse dixerat Reiz., addidit Cor. Sed vide Matthiae gr. Gr. §. 411. 5. n. 2. p. 753. (ed. secund.). Bernhardy Syntax. p. 135—136. Aretin. et Vet. scriptum legisse videntur Schneidero: *δέονται οἱ — δοκοῦντες — ἀπολαύοντες*. In marg. P 2. 3. legitur haec glossa: *τὸ δεῖ αἰτιατικῇ συντάσσεται ἀττικῶς· ὡς τὸ εὐρυχωρίας σε δεῖ*. — *τῶν μακαριζομένων*] *quae beatos facere putantur* Aret. — *δεήσονται*] *indigerent* Aret. — *εὐδαιμονήσειν*] om. Aret. — *δεῖ μετέχειν*] *δεῖται* vertit Aret. — *αἰσχροῦ γὰρ ὄντος μὴ*] *τοῦ* ante *μὴ* add. Cor. *αἰσχρὸν γὰρ μὴ δύνασθαι χ. τ. ἀγαθοῖς ἀλλ' ἀσχολοῦντας* Aret. — *ἔτι μᾶλλον μὴ*] *ἔτι μ. αἰσχρὸν τὸ μὴ* Cor. — *ἔτι μᾶλλον μὴ δύνασθαι ἐν τῷ σχολάζειν χρῆσθαι*] Haec om. Ib. Sb. Vb. A 1. 2. B 2. 3. Aret. Cam. — *σχολάζειν χρῆσθαι*] In P 2. 5. post *χρῆσθαι* legitur *τοῖς ἀγαθοῖς*. Goettl. Si quid video, non satis accurate haec notata sunt ab Hasio; in promptu est suspicari in P 2. 5. (ut in Ib. Sb. Vb., vid. not. proximam) omissa esse verba *ἔτι μᾶλλον — σχολάζειν χρῆσθαι*. —

§. 20. *τῷ γενέσθαι*] *τῷ γίνεσθαι* de Schn. sententia Cor. — *διά τινος ἀρετῆς*] *διὰ μιᾶς τινος ἀρετῆς* malebat cum Schn. Cor., qui comparat VIII, 3, 3.; II, 6, 22. Sed *τινὸς* cum vi pronuntiandum esse monet G. — *ἐπεὶ δὲ μείζω τε ἀγαθὰ ταῦτα*] Post *ἀγαθὰ* vulgo sequuntur verba *ἢ τὰ τοῦ πολέμου* inde a Victorii tempore, qui primus ea addidit tacite. Unde recep. ea Lamb. Sylb. Cas. Conr. Ram. Heins. Reiz. Schn. Cor. Leguntur ea in Aret. et in P 2. sed suprascripta, et Reizius abesse ea non posse censet. Vitiosum esse locum primus monuit Camer. Reizio scribend. videtur cum Sepulveda et Camerario: *ὅτι δὲ μείζω τε ἀγαθὰ ἢ τὰ τοῦ πολέμου ταῦτα* (sc. *τὰ τῆς εἰρήνης*) *καὶ μᾶλλον αἱρετέον ἀπόλαυσιν τὴν τούτων ἢ τὴν τῶν ἀρετῶν* (sc. *τῶν περὶ τὸν πόλεμον*) *καὶ ὅτι δι' αὑτὴν* (per se) *φαν. ἐκ τούτων*. Quae emendatio cum non solum durior videretur sed minus etiam graeca, Schneiderus scribi vult: *ἐπεὶ δὲ μείζω τινὰ ἀγαθὰ ἢ τὰ τοῦ πολέμου ταῦτα* (sc. *τὰ μείζω*) *καὶ τὴν ἀπόλ. τὴν τούτων ἢ τὴν τῶν ἄλλων ὅτι αἱρετωτέραν εἶναι δεῖ, καὶ δι' αὑτήν, φανερὸν ἐκ τούτων*. Contra Coraes: *ὅτι δὲ μ. τε ἀγαθὰ ἢ τὰ τοῦ πολέμου ταῦτα, καὶ τὴν ἀπόλαυσιν τὴν τούτων μᾶλλον ἢ τὴν τῆς ἀρετῆς αἱρετέον*.

ταῦτα, καὶ τὴν ἀπόλαυσιν τὴν τούτων ἢ τὴν τῶν ἀρετῶν, καὶ ὅτι δι' αὐτήν, φανερὸν ἐκ τούτων, πῶς δὲ καὶ διὰ τίνων ἔσται, τοῦτο δὴ θεωρητέον.

21. *Τυγχάνομεν δὴ διῃρημένοι πρότερον ὅτι φύσεως καὶ ἔθους καὶ λόγου δεῖ. τούτων δὲ ποίους μέν τινας εἶναι χρὴ τὴν φύσιν, διώρισται πρότερον, λοιπὸν δὲ θεωρῆσαι πότερον παιδευτέοι τῷ λόγῳ πρότερον ἢ τοῖς ἔθεσιν. ταῦτα γὰρ δεῖ πρὸς ἄλληλα συμφωνεῖν συμφωνίαν τὴν ἀρίστην· ἐνδέχεται γὰρ διημαρτηκέναι καὶ τὸν λόγον τῆς βελτίστης ὑποθέσεως, καὶ διὰ τῶν ἐθῶν ὁμοίως ἦχθαι.*

22. *Φανερὸν δὴ τοῦτό γε πρῶτον μέν, καθάπερ ἐν τοῖς ἄλλοις, ὡς ἡ γένεσις ἀπ' ἀρχῆς ἐστὶ καὶ τὸ τέλος ἀπό τινος ἀρχῆς ἄλλου τέλους. ὁ δὲ λόγος ἡμῖν καὶ ὁ νοῦς τῆς φύσεως τέλος, ὥςτε πρὸς τούτους τὴν γένεσιν καὶ τὴν τῶν ἐθῶν δεῖ παρασκευάζειν μελέτην.*

23. *Ἔπειτα ὥςπερ ψυχὴ καὶ σῶμα δύ' ἐστίν, οὕτω καὶ τῆς ψυχῆς ὁρῶμεν δύο μέρη, τό τε ἄλογον καὶ τὸ λόγον ἔχον, καὶ τὰς ἕξεις τὰς τούτων δύο τὸν ἀριθμόν, ὧν τὸ μέν ἐστιν ὄρεξις τὸ δὲ νοῦς. ὥςπερ δὲ τὸ σῶμα πρότερον τῇ γενέσει τῆς ψυχῆς, οὕτω καὶ τὸ ἄλογον τοῦ λόγον ἔχοντος. φανερὸν δὲ καὶ τοῦτο· θυμὸς γὰρ καὶ βούλησις, ἔτι δὲ ἐπιθυμία καὶ γενομένοις εὐθὺς ὑπάρχει τοῖς παιδίοις, ὁ δὲ λογισμὸς καὶ ὁ νοῦς προϊοῦσιν ἐγγίνεσθαι πέφυκεν. διὸ πρῶτον μὲν τοῦ σώματος τὴν ἐπιμέλειαν ἀναγκαῖον εἶναι προτέραν ἢ τὴν τῆς ψυχῆς, ἔπειτα τὴν τῆς ὀρέξεως, ἕνεκα μέντοι τοῦ νοῦ τὴν τῆς ὀρέξεως, τὴν δὲ τοῦ σώματος τῆς ψυχῆς.*

CAP. XIV.

Cap. 16. Bkk. 1. *Εἴπερ οὖν ἀπ' ἀρχῆς τὸν νομοθέτην ὁρᾶν δεῖ ὅπως βέλτιστα τὰ σώματα γένηται τῶν τρεφομένων, πρῶτον μὲν ἐπιμελητέον περὶ τὴν σύζευξιν, πότε καὶ ποίους τινὰς ὄντας χρὴ ποιεῖσθαι πρὸς ἀλλήλους τὴν γαμικὴν ὁμιλίαν. δεῖ δ' ἀποβλέποντα νομοθετεῖν ταύτην τὴν κοινωνίαν πρός αὐτούς τε καὶ τὸν τοῦ ζῆν χρόνον, ἵνα συγκαταβαίνωσι ταῖς*

worben. Da nun hieraus erhellt, dass diese die grösseren Güter sind und dass ihr Genuss höher steht, als der jener Tugenden (des Kriegs), und zwar an und für sich, so ist jetzt zu betrachten, wie und wodurch man dazu gelange.

21. Nun haben wir im Vorigen auseinandergesetzt, dass dazu Naturanlage, Gewohnheit und Vernunft nöthig sind. Was nun die Natur am Menschen gethan haben müsse, ist früher bestimmt worden, und es bleibt also nur noch zu untersuchen übrig, ob man die Erziehung mit der Gewöhnung oder mit der Vernunft zu beginnen hat. Diese müssen nämlich mit einander im vollkommensten Einklange stehen; denn es ist ebensowohl möglich, dass die Vernunft (allein) den besten Zweck verfehle, als dass man durch die Gewohnheit gleichfalls irregeleitet werde.

22. Nun ist doch zunächst so viel klar, dass, wie überall, die Geburt von einem Anfange ausgeht, und das Ziel (der Geburt) wieder der Anfang für ein anderes Ziel ist. Für uns Menschen ist aber die Vernunft und der Geist Ziel unserer Natur, so dass wir also auf diese das Werden und die Uebung der Gewohnheiten zu richten haben.

23. Ferner wie Seele und Leib zwei sind, so unterscheiden wir auch in der Seele zwei Theile, einen unvernünftigen und einen vernunftbegabten, und als Beschaffenheiten derselben zwei an der Zahl, die Begierde und die Vernunft. Wie nun aber der Leib eher entsteht als die Seele, so auch der unvernünftige Theil früher als der vernunftbegabte. Auch ist dies einleuchtend; denn Leidenschaft und Wollen, ja auch Begierde findet sich bei den Kindern schon, sobald sie nur geboren sind. Das Nachdenken aber und die Vernunft entwickelt sich in ihnen naturgemäss erst bei fortschreitender Ausbildung. Daher muss zuerst die Sorgfalt nothwendig früher auf den Körper gerichtet werden, als auf die Seele, alsdann auf die sinnliche Begierde, d. h. man sorge für die Begierde der Vernunft wegen, und für den Leib um der Seelewillen.

Kap. XIV.

1. Sofern nun von vorn herein der Gesetzgeber darauf sehen soll, dass die Körper der zu Erziehenden möglichst vollkommen werden, so hat er sich zunächst um die Ehe zu bekümmern, und zu bestimmen, wann und was für Personen unter einander die eheliche Verbindung eingehen sollen. Er muss aber bei den gesetzlichen Bestimmungen über diese Vereinigung erstens sowohl die Individuen selbst als die Lebensdauer

---

Goettlingius denique edidit: *ἐπεὶ δὲ μείζω κτλ. τούτων ἢ τὴν τῶν [τοῦ πολέμου] ἀρετῶν [αἱρετέον] καὶ ὅτι δι' αὐτήν, φανερὸν ἐκ τούτων. — πῶς δὲ]* Ante *πῶς* comma tantum pos. Bekk. In P 5. his verbis novam sectionem incipere dicit G. —

§. 21. *παιδευτέοι] παιδευτέον* I^b. Schn. Cor. — *λόγῳ πρότερον] πρότερον* om. S^b. V^b. A 1. 2. B 2. 3. — *καὶ τὸν λόγον] καὶ* om. I^b. Aret. et Goettl. cum P 1. (nisi scribere voluit P 2.). *τὸν λόγον καὶ* mavult Cor. — *ἐθῶν ὁμοίως ἦχθαι] ὁμοίων* I^b. P 2. 3. Sepulvedae codd. aliquot Vet. Aret. Lamb. Ram. A 1. 2. B 2. 3. In Vet. P 1. (et in Sepulv. codd. nonnullis) est: *καὶ διὰ τῶν ὁμοίων ἦχθαι* (om. *ἐθῶν*), sed in marg. *διὰ τῶν ἐθῶν ὁμοίως ἦχθαι.* Victorius (p. 558 Zw.) haec habet: „cum in excusis quibusdam libris hic *ὁμοίων* legatur patrio casu, numero multitudinis, quam lectionem sequitur Vet., in omnibus calamo exaratis offendi *ὁμοίως*. Est sane locus omnis obscurior, quod fecit etiam (ni fallor) ut lectio incerta sit. Non plane etiam perspicitur — valeatne *ἦχθαι* institutam esse rationem et quasi informatam, ut *ἀγωγὴ* vocatur institutio puerorum, an perductam ad vitium et peccatum." Sepulveda vertit: *et per mores similiter duci*, notans, in graecis exemplaribus triplex esse scribendi genus; in quibusdam enim esse: *διὰ τῶν ἐθῶν ὁμοίων*, in aliis *δ. τ. ἐθῶν ὁμοίως*, in nonnullis *διὰ τῶν ὁμοίων*, mediam lectionem ut commodissimam se esse secutum. Schneidero scribendum videtur *καὶ τὴν διὰ τῶν ἐθῶν ὁμοίως ἀγωγήν.* *et per similia duci* Vet. Goettlingius: „*ὁμοίως ἦχθαι δ. τ. ἐ.* est: eodem perduci moribus quo perduxisset *ἡ βελτίστη ὑπόθεσις*. Vid. Jacobs ad Achill. Tat. p. 591." —

§. 22. *φανερὸν δή] δὴ* om. A 1. 2. B 2. 3. — *ἀρχῆς ἄλλου τελ.] ἀρχῆς, ἀρχὴ ἄλλου τελ.* coniecit Thurot. — *τέλους] τέλος* S^b. — *πρὸς τούτους] π. τοῦτο* B 3. — *τῶν ἐθῶν] τ. ἐθνῶν* V^b. —

§. 23. *καὶ τὰς ἕξεις τὰς τούτων δύο τὸν ἀριθμόν]* Schneiderus vix manum se retinuisse dicit, quin verba translocaret hoc modo: *ὧν τὸ μέν ἐστιν τὸ δὲ νοῦς· καὶ τὰς ἕξεις τ. τ. δ. τ. ἀρ.* Contra Goettl.: „non sequor. Nam binis partibus τὸ *ἄλογον* constat, binis etiam τὸ *λόγον ἔχον*. Vid. Eth. Nicom. I, 13." — *ἢ τὴν τῆς ψυχῆς] τὴν* [] Sylb. Cas. om. Lut. *τοῦτο δὲ τῶν τῆς ψυχῆς* (*huius autem eorum quae animae*) Vet. —

Cap. XIV. §. 1. *νομοθετεῖν ταύτην] περὶ* ante *ταύτην* ex Vet. recep. Victor. 2. Sic infra VIII, cp. 1. est *νομοθετητέον περὶ παιδείας*, atque ita alibi etiam loquitur. Posuit quidem Stephani thesaurus exempla structurae *νομοθετεῖν τι*, sed recentioris graecitatis; antiqua desidero adhuc. Schn. At habes exemplum in hoc ipso libro cp. 15, §. 9., quod indicavit Cor. Ceterum *περὶ* recep. Sylb. Cas. Conr. Reiz. (qui plane necessariam eam dicit) Schn. Cor. — *τοῦ*

ἡλικίαις ἐπὶ τὸν αὐτὸν καιρὸν καὶ μὴ διαφωνῶσιν αἱ δυνάμεις τοῦ μὲν ἔτι δυναμένου γεννᾶν τῆς δὲ μὴ δυναμένης, ἢ ταύτης μὲν τοῦ δ' ἀνδρὸς μή· ταῦτα γὰρ ποιεῖ καὶ στάσεις πρὸς ἀλλήλους καὶ διαφοράς.

2. Ἔπειτα καὶ πρὸς τὴν τῶν τέκνων διαδοχήν. δεῖ γὰρ οὔτε λίαν ὑπολείπεσθαι ταῖς ἡλικίαις τὰ τέκνα τῶν πατέρων (ἀνόνητος γὰρ τοῖς μὲν πρεσβυτέροις ἡ χάρις παρὰ τῶν τέκνων, ἡ δὲ παρὰ τῶν πατέρων βοήθεια τοῖς τέκνοις), οὔτε λίαν πάρεγγυς εἶναι. πολλὴν γὰρ ἔχει δυσχέρειαν· ἥ τε γὰρ αἰδὼς ἧττον ὑπάρχει τοῖς τοιούτοις ὥσπερ ἡλικιώταις, καὶ περὶ τὴν οἰκονομίαν ἐγκληματικὸν τὸ πάρεγγυς. ἔτι δ', ὅθεν ἀρχόμενοι δεῦρο μετέβημεν, ὅπως τὰ σώματα τῶν γεννωμένων ὑπάρχῃ πρὸς τὴν τοῦ νομοθέτου βούλησιν.

3. Σχεδὸν δὴ πάντα ταῦτα συμβαίνει κατὰ μίαν ἐπιμέλειαν. ἐπεὶ γὰρ ὥρισται τέλος τῆς γεννήσεως ὡς ἐπὶ τὸ πλεῖστον εἰπεῖν ἀνδράσι μὲν ὁ τῶν ἑβδομήκοντα ἐτῶν ἀριθμὸς ἔσχατος, πεντήκοντα δὲ γυναιξίν, δεῖ τὴν ἀρχὴν τῆς συζεύξεως κατὰ τὴν ἡλικίαν εἰς τοὺς χρόνους καταβαίνειν τούτους.

4. Ἔστι δ' ὁ τῶν νέων συνδυασμὸς φαῦλος πρὸς τεκνοποιίαν· ἐν γὰρ πᾶσι ζῴοις ἀτελῆ τὰ τῶν νέων ἔγγονα καὶ θηλύτοκα μᾶλλον καὶ μικρὰ τὴν μορφήν, ὥστ' ἀναγκαῖον ταὐτὸ τοῦτο συμβαίνειν καὶ ἐπὶ τῶν ἀνθρώπων. τεκμήριον δέ· ἐν ὅσαις γὰρ τῶν πόλεων ἐπιχωριάζεται τὸ νέους συζευγνύναι καὶ νέας, ἀτελεῖς καὶ μικροὶ τὰ σώματά εἰσιν. ἔτι δὲ ἐν τοῖς τόκοις αἱ νέαι πονοῦσί τε μᾶλλον καὶ διαφθείρονται πλείους· διὸ καὶ τὸν χρησμὸν γενέσθαι τινές φασι διὰ τοιαύτην αἰτίαν τοῖς Τροιζηνίοις, ὡς πολλῶν διαφθειρομένων διὰ τὸ γαμίσκεσθαι τὰς νεωτέρας, ἀλλ' οὐ πρὸς τὴν τῶν καρπῶν κομιδήν.

5. Ἔτι δὲ καὶ πρὸς σωφροσύνην συμφέρει τὰς ἐκδόσεις ποιεῖσθαι πρεσβυτέραις· ἀκολαστότεραι γὰρ εἶναι δοκοῦσι νέαι χρησάμεναι ταῖς συνουσίαις. καὶ τὰ τῶν ἀῤῥένων δὲ σώματα βλάπτεσθαι δοκεῖ πρὸς τὴν αὔξησιν, ἐὰν ἔτι τοῦ σώματος αὐξανομένου

berücksichtigen, damit sie hinsichtlich ihrer Altersstufen zusammen älter werden und ihre Kräfte nicht in Disharmonie gerathen, so dass etwa, während der Mann noch zu zeugen fähig ist, die Frau es nicht mehr ist, oder umgekehrt. Denn so etwas verursacht Zwistigkeiten und Misshelligkeiten unter ihnen.

2. Zweitens hat er auch den Zeitpunkt, wo die Kinder die Aeltern ablösen, zu berücksichtigen. Denn es ist ebensowenig gut, dass die Kinder an Jahren allzusehr hinter den Vätern zurück sind (denn dann geniessen weder die Aeltern den Dank von ihren Kindern, noch die Kinder die rechte Unterstützung von den Vätern), als dass sie einander allzunahe stehen; denn das hat grosse Unbequemlichkeiten. Einmal nämlich ist bei Solchen die Ehrfurcht geringer, da sie gleichsam Altersgenossen sind, und dann veranlasst im Betreff der Vermögensverwaltung diese Nähe leicht Misshelligkeiten. Drittens endlich, und das ist der Punkt, wovon wir ausgingen, soll ja die Körperbeschaffenheit der erzeugten Kinder dem Verlangen des Gesetzgebers entsprechen.

3. Alles dieses lässt sich nun so ziemlich durch eine Vorkehrung erreichen. Denn da als der äusserste Termin des Zeugens im Durchschnitt für die Männer das siebenzigste Lebensjahr, und für die Weiber das funfzigste gilt, so muss der Anfang der ehelichen Verbindung, hinsichtlich der beiderseitigen Altersstufe, diesen Zeitpunkten entsprechend auslaufen.

4. Es ist ferner die Verbindung junger Personen unzweckmässig für die Kindererzeugung; bei allen Thieren nämlich sind die Geburten der zu jungen unvollkommen, meist Weibchen und kleiner Gestalt, so dass also dasselbe nothwendig auch bei den Menschen stattfinden muss. Beweis dafür ist, dass in allen Städten, wo es Sitte ist, die Kinder sehr jung zusammenzugeben, die Leute unvollkommen und kleiner Leibesbeschaffenheit sind. Endlich leiden auch bei der Niederkunft die jungen Mütter mehr und geht ihrer eine grössere Anzahl dabei zu Grunde. Daher meinen denn auch Einige, die Troizenier hätten um solcher Ursach willen, weil nämlich wegen des zu frühen Verheirathens junger Mädchen viele Todesfälle vorkamen, den bekannten Orakelspruch empfangen, und es beziehe sich dieser nicht auf die Einsammlung der Früchte.

§. 2. ἔστι δὲ καὶ τῶν ἐλευθερίων] Scribendum erat μὴ ἐλευθερίων vel ἀνελευθέρων, ut voluit Lambinus. Goettl. Minime! neque tale quidquam inveni a Lambino indicatum. — προςεδρεύειν δὲ λίαν — ἀρετὴν οὐκ ἀνελεύθερον] om. I[b]. S[b]. T[b]. P 3. A 1. 2. B 2. 3. Aberravit enim scribae oculus ab altero οὐκ ἀνελεύθερον ad alterum. — προςεδρεύειν δὲ λίαν πρὸς τὸ ἐντελὲς ἔνοχον ταῖς εἰρημέναις βλάβαις] τὸ δὲ προςεδρεύειν λίαν πρὸς ἀκρίβειαν ἔνοχον τ. εἰρ. β. P 1. 3.; προςεδρεύειν δ. λ. π. τὸ τέλειον, ἔνοχον ταῖς ῥηθείσαις βλάβαις P 5. — τίνος χάριν] τίνος ἕνεκεν P 1. 4. An scriptum fuit τίνος ἕνεκεν χάριν? Vide Jacobs. ad Achill. T. p. 832. Schaefer. ad poet. gnom. p. 169. Goettl. — αὑτοῦ μὲν γὰρ χάριν] τὸ μὲν γὰρ αὑτοῦ χάριν P 1. — ἢ φίλων] ἢ τῶν φίλων P 5. Bene. Goettl. — πράττων δι' ἄλλους πολλάκις] πράττων πολλάκις δι' ἄλλους P 1.; πράσσων T[b]. — καταβεβλημέναι] praemissae Vet. Vide Zell. ad Eth. N. I, cp. 5. §. 8. — καθάπερ ἐλέχθη] κ. εἴρηται P 1. — ἐπαμφοτερίζουσιν] ad utrumlibet se habent Vet. —

§. 3. σχεδὸν ἃ] σχεδὸν ἃς T[b]. — καὶ τέταρτον ἔνιοι γραφικὴν] Haec verba non legi in A 1., dicit G. itaque [ ] voluit. Sed leguntur profecto in A1., exemplari eo, quo nos utimur, itemque in Basileensibus exx. — ἤδη διαπορήσειεν ἂν] ἤδη om. Vet., εἰ δεῖ scripsit Cor. — αὕτη γὰρ ἀρχὴ] Cum priores interpretes αὕτη ad σχολὴ (in verbo σχολάζειν latens) retulissent, Victorius potius ad antecedens φύσις referendum censuit, quocum equidem sentio. Contra Reizius cum illis facit, et interpretatur dictum, quasi esset: αὕτη γὰρ ἀρχή, ἀρχὴ πάντων. Sed docere ne-

4. *Εἰ γὰρ ἄμφω μὲν δεῖ, μᾶλλον δὲ αἱρετὸν τὸ σχολάζειν τῆς ἀσχολίας, καὶ ὅλως ζητητέον τί ποιοῦντας δεῖ σχολάζειν. οὐ γὰρ δὴ παίζοντας· τέλος γὰρ ἀναγκαῖον εἶναι τοῦ βίου τὴν παιδιὰν ἡμῖν. εἰ δὲ τοῦτο ἀδύνατον, καὶ μᾶλλον ἐν ταῖς ἀσχολίαις χρηστέον ταῖς παιδιαῖς (ὁ γὰρ πονῶν δεῖται τῆς ἀναπαύσεως, ἡ δὲ παιδιὰ χάριν ἀναπαύσεώς ἐστιν· τὸ δ' ἀσχολεῖν συμβαίνει μετὰ πόνου καὶ συντονίας), διὰ τοῦτο δεῖ παιδιὰς εἰςάγεσθαι καιροφυλακοῦντας τὴν χρῆσιν, ὡς προςάγοντας φαρμακείας χάριν· ἄνεσις γὰρ ἡ τοιαύτη κίνησις τῆς ψυχῆς, καὶ διὰ τὴν ἡδονὴν ἀνάπαυσις.*

5. *Τὸ δὲ σχολάζειν ἔχειν αὐτὸ δοκεῖ τὴν ἡδονὴν καὶ τὴν εὐδαιμονίαν καὶ τὸ ζῆν μακαρίως. τοῦτο δ' οὐ τοῖς ἀσχολοῦσιν ὑπάρχει ἀλλὰ τοῖς σχολάζουσιν· ὁ μὲν γὰρ ἀσχολῶν ἕνεκά τινος ἀσχολεῖ τέλους ὡς οὐχ ὑπάρχοντος, ἡ δ' εὐδαιμονία τέλος ἐστίν, ἣν οὐ μετὰ λύπης ἀλλὰ μεθ' ἡδονῆς οἴονται πάντες εἶναι. ταύτην μέντοι τὴν ἡδονὴν οὐκέτι τὴν αὐτὴν τιθέασιν, ἀλλὰ καθ' ἑαυτοὺς ἕκαστος καὶ τὴν ἕξιν τὴν αὐτῶν, ὁ δὲ ἄριστος τὴν ἀρίστην καὶ τὴν ἀπὸ τῶν καλλίστων. ὥςτε φανερὸν ὅτι δεῖ καὶ πρὸς τὴν ἐν τῇ διαγωγῇ σχολὴν μανθάνειν ἄττα καὶ παιδεύεσθαι, καὶ ταῦτα μὲν τὰ παιδεύματα καὶ ταύτας τὰς μαθήσεις ἑαυτῶν εἶναι χάριν, τὰς δὲ πρὸς τὴν ἀσχολίαν ὡς ἀναγκαίας καὶ χάριν ἄλλων.*

6. *Διὸ καὶ τὴν μουσικὴν οἱ πρότερον εἰς παιδείαν ἔταξαν οὐχ ὡς ἀναγκαῖον (οὐδὲν γὰρ ἔχει τοιοῦτον) οὐδ' ὡς χρήσιμον, ὥςπερ τὰ γράμματα πρὸς χρηματισμὸν καὶ πρὸς οἰκονομίαν καὶ πρὸς μάθησιν καὶ πρὸς πολιτικὰς πράξεις πολλάς· δοκεῖ δὲ καὶ γραφικὴ χρήσιμος εἶναι πρὸς τὸ κρίνειν τὰ τῶν τεχνιτῶν ἔργα κάλλιον· οὐδ' αὖ καθάπερ ἡ γυμναστικὴ πρὸς ὑγίειαν καὶ ἀλκήν· οὐδέτερον γὰρ τούτων ὁρῶμεν γιγνόμενον ἐκ τῆς μουσικῆς. λείπεται τοίνυν πρὸς τὴν ἐν τῇ σχολῇ διαγωγήν, εἰς ὅπερ καὶ φαίνονται παράγοντες αὐτήν· ἣν γὰρ οἴονται διαγωγὴν εἶναι τῶν ἐλευθέρων, ἐν ταύτῃ τάττουσιν. διόπερ Ὅμηρος οὕτως ἐποίησεν*

ἀλλ' οἷον μέν ἐστι καλεῖν ἐπὶ δαῖτα θαλείην.

4. Denn wenn beide nöthig sind, die Musse aber immer der Geschäftigkeit vorzuziehen ist, so muss man auch überhaupt die Frage beantworten, womit man sich in der Musse abgeben soll. Doch offenbar nicht mit Spielen; denn sonst wäre ja nothwendig das Spiel für uns der letzte Lebenszweck. Wenn das aber unmöglich ist, und die Spiele vielmehr nur zur Unterbrechung der Geschäftsarbeiten dienen sollen (denn der sich Anstrengende bedarf der Erholung, das Spiel aber ist der Erholung wegen da, die Geschäftsthätigkeit aber ist mit Arbeit und Anstrengung verbunden), so muss man bei Einführung von Spielen die rechte Zeit zum Genusse wahrnehmen, indem man sie gleichsam wie Arznei anwendet. Denn die mit dem Spiele verbundene Bewegung der Seele ist Losspannung und wegen des damit verbundenen Vergnügens Erholung.

5. Die Musse dagegen enthält schon an sich das Vergnügen, die Glückseligkeit und seliges Leben. Dies aber empfinden nicht die Beschäftigten, sondern die Müssigen; denn der Beschäftigte ist geschäftig für ein gewisses Ziel, welches er noch nicht erreicht hat. Die Glückseligkeit aber ist das Ziel, und sie denkt sich Jeder nicht mit Unlust, sondern mit Lust verbunden. In dieser Lust sehen nun freilich nicht Alle ein und dasselbe, sondern Jeder nach seiner Individualität und Beschaffenheit etwas Anderes, der beste Mensch aber wählt die beste und die aus dem Schönsten hervorgehende. Es ist also klar, dass man auch für den Genuss der Musse Manches lernen und dazu erzogen werden müsse, und dass diese Bildung und dieser Unterricht um ihrer selbst willen da sind, während die zur Geschäftsthätigkeit vorbereitenden als nothwendige anderen Zwecken dienen.

6. Deswegen rechneten die Alten auch die Musik zur Erziehung, nicht als Sache der Nothwendigkeit (denn damit hat sie nichts zu schaffen), oder als nützlich, wie die Sprachkenntniss zu Geldgeschäften, zur Hausverwaltung, zur Wissenschaft und zu vielen Staatsgeschäften, und wie auch das Zeichnen als nützlich gilt für die richtigere Beurtheilung der Werke der Künstler, oder endlich wie die Gymnastik für Gesundheit und Körperstärke; denn keins von beiden sehen wir aus der Musik hervorgehen. So bleibt denn nur noch übrig, dass sie bestimmt sei zur edlen Unterhaltung in der Musse, wozu man sie denn auch in der That anzuwenden scheint, indem man sie zu der freier Menschen würdigen Unterhaltung rechnet. So singt denn auch Homeros:

Sondern den sich geziemt zum blühenden Schmause zu laden.

---

glexit, qui *σχολὴ* dici possit *ἀρχὴ πάντων*. SCHNEID. At vero ipse Aristoteles VII, cp. 13, §. 8. meliora docere poterat Schneiderum. Ibi enim docet *ἀσχολίαν σχολῆς χάριν* esse, ut *πόλεμον εἰρήνης*. In P 2. marg. legitur: *ἢ ἡ φύσις, ἢ ἡ σχολή*, unde apparet iam veteres interpretes graecos in his verbis haesisse. In Addendis p. 511. in Victorii sententiam concessit Schneid. —

§. 4. *τῆς ἀσχολίας καὶ ὅλως ζητητέον, τί ποιοῦντας δεῖ σχολάζειν*] om. I^b^. S^b^. T^b^. P 3. Lips. A 1. 2. B 2. aberrante scribae oculo a primo *σχολάζειν* ad alterum: Lacunam prima explevit B 3., in qua tamen *τῆς ἀσχολίας* om. et *τέλος* pro *ὅλως* scriptum est. Sed vide notam proximam. — *καὶ ὅλως*] *καὶ τέλος* P 1. 4. B 3.; *καὶ τελευταῖον* P 5. — *τί ποιοῦντας δεῖ*] *ὅτι δεῖ ποιοῦντας* P 1. 4. 5. — *γὰρ ἀναγκαῖον εἶναι*] *γὰρ ἂν ἀναγκαῖον εἶναι* Cor. de coni. Schn. — *τὴν παιδιὰν ἡμῖν*] *τ. παιδείαν* Lips. A 1. B 2. — *ταῖς παιδιαῖς*] *τ. παιδικαῖς* A 1. 2. B 2. 3. — *καιροφυλακοῦντας*] Sic edidi cum P 1. 2. 3. Lips. A 1. 2. Lut Vict. Zw. Schn. Cor. G.; *καιροφυλακτοῦντας*, quod tacite recepit Bekkerus, inveni in B 2. 3. Sylb. Cas. Reiz. et sic videtur esse in codd. Goettlingii reliquis. Utramque formam bonam esse dicit Reiz., antiquiorem esse nostram Cor.; Goettlingius autem: „Rectissime habet *καιροφυλακοῦντας*. Vid. Lobeck ad Phrynich. p. 574. a *καιροφύλαξ* fit *καιροφύλακος* nomen, atque inde *καιροφυλακέω*, ŏ littera primigenia (*φυλακ-ο-ς*) in ε mutata. Verba in *κτέω* derivantur ab adiectivis verbalibus in *κτος*. Ita ab *φυλακτός* fit *ἀφύλακτος* et *ἀφυλακτέω*, *δυςφύλακτος* et *δυςφυλακτέω*. Non autem dicitur a *φυλακτός*, *καιροφύλακτος*. In P 1. est singularis *καιροφυλακοῦντα*, et paullo post *προςάγοντα* pro *προςάγοντας*. — *ἀνάπαυσις*] *ἀπάναυσις* perverse G. —

§. 5. *ἐν τῇ διαγωγῇ σχολὴν*] *ἐν τῇ σχολῇ διαγωγὴν* Cor. — *μανθάνειν ἄττα*] *ἄττα* A 1. 2. B 2. Vict. Zw. correxit Sylb., sed quod primum sic scripsisse Reizium dicit G., fallitur vir doctissimus. Recepit enim Sylburgii emendationem iam Casaubonus. —

§. 6. *πρὸς χρηματισμὸν*] *πρὸς χρηματικὸν* A 2. — *γραφικὴ χρήσιμος*] *χρησίμη* T^b^. P 4. 5. L. et quidam codd. Victorii, *γραφικὰ χρήσιμα* alii codd. Vict. — *οὐδ' αὖ καθάπερ*] *ἂν* pro *αὖ* S^b^. — *παράγοντες αὐτὴν*] *παραγαγόντες* Schn. et Cor. cum Reizio, qui: „scripsimus *παραγαγόντες*, quia sermo est de veteribus, qui musicae locum inter disciplinas tribuerunt." Patere ait illos musicam introduxisse ad vitae partem a negotio vacuam transigendam. Superius autem dixerat, sui temporis homines plerosque musicae studium voluptatis causa tractare. Qui *παράγοντες* legunt, et ita vertunt, ut praesens tempus reddant, eorum caeteri quomodo huius loci sensum intellexerint, nobis ignotum est." — *ἀλλ' οἷον μέν ἐστι*]

καὶ οὕτω προειπὼν ἑτέρους τινὰς

„οἳ καλέουσιν ἀοιδόν“

φησιν,

„ὅ κεν τέρπῃσιν ἅπαντας.“

καὶ ἐν ἄλλοις δέ φησιν Ὀδυσσεὺς ταύτην ἀρίστην εἶναι διαγωγήν, ὅταν εὐφραινομένων τῶν ἀνθρώπων

„δαιτυμόνες δ' ἀνὰ δώματ' ἀκουάζωνται ἀοιδοῦ ἥμενοι ἑξείης.“

CAP. III.

1. Ὅτι μὲν τοίνυν ἐστὶ παιδεία τις ἣν οὐχ ὡς χρησίμην παιδευτέον τοὺς υἱεῖς οὐδ' ὡς ἀναγκαίαν ἀλλ' ὡς ἐλευθέριον καὶ καλήν, φανερόν ἐστιν· πότερον δὲ μία τὸν ἀριθμὸν ἢ πλείους, καὶ τίνες αὗται καὶ πῶς, ὕστερον λεκτέον περὶ αὐτῶν. νῦν δὲ τοσοῦτον ἡμῖν εἶναι πρὸ ὁδοῦ γέγονεν, ὅτι καὶ παρὰ τῶν ἀρχαίων ἔχομέν τινα μαρτυρίαν ἐκ τῶν καταβεβλημένων παιδευμάτων· ἡ γὰρ μουσικὴ τοῦτο ποιεῖ δῆλον. ἔτι δὲ καὶ τῶν χρησίμων ὅτι δεῖ τινὰ παιδεύεσθαι τοὺς παῖδας οὐ μόνον διὰ τὸ χρήσιμον, οἷον τὴν τῶν γραμμάτων μάθησιν, ἀλλὰ καὶ διὰ τὸ πολλὰς ἐνδέχεσθαι γίγνεσθαι δι' αὐτῶν μαθήσεις ἑτέρας.

2. Ὁμοίως δὲ καὶ τὴν γραφικὴν οὐχ ἵνα ἐν τοῖς ἰδίοις ὠνίοις μὴ διαμαρτάνωσιν ἀλλ' ὦσιν ἀνεξαπάτητοι πρὸς τὴν τῶν σκευῶν ὠνήν τε καὶ πρᾶσιν, ἢ μᾶλλον ὅτι ποιεῖ θεωρητικὸν τοῦ περὶ τὰ σώματα κάλλους. τὸ δὲ ζητεῖν πανταχοῦ τὸ χρήσιμον ἥκιστα ἁρμόττει τοῖς μεγαλοψύχοις καὶ τοῖς ἐλευθέροις. ἐπεὶ δὲ φανερὸν πρότερον τοῖς ἔθεσιν ἢ τῷ λόγῳ παιδευτέον εἶναι, καὶ περὶ τὸ σῶμα πρότερον ἢ τὴν διάνοιαν, δῆλον ἐκ τούτων ὅτι παραδοτέον τοὺς παῖδας γυμναστικῇ καὶ παιδοτριβικῇ· τούτων γὰρ ἡ μὲν ποιάν τινα ποιεῖ τὴν ἕξιν τοῦ σώματος, ἡ δὲ τὰ ἔργα.

und sofort nach Aufzählung einiger andern, sagt er:

Welche den Sänger laden, der Allen zusammen ergötze.

Und an einer andern Stelle sagt Odysseus, das sei die schönste Unterhaltung, wenn unter fröhlichen Menschen:

Sitzet die schmausende Schaar in der Halle und lauschet dem Sänger
Dicht in Reihen geschaart.

Kap. III.

1. Dass es also eine gewisse Bildung giebt, welche man seinen Kindern, nicht etwa insofern sie Nutzen bringt oder nothwendig ist, ertheilen muss, sondern weil sie einem Freien geziemend und schön, ist einleuchtend. Ob dieser Unterrichtsgegenstand aber der Zahl nach einer oder mehrere, und welche es sind und wie zu betreiben, darüber ist später zu reden. Für jetzt haben wir so viel vorweg genommen, dass wir auch von unsern Vorfahren ein Zeugniss aus den hergebrachten Unterrichtsgegenständen haben. Die Musik nämlich ist ein Beleg dazu. Ferner stellt es sich selbst bei den nützlichen Unterrichtsgegenständen heraus, dass man in einigen, wie z. B. im Lesen und Schreiben, die Kinder nicht blos des Nutzens wegen unterrichten müsse, sondern auch weil durch sie das Erwerben vieler andern Wissenschaften möglich wird.

2. Ebenso auch im Zeichnen nicht sowohl darum, dass sie bei ihren eignen Einkäufen keine Fehler begehen, sondern bei Kauf und Verkauf von Geräthen und Kunstsachen gegen Betrug gesichert seien, als vielmehr, weil es den Sinn für körperliche Schönheit schärft. Ueberall aber nach dem Nutzen zu fragen, geziemt am wenigsten hochsinnigen und freien Menschen. Da es aber einleuchtet, dass die Jugenderziehung früher durch die Gewohnheiten als durch die Wissenschaft und auf den Körper früher als auf das Denkvermögen zu wirken hat, so folgt daraus, dass man die Kinder zunächst der Leibesübung und Ringekunst zu übergeben hat; denn jene giebt dem Körper eine gewisse Beschaffenheit, diese macht ihn zu den Verrichtungen geschickt.

Versus non reperitur hodie in Homero. Quare nolui γε inserere post μέν, ut versus constaret, aut mutare μέν in μήν, ut fecit Cor. Schneideri sententiam secutus. Goettl. In Vet. est: *Sed est quidem velut ad epulas vocari congaudere.* in Thom. autem exemplari est: *sed quale est* vocari *ad mensam opipare paratam.* οἷον pro υἱὸν edidit Schn. Cfr. Odyss. XVII, 382—385. — οἳ καλέουσιν ἀοιδὸν] Et haec absunt ab Homero nostro. Nisi est lectionis varietas Odyss. XVII, 385., quod nolim contendere. Quid Schneiderus sibi voluerit, augurari coniectura plane non potui. Ita enim: „interpunctio, inquit, corrigenda erat, et verbum καλέουσι mutandum in καλέονται vel καλοῦνται. Respexit scilicet poeta verba οὗτοι γὰρ κλητοί γε βροτῶν.“ Goettl. *qui vocent cantaturam naturam tamquam delectantem omnes.* Vet. *deinde nominans quosdam alios subdit et cytharoedum qui omnes demulceat.* Thom. — ὅ κεν τέρπῃσιν] ὅς ἐντέρπῃσιν B 2. 3., ὥς κεν τ. P 1., ὅς κεν τ. P 4. — δαιτυμόνες] Vid. Odyss. IX, v. 7—8. —

Cap. III. §. 1. τοὺς υἱεῖς] τοῖς υἱοῖς L. — ἀναγκαίαν] ἀναγκαῖον S[b]. P[b]. Lips. A 1. 2. B 2. 3. Schn. et sic G. tacite. — νῦν δὲ τοσοῦτον ἡμῖν εἶναι πρὸ ὁδοῦ γέγονεν] *nunc tantum nobis esse primum factum est.* Vet. om. Thom. Goettlingius, qui citat Lobeck. ad Phryn. p. 275., nihil mirum est (inquit) τοσοῦτον εἶναι sine negatione ab Aristotele usurpari. — ἔχομέν τινα μαρτυρίαν] μαρτύρια edidit Cor., femininam enim formam τοῦ παρακμάζοντος esse ἑλληνισμοῦ. Idem tamen rectius fortasse scribi censet: ἔχομεν τὰ μαρτύρια, ut VIII, cp. 5, §. 9., ubi est λαμβάνουσι γὰρ τὰ μαρτύρια τῶν λόγων ἐξ αὐτῶν τῶν ἔργων. Sed femininam formam tuetur Pseudo-Arist. Rhet. ad Alex. cp. 16. p. 1431 b. 24. Bekk. — ἐκ τῶν καταβεβλημένων] Vitium apertum corrigere tentavit Reizius ita: μαρτυρίαν, ὅτι ἐν τ. κ. et subaudiendum censuit: παιδευτέον τοὺς υἱεῖς ὡς ἐλευθέριον καὶ καλόν. Sed potius inserendum erat ἦν, ita: ὅτι ἐν τ. κ. π. ἦν. Schn.; ἐκ praeposit. [] Schn. Cor. — παιδευμάτων] Ante hoc v. τότε inserendum esse censet Schn. —

§. 2. ἀλλ' ὦσιν — ἢ μᾶλλον] Schneiderus ex emendatione Reizii ἀλλὰ et ἢ particulas ita transposuit ut alterum alterius loco poneret: ἢ ὦσιν — ἀλλὰ μᾶλλον. Male! ἀλλὰ enim referendum est ad proxime praecedentia ἵνα μὴ — διαμαρτάνωσιν, quorum verborum sententia accuratius explicata repetitur. Non est igitur audiendus Coraes, cui verba: ἀλλ' ὦσιν — πρᾶσιν a grammatico aliquo inepto addita esse videntur. — θεωρητικὸν] θεωρητικὴν P[b]. A 1. 2. B 2. 3. — φανερὸν πρότερον] Sic Bekk. tacite. Sed πότερον est in Aret. Vet. et edd. vett. omnibus, A 1. 2. B 2. 3. Vict. Zw. Sylb. Lamb. Cas. cet. retinuitque Goettl. c. codd. ut videtur omnibus. Emendationis laus debetur Reizio, qui comparato VII, cp. 13. §. 21. recte intellexit πρότερον h. l. esse necessarium. Receperunt Reizii coniecturam Schn. Cor. — τοῖς ἔθεσιν ἢ τῷ λόγῳ παιδευτέον] παιδευτέον post ἔθεσι posuit cum P 1. G.; — ἤθεσιν pro ἔθεσιν Schn. Cor. — παιδευτέον εἶναι] εἶναι om. P 1. G. Veram esse scripturam πρότερον ex hoc ipso infinitivo apparet. Non potuit enim dicere Aristoteles, πότερον — παιδευτέον εἶναι. Sensit soloecismum Sylburg., qui legi vult ἐστί. Conringius εἶναι delendum esse censuit. Adeo fit saepe, ut aliquod vitium correcturi, dum pravum pro recto et rectum pro pravo habemus, ipsi vitium augeamus. Haec Reizius. — παιδοτριβικῇ] In

Cap. 4. Bekk. 3. *Νῦν μὲν οὖν αἱ μάλιστα δοκοῦσαι τῶν πόλεων ἐπιμελεῖσθαι τῶν παίδων αἱ μὲν ἀθλητικὴν ἕξιν ἐμποιοῦσι, λωβώμεναι τά τε εἴδη καὶ τὴν αὔξησιν τῶν σωμάτων, οἱ δὲ Λάκωνες ταύτην μὲν οὐχ ἥμαρτον τὴν ἁμαρτίαν, θηριώδεις δ' ἀπεργάζονται τοῖς πόνοις, ὡς τοῦτο πρὸς ἀνδρίαν μάλιστα συμφέρον. καίτοι, καθάπερ εἴρηται πολλάκις, οὔτε πρὸς μίαν οὔτε πρὸς μάλιστα ταύτην βλέποντα ποιητέον τὴν ἐπιμέλειαν. εἴ τε καὶ πρὸς ταύτην, οὐδὲ τοῦτο ἐξευρίσκουσιν· οὔτε γὰρ ἐν τοῖς ἄλλοις ζῴοις οὔτ' ἐπὶ τῶν ἐθνῶν ὁρῶμεν τὴν ἀνδρίαν ἀκολουθοῦσαν τοῖς ἀγριωτάτοις, ἀλλὰ μᾶλλον τοῖς ἡμερωτέροις καὶ λεοντώδεσιν ἤθεσιν.*

4. *Πολλὰ δ' ἐστὶ τῶν ἐθνῶν ἃ πρὸς τὸ κτείνειν καὶ πρὸς τὴν ἀνθρωποφαγίαν εὐχερῶς ἔχει, καθάπερ τῶν περὶ τὸν Πόντον Ἀχαιοί τε καὶ Ἡνίοχοι καὶ τῶν ἠπειρωτικῶν ἐθνῶν ἕτερα, τὰ μὲν ὁμοίως τούτοις τὰ δὲ μᾶλλον, ἃ λῃστικὰ μέν ἐστιν, ἀνδρίας δ' οὐ μετειλήφασιν. ἔτι δ' αὐτοὺς τοὺς Λάκωνας ἴσμεν, ἕως μὲν αὐτοὶ προσήδρευον ταῖς φιλοπονίαις, ὑπερέχοντας τῶν ἄλλων, νῦν δὲ καὶ τοῖς γυμνασίοις καὶ τοῖς πολεμικοῖς ἀγῶσι λειπομένους ἑτέρων· οὐ γὰρ τῷ τοὺς νέους γυμνάζειν τὸν τρόπον τοῦτον διέφερον, ἀλλὰ τῷ μόνον μὴ πρὸς ἀσκοῦντας ἀσκεῖν.*

5. *Ὥστε τὸ καλὸν ἀλλ' οὐ τὸ θηριῶδες δεῖ πρωταγωνιστεῖν· οὐ γὰρ λύκος οὐδὲ τῶν ἄλλων θηρίων τι ἀγωνίσαιτο ἂν οὐδένα καλὸν κίνδυνον, ἀλλὰ μᾶλλον ἀνὴρ ἀγαθός. οἱ δὲ λίαν εἰς ταῦτα ἀνέντες τοὺς παῖδας, καὶ τῶν ἀναγκαίων ἀπαιδαγωγήτους ποιήσαντες, βαναύσους κατεργάζονται κατά γε τὸ ἀληθές, πρὸς ἕν τε μόνον ἔργον τῇ πολιτικῇ χρησίμους ποιήσαντες, καὶ πρὸς τοῦτο χεῖρον, ὥς φησιν ὁ λόγος, ἑτέρων. δεῖ δὲ οὐχ ἐκ τῶν προτέρων ἔργων κρίνειν, ἀλλ' ἐκ τῶν νῦν· ἀνταγωνιστὰς γὰρ τῆς παιδείας νῦν ἔχουσι, πρότερον δ' οὐκ εἶχον.*

CAP. IV.

1. *Ὅτι μὲν οὖν χρηστέον τῇ γυμναστικῇ, καὶ πῶς χρηστέον, ὁμολογούμενόν ἐστιν. μέχρι μὲν γὰρ ἥβης κουφότερα γυμνάσια προσοιστέον, τὴν βίαιον τροφὴν καὶ τοὺς πρὸς ἀνάγκην πόνους ἀπείργοντας, ἵνα μηθὲν ἐμπόδιον ᾖ πρὸς τὴν αὔξησιν. σημεῖον γὰρ οὐ μικρὸν ὅτι δύναται τοῦτο παρασκευάζειν· ἐν γὰρ τοῖς Ὀλυμπιονίκαις δύο τις ἂν ἢ τρεῖς εὕροι τοὺς αὐτοὺς νενικηκότας ἄνδρας τε καὶ παῖδας, διὰ τὸ νέους ἀσκοῦντας ἀφαιρεῖσθαι τὴν δύναμιν ὑπὸ τῶν ἀναγκαίων γυμνασίων.*

3. Unter den Staaten, welche heutzutage vorzugsweise in dem Rufe stehen, sich um ihre Jugend zu bekümmern, suchen die einen ihr eine athletische Beschaffenheit zu geben, und schaden so der Gestalt und dem Wachsthume der Körper. Die Lakonen dagegen verfielen zwar nicht in diesen Fehler, machen sie aber fast zu wilden Thieren durch die schweren Arbeiten, als wenn dies der beste Weg zur Tapferkeit wäre. Und doch darf man, wie schon oft gesagt ist, bei der Sorge für die Erziehung weder überhaupt auf **eine**, noch besonders gerade auf diese Tüchtigkeit sehen. Und angenommen, das Letztere wäre der Fall, so erreichen sie selbst dies nicht einmal. Denn weder bei den Thieren, noch bei den Völkern sehen wir die Tapferkeit im Gefolge der wildesten, sondern vielmehr der ruhigeren und löwenartigen Charaktere.

4. Auch giebt es viele Völker, die zum Morden und Menschenfressen leicht bei der Hand sind, wie die Achaier und Heniochen am Pontos und einige andere der binnenländischen Völkerschaften theils in ähnlichem theils in noch höherem Grade; diese sind freilich zu Raub und Mord fertig, aber Tapferkeit besitzen sie nicht. Dazu wissen wir auch von den Lakonen selbst, dass sie, so lange sie sich eifrig in schweren Anstrengungen übten, vor den Uebrigen hervorragten, jetzt aber in den Leibesübungen wie in den kriegerischen Wettkämpfen Andern nachstehen. Denn nicht dadurch, dass sie ihre Jugend in jener Weise übten, erhielten sie das Uebergewicht, sondern allein dadurch, dass sie sich gegen solche übten, welche diese Uebung vernachlässigten.

5. Also dem Schönen, nicht dem thierisch Wilden gebührt der erste Rang. Denn nimmer mag ein Wolf oder sonst ein wildes Thier einen schönen Kampf bestehen, sondern vielmehr ein tüchtiger Mann. Die aber, welche die Kinder hierin zu weit gehen und sie darüber in den nothwendigen Dingen ungebildet lassen, richten sie, die Wahrheit zu sagen, zu handwerksmässigen Menschen ab, indem sie dieselben einerseits nur zu **einer** Art von staatsbürgerlicher Verrichtung brauchbar machen, und sodann selbst hierin, wie die Vernunft sagt, auf eine schlechtere Art als Andere. Man darf aber die Methode der Lakonen nicht nach ihren früheren Thaten beurtheilen, sondern nach ihren gegenwärtigen; denn jetzt haben sie Rivalen in ihrer Erziehung, früher aber hatten sie solche nicht.

Kap. IV.

1. Ueber die Nothwendigkeit der gymnastischen Uebungen und über das Maass ihrer Anwendung ist man also einverstanden. Bis zum mannbaren Alter nämlich müssen blos leichtere Uebungen vorgenommen und jede Zwangsdiät und alle Zwangsanstrengungen fern gehalten werden, damit das Wachsthum nicht gehindert werde, denn ein nicht geringer Beweis, dass dies Letztere geschehen könne, ist folgender Umstand: man findet nämlich unter den Olympischen Siegern etwa zwei oder drei, die als Männer und auch als Knaben gesiegt hatten, weil sie in ihrer Jugend sich durch gewaltsam übertriebene Leibesübungen die Kraft raubten.

---

margin. P 1. 2. est: *τῇ διδασκούσῃ ποῖα χρὴ τοὺς παῖδας παιδεύεσθαι.* —

§. 3. *λωβώμεναι*] *tollentes* Vet. — *πρὸς ἀνδρίαν μάλιστα*] *μάλιστα πρὸς ἀνδρίαν* Schn. Cor. sine auctoritate. — *πρὸς μάλιστα ταύτην*] *μάλιστα πρὸς ταύτην* B 3. — *εἴ τε καὶ*] *εἰ δὲ καὶ* Schn. — *τοῖς ἡμερωτέροις*] *τ. ἡμερωτάτοις* I^b. —

§. 4. *τῶν ἠπειρωτικῶν*] *non marinarum* Vet. — *λῃστικὰ μὲν*] *λῃστρικὰ* P 1. L. A 1. 2. B 2. 3. Vid. Lobeck ad Phryn. p. 243. — *τοὺς Λάκωνας*] *τοὺς* om. L. A 1. 2. B 2. 3. — *γυμνασίοις*] *κατὰ τὸν ἀρχαῖον μεταφραστὴν „γυμναστικοῖς"* KOP. — *ἀλλὰ τῷ μόνον*] Dictum monet Reizius pro *ἀλλὰ μόνον τῷ*, nisi potius ita scribendum fuerit. Schn. —

§. 5. *τι ἀγωνίσαιτο*] *τι* om. I^b. S^b. T^b. P 1. 2. 3. A 1. L. B 2. 3. G.; *οὐθεὶς* (non *οὐθὲν* ut dicunt Sylb. et Schn.) pro *τι* A 2.; *οὐθὲν* recepit Cor.; *τι* primus tacite posuit Victorius. Goettlingius: vide (inquit) an scripserit *θηρίων ἀγωνίσαιτο ἂν οὐθὲν καλὸν κίνδυνον.* — *ἀπαιδαγωγήτους*] *ἀπαιδαγώγους* S^b. T^b. —

Cap. IV. §. 1. *κουφότερα γυμνάσια*] Sic Bekkerus tacite, ut est in Vet., *leniora exercitia afferendum* P 1. 3. Reiz. Schn. Cor. G.; et sic scribendum esse vidit prim. Victorius p. 579., cuius iudicium argumentis firmavit Reizius p. 70—71. *κουφοτέρα γυμνασία* Codd. Victorii omnes, Goettlingii reliqui, et edd. vett. A 1. 2. B 2. 3., Lamb. Vict. 1. 2. Sylb. Cas. — *ἐμπόδιον*] *ἐμποδὼν* Schn. Cor. sine auctoritate legitima. — *δύναται*] Sic Bekk. tacite, ut esse in P 1. notat G.; *δύνανται* Reiz. Schn. Cor. G. cum edd. vett. omnibus A 1. 2. B 2. 3. Vict. Sylb. Cas. — *τοῖς Ὀλυμπιονίκαις*] *ταῖς Ὀλ.* Lips. A 1. B 2. *Ὀλυμπιονικικαῖς* I^b. P 3. (nisi scribere voluit G. P 2.). —

2. Ὅταν δ' ἀφ' ἥβης ἔτη τρία πρὸς τοῖς ἄλλοις μαθήμασι γένωνται, τότε ἁρμόττει καὶ τοῖς πόνοις καὶ ταῖς ἀναγκοφαγίαις καταλαμβάνειν τὴν ἐχομένην ἡλικίαν. ἅμα γὰρ τῇ τε διανοίᾳ καὶ τῷ σώματι διαπονεῖν οὐ δεῖ· τοὐναντίον γὰρ ἑκάτερος ἀπεργάζεσθαι πέφυκε τῶν πόνων, ἐμποδίζων ὁ μὲν τοῦ σώματος πόνος τὴν διάνοιαν, ὁ δὲ ταύτης τὸ σῶμα.

Cap. 5. Bkk. 3. Περὶ δὲ μουσικῆς ἔνια μὲν διηπορήσαμεν τῷ λόγῳ καὶ πρότερον, καλῶς δ' ἔχει καὶ νῦν ἀναλαβόντας αὐτὰ προαγαγεῖν, ἵνα ὥσπερ ἐνδόσιμον γένηται τοῖς λόγοις οὓς ἄν τις εἴπειεν ἀποφαινόμενος περὶ αὐτῆς. οὔτε γὰρ τίνα ἔχει δύναμιν ῥᾴδιον περὶ αὐτῆς διελεῖν, οὔτε τίνος δεῖ χάριν μετέχειν αὐτῆς, πότερον παιδιᾶς ἕνεκα καὶ ἀναπαύσεως, καθάπερ ὕπνου καὶ μέθης· ταῦτα γαρ καθ' αὑτὰ μὲν οὔτε τῶν σπουδαίων, ἀλλ' ἡδέα, καὶ ἅμα παύει μέριμναν, ὥς φησιν Εὐριπίδης. διὸ καὶ τάττουσιν αὐτὴν καὶ χρῶνται πᾶσι τούτοις ὁμοίως, ὕπνῳ καὶ μέθῃ καὶ μουσικῇ. τιθέασι δὲ καὶ τὴν ὄρχησιν ἐν τούτοις.

4. Ἢ μᾶλλον οἰητέον πρός ἀρετήν τι τείνειν τὴν μουσικήν, ὡς δυναμένην, καθάπερ ἡ γυμναστικὴ τὸ σῶμα ποιόν τι παρασκευάζει, καὶ τὴν μουσικὴν τὸ ἦθος ποιόν τι ποιεῖν, ἐθίζουσαν δύνασθαι χαίρειν ὀρθῶς. ἢ πρὸς διαγωγήν τι συμβάλλεται καὶ πρὸς φρονησιν· καὶ γὰρ τοῦτο τρίτον θετέον τῶν εἰρημένων. ὅτι μὲν οὖν δεῖ τοὺς νέους μὴ παιδιᾶς ἕνεκα παιδεύειν, οὐκ ἄδηλον· οὐ γὰρ παίζουσι μανθάνοντες· μετὰ λύπης γὰρ ἡ μάθησις. ἀλλὰ μὴν οὐδὲ διαγωγήν τε * παισὶν ἁρμόττει καὶ ταῖς ἡλικίαις ἀποδιδόναι ταῖς τοιαύταις· οὐθενὶ γὰρ ἀτελεῖ προσήκει τέλος.

5. Ἀλλ' ἴσως ἂν δόξειεν ἡ τῶν παίδων σπουδὴ παιδιᾶς εἶναι χάριν ἀνδράσι γενομένοις καὶ τελειωθεῖσιν. ἀλλ' εἰ τοῦτ' ἐστὶ τοιοῦτον, τίνος ἂν ἕνεκα δέοι μανθάνειν αὐτούς, ἀλλὰ μὴ καθάπερ οἱ τῶν Περσῶν καὶ Μήδων βασιλεῖς, ἄλλων αὐτὸ ποιούντων μεταλαμβάνειν τῆς ἡδονῆς καὶ τῆς μαθήσεως; καὶ γὰρ ἀναγκαῖον βέλτιον ἀπεργάζεσθαι τοὺς αὐτὸ τοῦτο πεποιημένους ἔργον καὶ τέχνην τῶν τοσοῦτον χρόνον

2. Wenn aber drei Jahre nach der Mannbarkeit auf die übrigen Gegenstände des Unterrichts verwendet sind, dann ist es schicklich, das folgende Alter auch zu schwereren Anstrengungen und zu jener Zwangsdiät anzuhalten. Denn mit Geist und Körper zugleich angestrengt arbeiten taugt nicht, da jede dieser Anstrengungen ihrer Natur nach eine entgegengesetzte Wirkung hat, indem die des Körpers den Geist, die des Geistes den Körper hindert.

3. Ueber die **Musik** haben, wir zwar schon oben einige zweifelhafte Punkte erörtert, indess können wir schicklich hier die Untersuchung wieder aufnehmen und weiterführen, um für die Untersuchungen Dessen, der etwa später über die Sache Licht verbreiten will, eine Art von Grundlage zu gewinnen. Denn es ist weder leicht, auseinanderzusetzen, welche Kraft sie hat, noch zu welchem Zwecke man sie eigentlich treiben soll: ob der Kurzweil und Erholung willen, wie Schlafen und Trinken; denn diese beiden Dinge sind zwar an und für sich nicht werthvoll, aber doch angenehm und wiegen die Sorge in Schlummer, wie Euripides sagt. Daher rechnet man denn auch die Musik dazu, und geniesst sie alle zu gleichem Zwecke, Schlaf, Wein und Musik. Auch das Tanzen rechnet man dazu.

4. Oder hat man vielmehr anzunehmen, die Musik trage auch etwas zur sittlichen Bildung bei, indem, gleichwie die Gymnastik dem Körper eine gewisse Beschaffenheit ertheile, so auch die Musik das Vermögen besitze, dem Charakter eine gewisse Beschaffenheit zu geben, indem sie gewöhnt, sich auf die rechte Weise freuen zu können? Oder, und dies wäre der dritte Fragepunkt, trägt sie vielleicht etwas bei zum sinnvollen Genusse der Musse? So viel nun ist klar, dass man die Knaben nicht der Kurzweil halber unterweisen soll; denn indem sie lernen, spielen sie nicht, sondern Lernen ist mit Mühe und Anstrengung verbunden. Aber gewiss ist es ebensowenig passend, Knaben und überhaupt dem jugendlichen Alter jenen (nur Männern geziemenden) Genuss der Musse zu überweisen; denn dem Unreifen kommt der letzte Zweck nicht zu.

5. Aber vielleicht liesse sich sagen, was die Knaben im Ernste treiben, habe den Zweck, ihnen im männlichen und gereiften Alter zum Spiele zu dienen. Allein ist dem also, warum sollen sie es dann **selbst** lernen und nicht lieber, gleich den Persischen und Medischen Königen, durch andere ausübende Künstler sich den Genuss und Unterricht verschaffen? zumal da ja auch die Ausübung nothwendig Denen besser gelingen muss, welche sich daraus eine Hauptbeschäftigung und Kunst gemacht haben, als Denen, welche eben nur

---

§. 2. ἔτη τρία] ἔτι τρία Reiz. tacite. — γένωνται] γίνωνται P1. — ἀναγκοφαγίαις] ξηροφαγίαις (*siccis alimentis*) Vet. et sic Thom., cuius verba haec sunt: *Et tunc etiam expedit iis magis administrare alimentum siccum.* In marg. P2. pro ἀναγκοφαγίαις legitur λιμῷ. — τῇ τε διανοίᾳ] τε om. Schn. Cor. —

§. 3. διηπορήσαμεν] διηπορήκαμεν P1. G. — εἴπειεν] εἴποιεν Sb. Tb. A 1. 2. B 2. Vict. Sylb. Cas. Zw. Schn.; εἴποι B 3. Cor. Goettl. cfr. supra II, cp. 6. §. 17. II, cp. 7, §. 6. Goettlingius adnotat p. 333.: „dubito, inquit, an εἴποιε in usu fuerit apud seriores Atticos. Nempe accentus in εἴποι indicio est, esse contractum ex εἴποιε, quare si codd. hoc praebent, non est cur statim respuamus.“ — οὔτε τῶν σπουδαίων] Aut aliquid excidit et scripserat Aristoteles: οὔτε τῶν καλῶν, οὔτε τῶν σπουδαίων, aut, quod magis putamus, legendum est οὐδὲ τῶν σπουδαίων. Reiz. οὐδὲ recep. Schn. Cor. G. — καὶ ἅμα παύει μέριμναν] μεριμνᾶν Lips., καὶ ἅμα μέριμναν παύει P1. Goettlingio legendum videtur: καὶ ἀναπαύει μέριμναν, cf. Eurip. Bacch. 380 ὃς (Βρόμιος) τάδ' ἔχει, | θιασεύειν τε χοροῖς | μετά τ' αὐλοῦ γελάσαι | ἀναπαῦσαί τε μερίμνας. — διὸ καὶ τάττουσιν αὐτὴν] Horum verborum, si vacua sunt a mendo, quod vix puto, sensus erit: qua de caussa recipiunt ipsam et in ordinem locumque ceterarum referunt quas concedunt. Victor. Lambinus vertit τάττουσιν ταῦτα εἰς τὴν αὐτὴν τάξιν. Reizio post αὐτὴν excidisse videntur verba ἐν παιδιᾷ. Cor. edidit: διὸ καὶ τάττουσιν [ἐν] αὐτῇ. Goettlingio nihil addendum, sed ὁμοίως cum τάττουσι subaudiendum videtur. — ὕπνῳ καὶ μέθῃ] vulgo leg. οἴνῳ καὶ μέθῃ. Recepimus cum Cor. coniecturam Reizii, Schneidero quoque probatam, et a Cor. Aretini testimonio firmatam. Sic paullo ante legitur: καθάπερ ὕπνου καὶ μέθης. —

§. 4. ἢ πρὸς διαγωγὴν] De διαγωγῇ iam antea fuit disputatum, eam igitur hic ad quaestionem revocare non potuit. Quare scribendum censeo ἢ πρὸς τῇ διαγωγῇ *praeter oblectationem otii.* Schn. ἢ καὶ πρὸς διαγ. Cor. — Vide tamen Biesii disputationem egregiam in libro praestantissimo, qui inscribitur: die Philos. d. Arist. in ihrem innern Zusammenh. I, p. 549—551. In Pb. est ἢ π. δ. — παίζουσιν] παίξουσιν A 2. — οὐδὲ διαγωγήν τε παισὶν] τοῖς pro τε coniecit Reiz., recep. Schn. γε pro τε edid. Cor. Fortasse scripserat Aristoteles οὐδὲ διαγωγήν τε καὶ φρόνησιν παισὶν ἁρμόττει. Nam quod Schn. volebat οὐδὲ διαγωγὴν οὐδὲ φρόνησιν, nemo facile ab sermonis elegantia laudaverit. Goettl. Mihi quoque verba a. G. addita post τε excidisse videntur, quare lacunae signum posui. —

§. 5. ἄλλων] δι' ἄλλων Sb. Tb. et sic edd. vett. et recent. ante Bekk. omnes, ne notata quidem scripturae discrepantia. — τοὺς αὐτὸ τοῦτο πεποιημένους ἔργον καὶ τέχνην] τὸ ἔργον τοὺς αὐτὸ

ἐπιμελουμένων ὅσον πρὸς μάθησιν μόνον. εἰ δὲ δεῖ τὰ τοιαῦτα διαπονεῖν αὐτούς, καὶ περὶ τὴν τῶν ὄψων πραγματείαν αὐτοὺς ἂν δέοι παρασκευάζειν· ἀλλ' ἄτοπον.

6. Τὴν δ' αὐτὴν ἀπορίαν ἔχει καὶ εἰ δύναται τὰ ἤθη βελτίω ποιεῖν· ταῦτα γὰρ τί δεῖ μανθάνειν αὐτούς, ἀλλ' οὐχ ἑτέρων ἀκούοντας ὀρθῶς τε χαίρειν καὶ δύνασθαι κρίνειν; ὥσπερ οἱ Λάκωνες· ἐκεῖνοι γὰρ οὐ μανθάνοντες ὅμως δύνανται κρίνειν ὀρθῶς, ὥς φασι, τὰ χρηστὰ καὶ τὰ μὴ χρηστὰ τῶν μελῶν. ὁ δ' αὐτὸς λόγος κἂν εἰ πρὸς εὐημερίαν καὶ διαγωγὴν ἐλευθέριον χρηστέον αὐτῇ· τί δεῖ μανθάνειν αὐτούς, ἀλλ' οὐχ ἑτέρων χρωμένων ἀπολαύειν;

7. Σκοπεῖν δ' ἔξεστι τὴν ὑπόληψιν ἣν ἔχομεν περὶ τῶν θεῶν· οὐ γὰρ ὁ Ζεὺς αὐτὸς ᾄδει καὶ κιθαρίζει τοῖς ποιηταῖς, ἀλλὰ καὶ βαναύσους καλοῦμεν τοὺς τοιούτους καὶ τὸ πράττειν οὐκ ἀνδρὸς μὴ μεθύοντος ἢ παίζοντος. ἀλλ' ἴσως περὶ μὲν τούτων ὕστερον ἐπισκεπτέον.

CAP. V.

1. Ἡ δὲ πρώτη ζήτησίς ἐστι, πότερον οὐ θετέον εἰς παιδείαν τὴν μουσικὴν ἢ θετέον, καὶ τί δύναται τῶν διαπορηθέντων τριῶν, πότερον παιδείαν ἢ παιδιὰν ἢ διαγωγήν. εὐλόγως δ' εἰς πάντα τάττεται καὶ φαίνεται μετέχειν. ἥ τε γὰρ παιδιὰ χάριν ἀναπαύσεώς ἐστι, τὴν δ' ἀνάπαυσιν ἀναγκαῖον ἡδεῖαν εἶναι (τῆς γὰρ διὰ τῶν πόνων λύπης ἰατρεία τίς ἐστιν)· καὶ τὴν διαγωγὴν ὁμολογουμένως δεῖ μὴ μόνον ἔχειν τὸ καλὸν ἀλλὰ καὶ τὴν ἡδονήν. τὸ γὰρ εὐδαιμονεῖν ἐξ ἀμφοτέρων τούτων ἐστίν. τὴν δὲ μουσικὴν πάντες εἶναί φαμεν τῶν ἡδίστων, καὶ ψιλὴν οὖσαν καὶ μετὰ μελῳδίας.

2. Φησὶ γοῦν καὶ Μουσαῖος εἶναι „βροτοῖς ἥδιστον ἀείδειν". διὸ καὶ εἰς τὰς συνουσίας καὶ διαγωγὰς εὐλόγως παραλαμβάνουσιν αὐτὴν ὡς δυναμένην εὐφραίνειν· ὥστε καὶ ἐντεῦθεν ἄν τις ὑπολάβοι παιδεύεσθαι δεῖν αὐτὴν τοὺς νεωτέρους. ὅσα γὰρ ἀβλαβῆ τῶν ἡδέων, οὐ μόνον ἁρμόττει πρὸς τὸ τέλος ἀλλὰ καὶ πρὸς τὴν ἀνάπαυσιν. ἐπεὶ δ' ἐν μὲν τῷ τέλει συμβαίνει τοῖς ἀνθρώποις ὀλιγάκις γίγνεσθαι, πολλάκις δὲ ἀναπαύονται καὶ χρῶνται ταῖς παιδιαῖς οὐχ ὅσον ἐπὶ πλέον ἀλλὰ καὶ διὰ τὴν ἡδονήν, χρήσιμον ἂν εἴη διαναπαύειν ἐν ταῖς ἀπὸ ταύτης ἡδοναῖς.

3. Συμβέβηκε δὲ τοῖς ἀνθρώποις ποιεῖσθαι τὰς παιδιὰς τέλος· ἔχει γὰρ ἴσως ἡδονήν τινα καὶ τὸ τέλος, ἀλλ' οὐ τὴν τυχοῦσαν· ζητοῦντες δὲ ταύ-

so viel Zeit darauf verwenden, als zum blossen Lernen nöthig ist. Sollen sie aber dergleichen **selbst** ernstlich betreiben, nun so müsste man sie auch zur Kochkunst anleiten. Allein das ist doch ungereimt.

6. Dieselbe Bedenklichkeit findet auch statt, wenn man annimmt: die Musik vermöge den Charakter zu veredeln. Warum nämlich sollen sie die Knaben selbst lernen, und warum nicht durch Anhören Anderer dahin gelangen, sich auf die rechte Weise zu freuen und ihr musikalisches Urtheil zu bilden? Wie ja die Lakonen, ohne Musik zu erlernen, dennoch, wie sie behaupten, über gute und schlechte Gesänge richtig zu urtheilen vermögen. Derselbe Einwand lässt sich machen, wenn sie zur Erheiterung des Daseins und zur (edlen) Unterhaltung dienen soll. Wozu sie **selbst** lernen und nicht lieber die Kunst Anderer, die sie ausüben, geniessen?

7. Man erwäge nur einmal die Vorstellung, welche wir von den Göttern haben. Auch Zeus singt ja und spielt nicht selbst bei den Dichtern, ja wir rechnen sogar Solche, die daraus Profession machen, zu den Handwerkern, und halten dafür, die Ausübung gezieme sich nicht für einen Mann, es sei denn beim Weine oder im Scherze. Doch hierauf kommen wir wohl späterhin wieder zu reden.

Kap. V.

1. Die erste Untersuchung ist: ob man die Musik zur Jugendbildung zu rechnen habe oder nicht, und auf welches von den drei in Frage gestellten Stücken sich ihre Kraft erstreckt, auf Bildung, Spiel oder edle Unterhaltung. Am vernünftigsten aber wird sie vielmehr zu allen gerechnet und scheint an allen Antheil zu haben. Denn das Spiel dient zur Erholung, die Erholung aber ist nothwendig angenehm (sie ist nämlich eine Art von Arzenei gegen die durch die Anstrengungen erzeugte Unlust). Auch die Unterhaltung soll zugestandnermassen nicht nur das Schöne, sondern auch das Vergnügen in sich begreifen, denn Beides vereinigt ist die Glückseligkeit. Nun aber halten wir Alle die Musik für etwas im höchsten Grade Angenehmes, sei sie ohne oder *mit Gesang*begleitung.

2. Sagt ja doch auch Musaios, es sei: *„Gesang der Sterblichen süsestes Labsal"*. Daher ruft man sie denn auch mit Recht in geselligen Kreisen und Unterhaltungen herbei, weil sie das Herz erfreuet. Schon von dieser Seite aus betrachtet dürfte man behaupten, dass die Jugend darin unterrichtet werden müsse; denn alle unschädlichen Vergnügungen passen nicht nur zu dem letzten Zwecke, sondern auch zur Erholung. Da es nun aber den Menschen selten zu Theil wird, das Ziel zu erreichen, während sie dagegen oft sich erholen und die Spiele geniessen, nicht um etwas Weiteres davon zu haben, sondern auch um des blossen Vergnügens willen, so dürfte es wohlgethan sein, sich seine Erholung in den aus der Musik hervorgehenden Genüssen zu suchen.

3. Es begegnet aber den Menschen, dass sie sich das Spiel zum Lebenszweck machen; ein Vergnügen nämlich liegt freilich auch in dem Zwecke, aber nur

---

τοῦτο πεποιημένους καὶ τέχνην mutato verborum ordine Vet. non inepte. SCHN. —

§. 6. ἑτέρων] ἕτερόν S^b. T^b. — ὥς φασι] ὥς φησι T^b. — κἂν εἰ πρὸς] κἂν εἴη π. I^b. S^b. T^b. A 1. 2. B 2.; καὶ εἰ π. cum Schn. ed. Cor. — τί δεῖ μανθάνειν] τί γὰρ δεῖ μ. Lamb. Ram. Reiz. Schn. Cor. —

§. 7. οὐ γὰρ ὁ Ζεὺς αὐτὸς ᾄδει καὶ κιθαρίζει] Sic Bekk. tacite. Sed ἀείδει legitur in P 1. 2. 3. Lips. A 1. 2. B 2. 3., quod primus tacite in ᾄδει mutavit Victorius. Itaque Goettlingius hexametrum hic versum citari putans eum sic explevit, ut ἀείδει reciperet et οὐ in οὐδὲ mutaret. Cuius viri doctissimi iudicium etsi non sum secutus, tamen verba ἀείδει καὶ κιθαρίζει clausulam esse hexametri suspicor. Itaque non multum abfuit, quin ἀείδει reciperem. —

Cap. V. §. 1. τὴν μουσικὴν — — — πότερον παιδείαν] om. I^b. P 2. — πότερον παιδείαν ἢ παιδιάν] πότερον παιδιὰν ἢ παιδείαν Vict. 1. —

§. 2. Μουσαῖος] Goettl. citat Passov. ad Mus. p. 84. — τοὺς νεωτέρους] τ. νεοτέρους B 3. — οὐ μόνον ἁρμόττει] ἁρμόττειν P 1. non male. GOETTL. — οὐχ ὅσον ἐπὶ πλέον κτλ.] Equidem locum vitiosum puto, medicinam nondum reperi. SCHN. Haec laborant mala interpunctione; delendum comma erat post ἡδονήν. Protasis est ab ἐπεὶ δὲ inde ad ταῖς παιδιαῖς usque; apodosis vero ab οὐχ ὅσον ad ἀπὸ ταύτης ἡδοναῖς. ὅσον est quod Latini dicunt **in quantum**. Sensus *non in quantum plerumque uti solent musica, ut sit pro condimento otii, sed quia ipsa musica per se habet dulce aliquid.* GOETTL. Cuius sententiam probavit Kappius l. c. p. 153. Non recte. Verum viderunt ante Bekkerum Reizius et Victorius. —

την, λαμβάνουσιν ὡς ταύτην ἐκείνην, διὰ τὸ τῷ τέλει τῶν πράξεων ἔχειν ὁμοίωμά τι· τό τε γὰρ τέλος οὐθενὸς τῶν ἐσομένων χάριν αἱρετόν, καὶ αἱ τοιαῦται τῶν ἡδονῶν οὐθενός εἰσι τῶν ἐσομένων ἕνεκεν, ἀλλὰ τῶν γεγονότων, οἷον πόνων καὶ λύπης. δι' ἣν μὲν οὖν αἰτίαν ζητοῦσι τὴν εὐδαιμονίαν γίγνεσθαι διὰ τούτων τῶν ἡδονῶν, ταύτην ἂν τις εἰκότως ὑπολάβοι τὴν αἰτίαν.

4. Περὶ δὲ τοῦ κοινωνεῖν τῆς μουσικῆς, οὐ διὰ ταύτην μόνην, ἀλλὰ καὶ διὰ τὸ χρήσιμον εἶναι πρὸς τὰς ἀναπαύσεις, ὡς ἔοικεν. οὐ μὴν ἀλλὰ ζητητέον, μή ποτε τοῦτο μὲν συμβέβηκε, τιμιωτέρα δ' αὐτῆς ἡ φύσις ἐστὶν ἢ κατὰ τὴν εἰρημένην χρείαν, καὶ δεῖ μὴ μόνον τῆς κοινῆς ἡδονῆς μετέχειν ἀπ' αὐτῆς, ἧς ἔχουσι πάντες αἴσθησιν (ἔχει γὰρ ἡ μουσικὴ τὴν ἡδονὴν φυσικήν, διὸ πάσαις ἡλικίαις καὶ πᾶσιν ἤθεσιν ἡ χρῆσις αὐτῆς ἐστὶ προςφιλής), ἀλλ' ὁρᾶν εἴ πῃ καὶ πρὸς τὸ ἦθος συντείνει καὶ πρὸς τὴν ψυχήν. τοῦτο δ' ἂν εἴη δῆλον, εἰ ποιοί τινες τὰ ἤθη γιγνόμεθα δι' αὐτῆς.

5. Ἀλλὰ μὴν ὅτι γιγνόμεθα ποιοί τινες, δῆλον διὰ πολλῶν μὲν καὶ ἄλλων οὐχ ἥκιστα δὲ καὶ διὰ τῶν Ὀλύμπου μελῶν· ταῦτα γὰρ ὁμολογουμένως ποιεῖ τὰς ψυχὰς ἐνθουσιαστικάς, ὁ δ' ἐνθουσιασμὸς τοῦ περὶ τὴν ψυχὴν ἤθους πάθος ἐστίν. ἔτι δὲ ἀκροώμενοι τῶν μιμήσεων γίγνονται πάντες συμπαθεῖς, καὶ χωρὶς τῶν ῥυθμῶν καὶ τῶν μελῶν αὐτῶν. ἐπεὶ δὲ συμβέβηκεν εἶναι τὴν μουσικὴν τῶν ἡδέων, τὴν δ' ἀρετὴν περὶ τὸ χαίρειν ὀρθῶς καὶ φιλεῖν καὶ μισεῖν, δεῖ δῆλον ὅτι μανθάνειν καὶ συνεθίζεσθαι μηθὲν οὕτως ὡς τὸ κρίνειν ὀρθῶς καὶ τὸ χαίρειν τοῖς ἐπιεικέσιν ἤθεσι καὶ ταῖς καλαῖς πράξεσιν.

6. Ἔστι δ' ὁμοιώματα μάλιστα παρὰ τὰς ἀληθινὰς φύσεις ἐν τοῖς ῥυθμοῖς καὶ τοῖς μέλεσιν ὀργῆς καὶ πραότητος, ἔτι δ' ἀνδρίας καὶ σωφροσύνης καὶ πάντων τῶν ἐναντίων τούτοις καὶ τῶν ἄλλων ἠθικῶν. δῆλον δὲ ἐκ τῶν ἔργων· μεταβάλλομεν γὰρ τὴν ψυχὴν ἀκροώμενοι τοιούτων. ὁ δ' ἐν τοῖς ὁμοίοις ἐθισμὸς τοῦ λυπεῖσθαι καὶ χαίρειν ἐγγύς ἐστι τῷ πρὸς τὴν ἀλήθειαν τὸν αὐτὸν ἔχειν τρόπον· οἷον εἴ τις χαίρει τὴν εἰκόνα τινὸς θεώμενος μὴ δι' ἄλλην αἰτίαν ἀλλὰ διὰ τὴν μορφὴν αὐτήν, ἀναγκαῖον τούτῳ καὶ αὐτὴν ἐκείνην τὴν θεωρίαν, οὗ τὴν εἰκόνα θεωρεῖ, ἡδεῖαν εἶναι.

7. Συμβέβηκε δὲ τῶν αἰσθητῶν ἐν μὲν τοῖς ἄλλοις μηδὲν ὑπάρχειν ὁμοίωμα τοῖς ἤθεσιν, οἷον ἐν τοῖς ἁπτοῖς καὶ τοῖς γευστοῖς, ἀλλ' ἐν τοῖς ὁρατοῖς ἠρέμα· σχήματα γάρ ἐστι τοιαῦτα, ἀλλ' ἐπὶ

nicht das gewöhnliche. Indem nun die Menschen nach dem ersteren suchen, so nehmen sie statt desselben das letztere, weil es eine gewisse Aehnlichkeit mit dem Zwecke der Handlungen hat; wie nämlich der Zweck des Lebens nicht um eines daraus Folgenden (Zukünftigen) wünschenswerth ist, so ist auch diese Art von Genüssen nicht wegen irgend eines Zukünftigen da, sondern wegen des Vergangenen, nämlich wegen der Anstrengungen und Unlust. Dies dürfte man also mit Fug für die Ursache halten, weshalb die Menschen sich die Glückseligkeit aus diesen Genüssen zu bereiten suchen.

4. Für das Betreiben der Musik aber gilt nicht blos dieser Grund, sondern weil sie in der That von Nutzen ist zur Erholung nach der Anstrengung, wie es scheint. Allein es fragt sich, ob nicht dies zwar allerdings ein zufälliger Nutzen der Musik, ihr Wesen jedoch von höherem Werthe sei, als dass sie blos zu dem gedachten Gebrauche dienen sollte, und ob man nicht blos das gemeine Vergnügen aus ihr zu ziehen habe, dessen Empfindung Alle besitzen (denn in der Musik wohnt ein Vergnügen physischer Art, weshalb jedes Alter und jeder Charakter sich mit ihrem Genusse befreundet), sondern vielmehr darauf hinzusehn habe, ob sich ihr Einfluss nicht irgendwie auch auf die Sittlichkeit und auf die Seele erstreckt. Dies dürfte unleugbar sein, wenn wir durch sie zu einer gewissen sittlichen Beschaffenheit gelangen.

5. Dass dies nun aber in der That geschieht, zeigen ausser manchen andern ganz besonders die Gesänge des Olympos. Denn diese erfüllen nach Aller Geständniss die Seele mit Begeisterung. Die Begeisterung aber ist ein Affekt des Sittlichen in der Seele. Dazu kommt, dass Alle beim Anhören von nachahmenden Darstellungen selbst ohne Begleitung der Rhythmen und Melodien von gleichstimmigem Gefühl ergriffen werden. Da es nun eine accidentielle Eigenschaft der Musik ist, zu dem Angenehmen zu gehören, die Tugend aber darin besteht, sich auf die rechte Art zu freuen, zu lieben und zu hassen, so muss man offenbar nichts so eifrig durch Unterricht und Gewöhnung ausbilden, als das richtige Urtheil über und die Freude an guten Sitten und schönen Handlungen.

6. Nun sind aber in den Rhythmen und Melodien Aehnlichkeiten, die den wahren Wesenheiten am nächsten kommen, des Zorns und der Sanftmuth, ferner der Tapferkeit und Besonnenheit und aller der diesen entgegengesetzten, sowie der übrigen ethischen Eigenschaften. Dies bezeugen die Thatsachen. Denn indem wir dergleichen hören, erleiden wir eine Veränderung unserer Gemüthsstimmung. Die Gewöhnung aber, an den Abbildern sich zu freuen oder zu betrüben, liegt dem gleichen Verhalten zur Wirklichkeit sehr nahe; z. B. wer an dem Anschauen des Abbildes von etwas sich eben lediglich nur wegen der schönen Gestalt erfreut, dem muss nothwendig auch der Anblick des Wesens selbst, dessen Bild er betrachtet, angenehm sein.

7. Dazu kommt ferner der Umstand, dass von allem Andern, was durch die Sinne wahrnehmbar ist, sonst in keinem eine Aehnlichkeit mit dem Sittlichen enthalten ist, wie z. B. in dem Fühlbaren und Schmeckbaren, höchstens etwa in dem Sichtbaren ein wenig; von dieser

§. 3. διὰ τὸ τῷ τέλει] τῷ om. Lips. Sb. A 1. 2. B 2., διὰ τὰ τῷ τ. B 3. — ὁμοίωμά τι] ὁμοιώματα τὸ Sb. Tb., ὁμοιώματα L. A 1. 2. B 2. 3.; ὁμοίωμα sine τι P 5. —

§. 4. τῆς μουσικῆς] τοῦ μουσικῆς A 2. — πρὸς τὰς ἀναπαύσεις, ὡς ἔοικεν] Mutilum esse hunc locum credunt Sylb. Conr. Schn. Cor. Goettl. Et Goettlingio quidem scribendum videtur πρὸς τὰς ἀναπαύσεις, ἅλις, ὡς ἔοικεν. ἀλλὰ μὴν ζητητέον. Scilicet ἅλις εἴρηται, ὡς ἔοικεν. Excidisse enim videri ἅλις propter similem vocabuli antecedentis exitum. Contra Reizius nihil deesse credens hanc dicit esse sententiam: *quod autem ad musicae usum attinet, utendum ea est non propter hanc solam causam* i. e. *non propter solum fructum voluptatis.* — αὐτῆς ἡ φύσις] ἡ φύσις αὐτῆς P 1. —

§. 5. ποιοί τινες — οὐχ ἥκιστα δὲ καὶ] Haec om. Sb. Tb. P 3. A 1. 2. B 2. et B 3. Sed hic quoque B 3. discrepat a scriptura Aldinarum et Bass. 1. 2.; nam in ea legitur saltem φανερὸν post γιγνόμεθα, sic: ἀλλὰ μὴν ὅτι γιγνόμεθα ποιοί τινες, φανερὸν διὰ τῶν Ὀλύμπου. — δῆλον διὰ πολλῶν] Sic edd. et codd. ante Bekk. collati omnes. φανερὸν Bekkerus tacite, quod in una B 3. esse dixi. Vid. notam superiorem. — καὶ ἄλλων] Hic quoque solus Bekk. tacite καὶ ἑτέρων. —

§. 6. μὴ δι' ἄλλην αἰτίαν] μὴ δὴ δι' ἄλλ. αἰτ. B 3. — καὶ αὐτὴν ἐκείνην] κ. αὐτοῦ ἐκείνου scrib. vid. Lamb. Ram., Reiz. αὐτὴν ἐκείνου placet Schn. et Cor. et sic Aret. (*aspectum illius*). αὐτὴν om. Vet. qui vertit: *secundum se esse delectabilem.* Igitur ἡδεῖαν καθ' ἑαυτὴν εἶναι legit. —

§. 7. ἠρέμα] *debiliter* Vet. — ἀλλ' ἐπὶ μικρὸν καὶ [οὐ] πάντες] οὐ particulam hic excidisse vidit

μικρόν, καὶ [οὐ] πάντες τῆς τοιαύτης αἰσθήσεως κοινωνοῦσιν. ἔτι δὲ οὐκ ἔστι ταῦτα ὁμοιώματα τῶν ἠθῶν, ἀλλὰ σημεῖα μᾶλλον τὰ γιγνόμενα σχήματα καὶ χρώματα τῶν ἠθῶν. καὶ ταῦτ' ἐστὶν ἐπὶ τοῦ σώματος ἐν τοῖς πάθεσιν. οὐ μὴν ἀλλ' ὅσον διαφέρει καὶ περὶ τὴν τούτων θεωρίαν, δεῖ μὴ τὰ Παύσωνος θεωρεῖν τοὺς νέους, ἀλλὰ τὰ Πολυγνώτου, κἂν εἴ τις ἄλλος τῶν γραφέων ἢ τῶν ἀγαλματοποιῶν ἐστὶν ἠθικός.

8. Ἐν δὲ τοῖς μέλεσιν αὐτοῖς ἐστὶ μιμήματα τῶν ἠθῶν. καὶ τοῦτ' ἔστι φανερόν· εὐθὺς γὰρ ἡ τῶν ἁρμονιῶν διέστηκε φύσις, ὥστε ἀκούοντας ἄλλως διατίθεσθαι καὶ μὴ τὸν αὐτὸν ἔχειν τρόπον πρὸς ἑκάστην αὐτῶν, ἀλλὰ πρὸς μὲν ἐνίας ὀδυρτικωτέρως καὶ συνεστηκότως μᾶλλον, οἷον πρὸς τὴν μιξολυδιστὶ καλουμένην, πρὸς δὲ τὰς μαλακωτέρως τὴν διάνοιαν, οἷον πρὸς τὰς ἀνειμένας· μέσως δὲ καὶ καθεστηκότως μάλιστα πρὸς ἑτέραν, οἷον δοκεῖ ποιεῖν ἡ δωριστὶ μόνη τῶν ἁρμονιῶν, ἐνθουσιαστικοὺς δ' ἡ φρυγιστί.

9. *Ταῦτα γὰρ καλῶς λέγουσιν οἱ περὶ τὴν παιδείαν ταύτην πεφιλοσοφηκότες· λαμβάνουσι γὰρ τὰ μαρτύρια τῶν λόγων ἐξ αὐτῶν τῶν ἔργων.* τὸν αὐτὸν γὰρ τρόπον ἔχει καὶ τὰ περὶ τοὺς ῥυθμούς· οἱ μὲν γὰρ ἦθος ἔχουσι στασιμώτερον οἱ δὲ κινητικόν, καὶ τούτων οἱ μὲν φορτικωτέρας ἔχουσι τὰς κινήσεις οἱ δὲ ἐλευθεριωτέρας. ἐκ μὲν οὖν τούτων φανερὸν ὅτι δύναται ποιόν τι τὸ τῆς ψυχῆς ἦθος ἡ μουσικὴ παρασκευάζειν. εἰ δὲ τοῦτο δύναται ποιεῖν, δῆλον ὅτι προσακτέον καὶ παιδευτέον ἐν αὐτῇ τοὺς νέους.

10. Ἔστι δὲ ἁρμόττουσα πρὸς τὴν φύσιν τὴν τηλικαύτην ἡ διδασκαλία τῆς μουσικῆς· οἱ μὲν γὰρ νέοι διὰ τὴν ἡλικίαν ἀνήδυντον οὐδὲν ὑπομένουσιν ἑκόντες, ἡ δὲ μουσικὴ φύσει τῶν ἡδυσμένων ἐστίν. καί τις ἔοικε συγγένεια ταῖς ἁρμονίαις καὶ τοῖς ῥυθμοῖς εἶναι· διὸ πολλοί φασι τῶν σοφῶν οἱ μὲν ἁρμονίαν εἶναι τὴν ψυχήν, οἱ δ' ἔχειν ἁρμονίαν.

CAP. VI.

